**[Peri hylēs iatrikēs logoi hex] De materia medica / [Dioscorides Pedanius].**

**Contributors**

Dioscorides Pedanius, of Anazarbos.
Kloss, Georg Franz Burkhard, 1787-1854

**Publication/Creation**

Venice : Aldus Manutius, 1499.

**Persistent URL**

https://wellcomecollection.org/works/t2eqd53z

**License and attribution**

This work has been identified as being free of known restrictions under copyright law, including all related and neighbouring rights and is being made available under the Creative Commons, Public Domain Mark.

You can copy, modify, distribute and perform the work, even for commercial purposes, without asking permission.

Wellcome Collection
183 Euston Road
London NW1 2BE UK
T +44 (0)20 7611 8722
E library@wellcomecollection.org
https://wellcomecollection.org

Case 2.e.4.

59

1283 Dioscoridis (Pedacii) Opera, Græcè—Nicandri Theriaca et Alexipharmaca

Ed. Princeps — *Venetiis, Aldus*, 1499

iii, 461, 2523

*⁎* A fine copy of one of the rarest productions of the Aldine press, with marginal notes in Greek by Melancthon, very neatly written.

"Cette édition est très precieuse, et à plus d'un titre. D'une grande rarité, elle est de plus *Ed. princeps*, la première de tous ces ouvrages; elle est du quinzième siècle, et l'une des plus estimées parmi les productions des premiers temps de l'imprimerie Aldine."—*Renouard*, vol. i. p. 50.

Melan...

Georgius Kloss, M.D.
Francofurti ad Moenum

Dioscorides De materia medica
Nicander. Opera [In Greek]
Aldus Manutius
Venice July 1499

H* 6257
Proct. 5571
Pellechet 4338
B.M V. 561
GW 8425

$*^6$, $\alpha$–$o^8$, $\pi^{10}$ ($\pi$10 blank)
[Wanting A–$\Delta^8$, $E^6$, $\alpha^{10}$]
c5 noted missing 28/4/98
Index *2–6 misplaced at end
*2 and 5 wanting
*3 and 4 in duplicate

8 F (8). 20672

Bangs + Co
$42½

H. C. Hoskier
Nov. 1902

Dioscorides de mat. med. lib. vi.
de alexipharmacis lib. iii } ix

Aldus 1499.

As rare as any Aldine there is. This copy has interesting notes by Melancthon – But it lacks the Nicander 38 leaves + 10 scholia.
ABΓΔE A

The index at the end of this vol. should be bound at the beginning following Aldus' preface.

This copy in early XVI cent. binding is a companion to my Mega Etymologicum of Callierges 1499 + Thesaurus of Aldus 1496 from the library of "Aymon de Salvaing Seigneur de Boissieu, surnommé le chevalier hardy, 1505"

S. 332
29/6/08

59

Πεδακίου Διοσκορίδου ἀναζαρβέως περὶ ὕλης ἰατρικῆς λόγοι ἕξ.

Ἔτι περὶ ἰοβόλων ἐν ᾧ καὶ περὶ λυσσῶντος κυνός. σημειώσεις τε τῶν ὑπὸ τῶν δεδηγμένων καὶ θεραπεία.

Νικάνδρου τοῦ κολοφωνίου ποιητοῦ θηριακά. μετὰ σχολίων.

Τοῦ αὐτοῦ ἀλεξιφάρμακα.

Ἐπίγραμμα εἰς Νίκανδρον.

Καὶ κολοφῶν ἀρίδηλος ἐνὶ πολίεσσι τέτυκται
δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους
Πρωτότοκον μὲν Ὅμηρον ἀτὰρ Νίκανδρον ἔπειτα
Ἀμφοτέρους μούσαις οὐρανίῃσι φίλους.

59

## Aldus Manutius Romanus, Hieronymo Donato patritio Veneto. S. D.

Neſcio quid ſit Donate Vir integerrime, addo etiam doctiſſime, ꝙ ex eo
tempore, quo non paruo meo incommodo, & labore, renaſcentibus in
Italia bonis litteris quocunq; potui modo cœpi opem afferre, omnia mi-
hi aduerſa, nunc hominum perfidia, nunc temporum infelicitate con-
tigerit. Niſi id græcorum infortunio adſcribēdum eſt. Quod erumnoſi
futuri ſint, quicunque ex noſtris græcitati opitulantur. quod & ſi qui-
dam ioco ſolent dicere, multis tamen id ita eſſe probari exemplis poteſt.
Quod uero maiore in dies animo perſtiterim in propoſito, & nunc ma
xime perſtem, illud ſæpe commemorans, Tu ne cede malis, ſed contra
audentior ito, mecum ipſe demiror. atque eò magis, cum excrucier, ac
penè opprimar laboribus, & iuuet oprimi, iuuet eſſe miſerum. Video
meliora, proboq;, deteriora ſequor. nam tēpus. rem quā cariſſiimam per-
dens, mihi obſum, ut aliis proſim. ſed feram æquo animo mea damna dū
proſim. nec, ſi uixero, ab incœptis unq̄ deſiſtam, donec quod ſemel ſtatu
tū mihi eſt, perfecero. Et quanq̄ maiora uiribus aggreſſi ſumus, cū domi
noſtræ ea ad latinam, græcamq;, & hebraicam linguam formis publicā-
dam ſummo ſtudio, aſſiduóque labore cudantur, quæ admirationi o-
mnibus futura ſperemus, tamē (faueat deus) bene ac pulchre omnia per-
ficientur. Interea Dioſcoridem, ac Nicandrū damus, rati gratiſſimos, atq;
utiliſſimos fore ſtudioſis omnibus, atq; iis maxime, qui ſūt in pliniana le
ctione uerſati. Scis. n. plurima eē in Dioſcoride, quæ mutuatus uidetur
Plini⁹. ꝙ utrūq; ſæpe legeris, alterúmq; cū altero accurate cōtuleris. Hūc
igitur librū, quo plus auctoritatis foret hiſce laboribus noſtris, in tuo no-
mine ære noſtro excuſum publicare uoluimus. quod tibi humaniſſimo
omnium non ingratum fore exiſtimabamus. Quare uelim hunc etiam
benigna fronte ſuſcipias. mé que de hoc quoque labore, ut facis, ames.
Quanquā illud fortaſſe in Dioſcoride diſplicebit, ſimplicia quædā, quæ
aliis q̄ græcis appellantur noīnibus, in contextu eſſe inſerta, eáq; in margi
ne potius imprimenda fuiſſe cēſebis. Sed id nos idcirco fecimus, quoniā
in contextu in omnibus ea legimus exemplaribus. Præterea quia nō ab-
ſurdum uidebatur, etiam quo apud alias gentes nomine ſimplicia appel
larentur Dioſcoridem uoluiſſe docere. & præſertim cum ipſe militem ſe
fuiſſe, ac multam terram peragraſſe dicat in procemio. ſed in contextu ne,
an in margine legantur, parui referre exiſtimo. Illud magis puto dolēdū,
nōnulla ex iis nominibus eſſe incorrecta. quæ tamen unuſquiſque ſibi,
correctius nactus exemplar, emendare poterit. Nos, quæ habere potui-
mus, dedimus. Vale. Venetiis octauo Idus Iulias M. ID.

# ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ ΠΕΡῚ ὝΛΗΣ ἸΑΤΡΙΚΗ͂Σ ΒΙΒΛΙΟΝ ΠΡΩ͂ΤΟΝ.

Ὀλλῶν οὐ μόνον ἀρχαίων ἀλλὰ καὶ νέων συνταξαμένων περὶ τῆς τῶν φαρμάκων σκευασίας τε καὶ δυνάμεως καὶ δοκιμασίας φίλτατε Ἄρειε, πειράσομαί σοι παραστῆσαι μὴ κενήν, μηδ' ἄλογον ὁρμὴν ἐσχηκέναι πρὸς τήνδε τὴν πραγματείαν. διὰ τὸ τοὺς μὲν αὐτῶν, μὴ τετελειωκέναι. τοὺς δέ, ἐξ ἱστορίας τὰ πλεῖστα ἀναγράψαι. Ἰόλας μὲν γὰρ ὁ Βιθυνὸς καὶ Ἡρακλείδης ὁ Ταραντῖνος, ἐπ' ὀλίγον ἥψαντο τῆς πραγματείας. τὴν βοτανικὴν παντελῶς ἐάσαντες παράδοσιν. ἀμέλει οὐδὲ τῶν μεταλλικῶν ἢ ἀρωματικῶν πάντες ἐμνημόνευσαν. Κρατεύας δὲ ὁ ῥιζοτόμος καὶ Ἀνδρέας ὁ ἰατρός, οὗτοι γὰρ δοκοῦσιν ἀκριβέστερον τῶν λοιπῶν περὶ τοῦτο τὸ μέρος ἀνεστράφθαι, πολλὰς ῥίζας οὐ χρησιμωτάτας καὶ τινας βοτάνας, ἀπαρασημειώτους εἰάκασιν. πλὴν τοῖς μὲν ἀρχαίοις μαρτυρητέον μετὰ ὀλιγότητος τῶν παραδοθέντων, καὶ τὴν ἀκρίβειαν προσπαραλαβεῖν. τοῖς μέντοι νέοις οὐ συγκαταθετέον. ὧν ἐστι Βάσσος ὁ Τυλαῖος, καὶ Νικήρατος καὶ Πετρώνιος καὶ Νίγερ τε καὶ Διόδοτος ἀσκληπιάδαι πάντες. οἱ γὰρ μὲν πᾶσι σύμφυλλον καὶ συνεγνωσμένην ὕλην, ἠξίωσαν ἐπιμελοῦς ἀναγραφῆς ἀκριβοῦς. τὰς δὲ τῶν φαρμάκων δυνάμεις καὶ δοκιμασίας, ἐξ ἐπιδρομῆς παρέδοσαν. οὐ τῇ πείρᾳ τὴν ἐνέργειαν αὐτῶν κανονίζοντες. τῇ δὲ περὶ αἰτίας κενοφωνίᾳ, εἰς ὄγκον ἀναφέροντες μετὰ τοῦ καὶ ἄλλα ἀντ' ἄλλων γράφειν. ὁ γοῦν δι' ἀκριβείας δοκῶν εἶναι ἐν αὐτοῖς Νίγερ, τὸ εὐφόρβιον φησὶν ὀπὸν εἶναι χαμελαίας, γεννώμενον ἐν Ἰταλίᾳ. καὶ τὸ ἀνδρόσαιμον, ταυτὸν ὑπάρχειν ὑπερικῷ. ἀλόην δὲ ὀρυκτὴν ἐν Ἰουδαίᾳ γίνεσθαι. καὶ ἄλλα τούτοις ὁμοιότατα παρὰ τὴν ἐνάργειαν ἐκτίθενται ψευδῶς. ἅπερ ἐστὶ τεκμήρια οὐκ αὐτοψίας, ἀλλὰ τῆς ἐκ παρακουσμάτων ἱστορίας. ἥμαρτον δὲ καὶ περὶ τὴν τάξιν. οἱ μέν, ἀσυμφύλλους δυνάμεις συγκρούσαντες, οἱ δὲ κατὰ στοιχεῖον καταγράψαντες. διαζεύξαντες τῆς ὁμογενείας, τά τε γένη καὶ τὰς ἐνεργείας αὐτῶν, ὡς διὰ τοῦτο δυσμνημόνευτα γίνεσθαι. ἡμεῖς δ' ὡς ἔπος εἰπεῖν, ἐκ πρώτης ἡλικίας, ἀλήκτῳ τινὶ ἐσχόντες ἐπιθυμίαν περὶ τὴν ἐπίγνωσιν τῆς ὕλης, καὶ πολλὴν ἐπελθόντες γῆν. οἶσθα γὰρ ἡμῖν στρατιωτικὸν τὸν βίον, συναγηόχαμεν τὴν πραγματείαν ἐν ε' βιβλίοις. σοὶ προσγραψαμένου. ᾧ καὶ τὴν σύνταξιν ἀνατιθέαμεν, εὐχάριστον ἐκπληροῦντες πάθος. διὰ τὴν ἔχεις πρὸς ἡμᾶς διάθεσιν. φύσει μὲν πρὸς πάντας τοὺς ἀπὸ παιδείας ἀναγομένους οἰκειούμενος. μάλιστα δὲ πρὸς τοὺς ὁμοτέχνους. ἰδιαίτερον δὲ πρὸς ἡμᾶς. δεῖγμα δὲ οὐ σμικρὸν τῆς ἐν σοὶ καλοκαγαθίας, καὶ ἡ τοῦ κρατίστου Λικινίου Βάσσου πρὸς σε διάθεσις. ἣν ἔγνωμεν συνδιάγοντες ὑμῖν. ἀξιοζήλωτον τὴν παρ' ἀμφοτέρων ὑμῶν πρὸς ἀλλήλους εὔνοιαν ὁρῶντες. παρακαλοῦμεν δέ σε καὶ τοὺς ἐντευξομένους τοῖς ὑπομνήμασι, μὴ τὴν ἐν λόγοις δύναμιν ἡμῶν σκοπεῖν. ἀλλὰ τὴν ἐν τοῖς πράγμασι μετ' ἐμπειρίας ἐπιμέλειαν. μετὰ γὰρ πλείστης ἀκριβείας τὰ λοιπὰ δι' αὐτοψίας γνόντες, τὰ δὲ ἐξ ἱστορίας συμφώνου τοῖς πᾶσι καὶ ἀνακρίσεως τῶν παρ' ἑκάστοις ἐπιχωρίων ἀκριβώσαντες, πειρασόμεθα καὶ τῇ τάξει διαφόρῳ χρήσασθαι, καὶ τὰ γένη καὶ τὰς δυνάμεις αὐτῶν ἀναγράψασθαι.

Ὅτι γε μὴν ἀναγκαῖος ὑπάρχει ὁ περὶ φαρμάκων λόγος, παντί που δῆλον. συνεζευγμένος ὅλῃ τῇ τέχνῃ, καὶ τὴν ἀπ' αὐτοῦ συμμαχίαν ἀήττητον παντὶ μέρει παρεχόμενος. καὶ διότι δύναται αὔξεσθαι κατά τε τὰς σκευασίας καὶ τὰς μίξεις καὶ τοὺς ἐπὶ τῶν παθῶν πειρασμούς. πλεῖστα συμβαλλομένης τῆς περὶ ἕκαστον τῶν φαρμάκων γνώσεως. προσπαραλαμβάνομεν δὲ καὶ τὴν συνήθη καὶ σύμφυλον ὕλην, ἵνα ἡ γραφὴ γένηται τελεία. πρὸ πάντων δὴ φροντίζειν τῆς ἀποθέσεως καὶ συλλογῆς ἑκάστου κατὰ τοὺς οἰκείους καιροὺς προσήκει. παρὰ γὰρ τούτους ἢ ἐνεργῆ ἢ ἐξίτηλα γίνεται τὰ φάρμακα. αἰθρίας γὰρ ὄντος τοῦ καταστήματος συλλέγειν δεῖ. μεγάλη γὰρ καὶ τούτων ὑπάρχει διαφορά, παρὰ τὸ αὐχμῶν ἢ ὄμβρων γινομένων τὴν συλλογὴν ποιεῖσθαι, ὥσπερ καὶ τὸ ὀρεινοὺς καὶ διαπνεομένους καὶ ψυχροὺς καὶ ἀνύδρους εἶναι τοὺς τόπους. ἰσχυρότεραι γάρ εἰσιν αἱ δυνάμεις αὐτῶν. αἱ δὲ ἐν πεδινοῖς καὶ καθύγροις καὶ κατασκίοις καὶ μὴ διαπνεομένοις, ἀδυνατώτεραι κατὰ τὸ πλεῖστον. καὶ μᾶλλον αἱ μὴ κατ' ὥραν εὐκαίρως συλλεγεῖσαι, ἢ δι' ἀσθένειαν ἐφθινηκυῖαι. οὐκ ἀγνοητέον μέντοι ὅτι πολλάκις ταῦτα παρὰ τὴν ἰδιότητα τῆς χώρας, καὶ παρὰ τὴν σύγκρασιν τοῦ ἔτους, τάχιον ἢ βράδιον ἀκμάζει. ἔνια δὲ καὶ παρὰ τὴν ἑαυτῶν ἰδιότητα, ἐν χειμῶνι ἀνθεῖ τε καὶ φυλλαφορεῖ. τινὰ δὲ καὶ δὶς τοῦ ἔτους ἀνθοφορεῖ. τὸν δὲ βουλόμενον ἐν τούτοις ἐμπειρίαν ἔχειν, δεῖ κατά τε τὴν ἀρτιφυῆ βλάστησιν ἐκ τῆς γῆς, ἀκμάζουσι καὶ παρηκμακόσι παρατυγχάνειν. οὔτε γὰρ ὁ τῇ βλάστῃ ἐντετυχηκὼς μόνον, δύναται τὸ ἀκμάζον γνωρίσαι, οὔτε ὁ τὸ ἑωρακὼς τὰ ἀκμάζοντα, τὸ ἀρτιφυὲς ἐπιγνῶναι. παρὰ γὰρ τοὺς μετασχηματισμοὺς τῶν φύλλων, καὶ τὰ μεγέθη τῶν καυλῶν καὶ ἀνθῶν καὶ καρπῶν, καί τινας ἄλλας ἰδιότητας, μεγάλη πλάνη γίνεται ἐπ' ἐνίοις τοῖς μὴ οὕτω τὴν θέαν ποιησαμένοις. παρὰ ταύτην γοῦν τὴν αἰτίαν, τινὲς τῶν ἀναγραψαμένων ἐπλανήθησαν. εἰπόντες τινὰ μήτε ἄνθη μήτε καυλὸν μήτε καρπὸν φέρειν. καθάπερ τῆς ἀγρώστεως καὶ βηχίου καὶ πενταφύλλου. ὁ δὲ πολλάκις ἐντετυχὼς αὐτοῖς καὶ ἐν πολλοῖς τόποις, μάλιστα τὴν ἐπίγνωσιν ποιήσεται. χρὴ μέντοι εἰδέναι ὅτι μόνα τῶν βοτανικῶν φαρμάκων τὰ πολλὰ ἔτη διαμένει. οἷον ἐλλέβορος ὁ λευκὸς καὶ μέλας. τὰ δὲ λοιπὰ μέχρι τριετίας ἐστὶν εὔχρηστα. Ἃ μὲν οὖν ἐριώδη ἐστί, στοιχάς. χαμαίδρυς. πόλιον. ἀβρότονον. σέριφον. ἀψίνθιον. ὕσσωπον, καὶ τὰ ὅμοια τούτοις, συλλέγειν δεῖ, ἐγκύμονα τῶν σπερμάτων. ἄνθη δὲ πρὸ τῆς ἀποπτώσεως αὐτῶν. τοὺς δὲ καρποὺς πεπείρους. καὶ τὰ σπέρματα ἤδη ἀρχόμενα ξηραίνεσθαι πρὸ τοῦ ἀπορρεῖν. χυλίζειν δὲ καὶ τὰς βοτάνας, ἀρτιβλαστῶν ὄντων τῶν καυλῶν. ὁμοίως καὶ τὰ φύλλα. ὀποὺς δὲ καὶ δάκρυα λαμβάνειν. τέμνοντας ἐν ἀκμῇ τοὺς καυλούς. τὰς δὲ εἰς ἀπόθεσιν ῥίζας καὶ χυλίσματα καὶ φλοιούς, ἀφαιρεῖν ἀρχομένων φυλλορροεῖν τῶν βοτανῶν. καὶ τὰς μὲν καθαρὰς αὐτόθι ξηραίνειν ἐν τόποις ἀνοτίστοις. τὰς δὲ μετεχούσας γῆς ἢ πηλοῦ, πλύνειν ὕδατι. ἀποτίθεσθαι δὲ καὶ ἄνθη. καὶ ὅσα εὐώδη τυγχάνει ἐν κιβωτίοις φιλυρίνοις ἀνοτίστοις. ἔστι δὲ ὅτε καὶ ἐν χάρτῃ ἢ φύλλοις χρησίμως περιδεῖται πρὸς συμμονὴν τῶν σπερμάτων. πρὸς δὲ τὰ ὑγρὰ φάρμακα ἁρμόσει ὕλη πᾶσα πυκνὴ ἐξ ἀργύρου ἢ ὑέλου ἢ κεράτων πεποιημένη. καὶ ὁ κεράμινος δὲ ὁ μὴ ἀραιὰ εὔθετος. ξύλινα δὲ ὅσα ἐκ πύξου κατασκευάζεται. τὰ δὲ χαλκᾶ ἀγγεῖα, ἁρμόσει πρὸς τὰ ὀφθαλμικὰ καὶ ὑγρὰ φάρμακα. ὅσα δι' ὄξους ἢ πίσσης ὑγρᾶς ἢ κεδρίας κατασκευάζεται. στέατα δὲ καὶ μυελούς, ἐν κασσιτερίνοις ἀγγείοις ἀποτίθεσθαι δεῖ.

περὶ

Περὶ ἴρεως. κεφ. α΄.

Ἶρις· οἱ δὲ, ἶρις ἰλλυρική· οἱ δὲ, θηλπίδα· οἱ δὲ, οὐρανία· οἱ δὲ, καθάρον· οἱ δὲ, θαυμαστός. ῥωμαῖοι ῥάδιξ μαρίκα. οἱ δὲ, γλαδιόλα. ὄπερ ξίριτος. οἱ δὲ κοινοσαιράδιξ. αἰγύπτιοι ναρ. ἀπὸ μὲν τῆς κατὰ τὸν οὐρανὸν ἴριδος ἐμφερείας ὠνόμασται. φύλλα δὲ φέρει ὅμοια ξιφίῳ. μείζονα δὲ καὶ πλατύτερα καὶ λιπαρώτερα. ἄνθη ἐπὶ τοῦ καυλοῦ παράλληλα, ἐπικαμπῆ. ποικίλα. ἢ γὰρ λευκὰ ἢ ὠχρὰ ἢ μήλινα ἢ πορφυρᾶ ἢ κυανίζοντα ὁρᾶται. ὅθεν διὰ τὴν ποικιλίαν ἀπεικάσθη ἴριδι τῇ οὐρανίᾳ. ῥίζαι δ' ὕπεισι γονατώδεις. στερεαί. εὐώδεις. ἃς δεῖ μετὰ τὴν τομὴν ξηράναντα ἐν σκιᾷ καὶ διείραντα, λίνῳ ἀποτίθεσθαι. εἰσὶ δὲ βελτίους ἡ ἰλλυρικὴ καὶ μακεδονική. καὶ ἐν ταύταις ἀρίστη ἡ πυκνόῤῥιζος καὶ ὑποκόλοβος, καὶ δύσθραυστος. καὶ τῇ χρόᾳ ὑπόκιῤῥος. καὶ σφόδρα εὐώδης καὶ τῇ γεύσει πυρωτέρα. τῇ τε ὀσμῇ εἰλικρινὴς. καὶ μὴ νοτίζουσα. πταρμικὴ δὲ ἐν τῷ κόπτεσθαι. δευτέρα δὲ ἡ λιβυκή. λευκὴ κατὰ χρόαν, πικρὰ πρὸς γεῦσιν. παλαιούμεναι δὲ τερηδονίζονται. εὐωδέστεραι μέντοι τότε γίνονται. δύναμιν δὲ ἔχουσι πᾶσαι θερμαντικὴν. λεπτυντικήν. ἁρμόζουσαι πρὸς βῆχας. καὶ τὰ δυσανάγωγα ὑγρὰ λεπτύνουσαι. καθαίρουσι δὲ πάχη καὶ χολάς, πινόμεναι μεθ' ὑδρομέλιτος. ὁλκῆς < ζ. εἰσὶ δὲ καὶ ὑπνοποιοί. καὶ δακρυοποιοί. καὶ στρόφους ἰῶνται. μετ' ὄξους δὲ πινόμεναι θηριοδήκτοις ἀρήγουσι. καὶ σπληνικοῖς. καὶ σπωμένοις. καὶ πνεύματι ψυχομένοις ἢ ῥιγοῦσι. καὶ τοῖς γονὴν προϊεμένοις. σὺν οἴνῳ δὲ ποθεῖσαι, ἄγουσιν ἔμμηνα. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν, πρὸς γυναικείους πυρίας εὔθετον. μαλάσσον τοὺς τόπους καὶ ἀναστομοῦν. ἰσχιάδος τε ἔγκλυσμα. καὶ συρίγγων καὶ κόλπων σαρκωτικόν. προστεθεῖσαι δὲ ὡς κολλύριον μετὰ μέλιτος, ἔμβρυα κατασπῶσι. μαλάσσουσι δὲ χοιράδας καὶ σκιῤῥώματα παλαιὰ ἑφθαὶ καταπλασθεῖσαι. ξηραὶ δὲ πληροῦσιν ἕλκη. καὶ ἀνακαθαίρουσι μετὰ μέλιτος. καὶ τὰ ἐψιλωμένα τῶν ὀστέων σαρκοῦσιν. ὠφελοῦσι δὲ καὶ κεφαλαλγίας, σὺν ὄξει καὶ ῥοδίνῳ καταπλασθεῖσαι. φακούς τε καὶ ἐφήλεις ἀποκαθαίρουσι, σὺν ἐλλεβόρῳ λευκῷ καὶ διπλασίονι μέλιτι καταπλασθεῖσαι. μίσγονται δὲ καὶ πεσσοῖς καὶ μαλάγμασι καὶ ἀκόποις. καὶ καθόλου εἰσὶ πολύχρηστοι.

Περὶ ἀκόρου. κεφ. β΄.

Ἄκορον. οἱ δὲ χόρος ἀφροδισίας. ῥωμαῖοι βενέρια. οἱ δὲ, ναυτικὰ ῥάδιξ. γάλλοι πεπράκιουμ. τὰ μὲν φύλλα ἔχει ἐμφερῆ ἴριδι, στενώτερα δὲ καὶ τὰς ῥίζας οὐκ ἀνομοίους. διαπεπλεγμένας δὲ καὶ οὐκ εἰς εὐθὺ πεφυκυίας. ἀλλὰ πλαγίας καὶ ἐξ ἐπιπολῆς. γόνασι διειλημμένας. ὑπολεύκους. δριμείας τῇ γεύσει. καὶ τῇ ὀσμῇ οὐκ ἀηδεῖς. διαφέρει δὲ τὸ πυκνὸν καὶ λευκόν. ἄβρωτόν τε καὶ πλῆρες. εὐῶδες. τοιοῦτον δέ ἐστι τὸ ἐν χαλκίδι καὶ τῇ γαλατίᾳ ἀσπλένιον λεγόμενον. δύναμιν δὲ ἔχει ἡ ῥίζα θερμαντικήν. πινόμενον δὲ τὸ ἀφέψημα αὐτοῦ οὐρητικόν. ἁρμόζον πρὸς πλευρᾶς πόνους καὶ θώρακος καὶ ἥπατος. στρόφους. ῥήγματα. σπάσματα. σπλῆνας τήκει. ὠφελεῖ καὶ στραγγουριῶντας. θηριοδήκτους. καὶ εἰς ἐγκάθισμα ὡς ἶρις πρὸς τὰ γυναικεῖα ἁρμόζει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα ταῖς κόραις. μίσγεται δὲ καὶ τοῖς ἀντιδότοις ἡ ῥίζα χρησίμως.

Περὶ μήου. κεφ. γ΄.

Μῆον τὸ καλούμενον ἀθαμαντικόν, γεννᾶται πλεῖστον ἐν μακεδονίᾳ καὶ ἰσπανίᾳ. ὅμοιον καυλῷ καὶ τοῖς φύλλοις ἀνήθῳ. παχύτερον δὲ τοῦ ἀνήθου. εἰς πῆχυν ἀναβαῖνον. τὰς ῥίζας ὑποσπαρμένας λεπτὰς πλαγίας. καὶ εὐθείας. μακράς. εὐώδεις. θερμαινούσας τὴν γλῶτταν. αἵτινες ἀποζεσθεῖσαι μεθ' ὕδατος ἢ καὶ λεῖαι δίχα ἑψήσεως ποθεῖσαι, τὰ στενὰ περὶ κύστιν καὶ νεφροὺς πάθη τῇ ἰσχουρήσει καὶ δυσουρίαις ἁρμόζουσι. στομάχου τε ἐμπνευματώσει καὶ στρόφοις

ὑστερικοῖς

ὑστερικαῖς τε διαβρώσεσιν· ἄρθρων πόνοις· θώραξι ῥευματιζομένοις σὺν μέλιτι λεῖαι αὐτῇ ἐκλεικτοῦ βοηθοῦσιν· αἷμά τε ἄγουσι δὲ ἐμμήνων ἀποζεσθεῖσαι εἰς ἐγκάθισμα. παιδίων δὲ καταπλασθεῖσαι ἐφήβαιον, οὖρα ἄγουσιν. ἔστι δὲ καὶ κεφαλαλγὴς πλεῖον ἢ δεῖ πινόμενον.

## Περὶ κυπείρου. κεφ. δ´.

Κύπειρος· οἱ δὲ ἐρυσίσκηπτρον ὡς τὴν ἀσπάλαθον καλοῦσι· ῥωμαῖοι ἰουώκι ῥαδίκεμ· οἱ δὲ ἰουώκουμ. φύλλα δὲ ἔχει ὅμοια πράσῳ, μακρότερα δὲ καὶ ἰσχνότερα. καυλὸν δὲ πηχυαῖον, ἢ καὶ μείζονα, γωνιώδη· ὅμοιον σχοίνῳ, οὗ κατὰ κορυφὴν φυλλάρια ἐστὶν ἐκφύσεις μικρῶν καὶ σπέρματος. ῥίζαι δ᾿ ὕπεισιν ὧν καὶ ἡ χρῆσις ὥσπερ ἐπιμήκεις ἐλαίας συναφεῖς ἑαυταῖς· ἢ καὶ στρογγύλαι, μέλαιναι, εὐώδεις, ἔμπικροι. φύεται δὲ ἐν τόποις ἐργασίμοις καὶ τελματώδεσιν. ἀρίστη δέ ἐστιν ἡ βαρυτάτη καὶ πυκνὴ καὶ ἁδρά, δύσθραυστος, τραχεῖα, εὐώδης μετά τινος δριμύτητος· τοιαύτη δέ ἐστιν, ἡ κιλίκιος, καὶ ἡ συριακὴ καὶ ἡ ἀπὸ τῶν κυκλάδων νήσων. δύναμις δὲ ἔστιν αὐτῇ θερμαντική, ἀναστομωτική, διουρητική. λιθιῶσι καὶ ὑδρωπικοῖς πινομένη βοηθεῖ. καὶ σκορπιοδήκτοις. καὶ ταῖς περὶ μήτραν δὲ καταψύξεσι καὶ μύσεσι πυριωμένη, βοηθεῖ. ἄγουσα ἔμμηνα. ποιεῖ δὲ καὶ τοῖς ἐν στόμασιν ἕλκεσι καὶ νεμομένοις ξηρὰ λεία. μίγνυται καὶ μαλάγμασι θερμαντικοῖς. καὶ εἰς τὰ στίμματα τῶν μύρων εὔθετεῖ. ἱστορεῖται δὲ καὶ ἕτερον εἶδος κυπείρου ἐν ἰνδίᾳ γινόμενον. προσεοικὸς ζιγγιβέρει. ὃ διαμασηθὲν κροκῶδες εὑρίσκεται. καταχρισθὲν δέ, παραχρῆμα ψιλοῖ τὰς τρίχας.

## Περὶ καρδαμώμου. κεφ. ε´.

Καρδάμωμον ἄριστον τὸ ἐκ τῆς κομαγηνῆς καὶ ἀρμενίας καὶ βοσπόρου κομιζόμενον. γίνεται δὲ καὶ ἐν ἰνδίᾳ καὶ ἀραβίᾳ. ἐκλέγου δὲ τὸ δύσθραυστον· πλῆρες, μεμυκός. τὸ γὰρ μὴ τοιοῦτον, ἔξωρόν ἐστι, καὶ τὸ τῇ ὀσμῇ δὲ πληκτικόν. γεύσει δὲ δριμὺ καὶ ὑπόπικρον. δύναμιν δὲ ἔχει θερμαντικήν. ποιεῖ δὲ μεθ᾿ ὕδατος πινόμενον πρὸς ἐπιληπτικούς· βήττοντας· ἰσχιαδικούς. καὶ παραλύσει· ῥήγματα· σπάσματα· στρόφους. καὶ ἕλμινθας πλατείας ἐκβάλλει. μεθ᾿ οἴνου δὲ πινόμενον, νεφριτικοῖς· δυσουροῦσι· σκορπιοπλήκτοις. καὶ πᾶσι τοῖς ἰοβόλοις ἁρμόζει. μετὰ δὲ δάφνης ῥίζης φλοιοῦ ποθεῖσα < λίθους θρύπτει. φθείρει καὶ ἔμβρυα ὑποθυμιώμενον. καὶ ψώρας ἐξαίρει σὺν ὄξει καταχριόμενον. μίγνυται δὲ καὶ εἰς τὰς τῶν μύρων συνθέσεις.

## Περὶ νάρδου. κεφ. ς´.

Νάρδου ἐστὶ δύο γένη· ἡ μέν, γάρ τις καλεῖται ἰνδική· ἡ δὲ συριακή. οὐχ ὅτι ἐν συρίᾳ εὑρίσκεται. ἀλλ᾿ ὅτι τοῦ ὄρους ἐν ᾧ γεννᾶται, τὸ μὲν πρὸς συρίαν τέτραπται. τὸ δὲ πρὸς ἰνδούς. καὶ τῆς λεγομένης συριακῆς, ἐστὶ βελτίων ἡ πρόσφατος καὶ κούφη. πολύκομος. ξανθὴ τὴν χρόαν. εὐώδης ἄγαν. καὶ μετὰ τοῦ κυπερίζειν ἐν τῇ ὀσμῇ, μικρὸν ἔχουσα τὸν στάχυν· πικρὰ τὴν γεῦσιν. καὶ γλώσσης ἀναξηραντική. ἐπιμένουσά τε τῇ εὐωδίᾳ ἐφ᾿ ἱκανόν. τῆς δὲ ἰνδικῆς ἡ μέν τις λέγεται γαγγῖτις. ἀπό τινος ποταμοῦ παραρρέοντος τοῦ ὄρους γάγγου καλουμένου, παρ᾿ ᾧ φύεται. ἀσθενεστέρα κατὰ δύναμιν οὖσα, διὰ τὸ ἔφυδρα τῶν τόπων εἶναι καὶ ἐπιμηκεστέρα· πλήρης τε ἔχουσα τοὺς στάχυς. ἀπὸ τῆς αὐτῆς ῥίζης, καὶ πολυκόμους καὶ περιπεπλεγμένους. βρομώδεις κατὰ τὴν ὀσμήν. ἡ δὲ ὀρεινοτέρα εὐωδεστέρα. κολοβοστάχυς. κυπερίζουσα κατὰ τὴν εὐωδίαν. ἔχουσά τε καὶ ἄλλα ἐν αὐτῇ, ὥσπερ καὶ ἡ συριακὴ λεγομένη. καλεῖται δέ τις καὶ σαμφαριτική, σφόδρα κολοβή. ἀπὸ χωρίου ὀνομασμένη. μεγαλοστάχυς. λευκότερον, καυλὸν, ἔσθ᾿ ὅτε μέσον ἔχουσα. ὑπερβάλλουσα τῇ ὀσμῇ, ἣν δεῖ ἀποκλείεσθαι. πιπράσκεται δὲ καὶ ἀποβε-

ἐρριμμένη· ὅπερ γίνεσθαι ἐκ τοῦ λευκὸν εἶναι τὸν στάχυν καὶ αὐχμηρόν. ἢ μὴ ἔχειν τὸν χνοῦν. δολιάζουσι δὲ αὐτὴν ἐμφυσῶντες στίμμι μεθ' ὕδατος ἢ οἴνου φοινικίνου, πρὸς τὸ συμπιλοῦσθαι αὐτὴν, καὶ βαρυτέραν γίνεσθαι. ἐπεὶ δὲ χρείας ἀφαιρεῖν δεῖ, εἰ προσείη ταῖς ῥίζαις πηλός. καὶ σήθειν χωρίζοντα τὸν κονιορτόν. ὃν χρηστοῦται εἰς χειρόνιπτρον. δύναμιν δὲ ἔχουσι θερμαντικήν. ξηραντικήν. οὐρητικήν. ὅθεν κοιλίας τε ἱστᾶσι πινόμεναι, καὶ τὰς ἐκ μήτρας ῥύσεις προστιθέμεναι, καὶ ἰχῶρας στέλλουσι. βοηθοῦσι δὲ καὶ ναυτίαις, σὺν ψυχρῷ ὕδατι πινόμεναι. καὶ καρδιωγμοῖς. καὶ ἐμπνευματουμένοις. ἡπατικοῖς τε καὶ ἰκτερικοῖς. καὶ νεφριτικοῖς. ἐναφεψηθεῖσαι δὲ ὕδατι. καὶ πυελιασθεῖσαι, εἰς ἐγκάθισμα φλεγμονὰς μήτρας ἰῶνται. ποιοῦσι καὶ πρὸς τὰς ἐν ὀφθαλμοῖς μαδήσεις τῶν βλεφάρων. σύφουσαι καὶ δασύνουσαι τὰς βλεφαρίδας. καὶ ξηροῖς τε σώμασι διάπασμα. μίσγονται δὲ καὶ ἀντιδότοις. ἀποτίθεται δὲ εἰς τὰ ὀφθαλμικά, ἐν ἀγγείῳ τινὶ ἀκονίτῳ. λεοτριβηθεῖσαι σὺν οἴνῳ καὶ ἀναπλασθεῖσαι.

## Περὶ κελτικῆς νάρδου. Κεφα. ζ.

Ἡ δὲ κελτικὴ νάρδος, γεννᾶται μὲν ἐν ταῖς κατὰ λιγυρίαν ἄλπεσι. ἐπιχωρίως ὠνομασμένη σαλιοῦγκα. γεννᾶται δὲ αὕτη ἐν ἰστρίᾳ. ἔστι δὲ θαμνίσκος μικρὸς σὺν ταῖς ῥίζαις, εἰς δέσμας ἀναλαμβανόμενος χειροπληθεῖς. ἔχει δὲ φύλλα ὑπομήκη. ὑπόξανθα. ἄνθος μήλινον. μόνων δὲ τῶν καυλῶν ἐστὶ καὶ τῶν ῥιζῶν ἡ χρῆσις καὶ ἡ εὐωδία. ἔσω δεῖ πρὸ μιᾶς ἡμέρας καταρράναντας ὕδατι τὰς δέσμας καὶ κοσκινίζοντας τὸ γεῶδες, πάσας ἐπ' ἐδάφους νοτεροῦ, προϋποκειμένου χαρτίου. τῇ δὲ ὑστεραίᾳ καθαίρειν. οὐ γὰρ συναποκαθαίρεται ἐπὶ τὸ ἀχυρῶδες καὶ ἀλλότριον τὸ εὔχρηστον, διὰ τὴν ἐκ τῆς ἰκμάδος εὐτονίαν. δολίζεται δὲ συναποτιθεμένης αὐτῇ, πόας ἐμφεροῦς. ἣν διὰ τὸ περὶ τὴν ὀσμὴν βρομῶδες, τράγιον καλοῦσιν. εὐχερὴς δὲ ἡ ἐπίγνωσις. ἄκαυλος γάρ ἐστιν ἡ πόα καὶ λευκοτέρα. καὶ ἧττον ἐπιμήκη τὰ φύλλα ἔχει, οὐδὲ τὴν ῥίζαν πικρὰν ἢ ἀρωματίζουσαν ὡς προσῶν τῆς ἀληθινῆς ἔχει. ἀπεκλείνας οὖν τὰ καυλία καὶ τὰς ῥίζας, τὰ δὲ φυλλάρια ῥίψας, ὀφείλεις ἀποτίθεσθαι, ἀναλαμβάνων λείαν οἴνῳ. καὶ τροχίσκους ἀναπλάττων, φύλαττε ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ. πωμάζων ἐπιμελῶς. ἀρίστη δέ ἐστιν ἡ πρόσφατος καὶ εὐώδης. πολύρριζος. οὐκ εὔθρυπτος. πλήρης. δύναται δὲ ὅσα καὶ ἡ συριακή. διουρητικωτέρα τε καὶ εὐστομαχωτέρα. ὠφελεῖ δὲ καὶ τὰς περὶ τὸ ἧπαρ φλεγμονὰς καὶ ἰκτερικούς. καὶ πνευματώσεις στομάχου, μετὰ ἀφεψήματος ἀψινθίου πινομένη. ὁμοίως καὶ σπλῆνα. καὶ τὰ περὶ τὴν κύστιν καὶ νεφρούς. καὶ πρὸς τὰ ἰοβόλων δήγματα σὺν οἴνῳ. καὶ εἰς τὰ μαλάγματα μίσγονται καὶ ποτίσματα. καὶ χρίσματα θερμαντικά.

## Περὶ ὀρεινῆς νάρδου. Κεφα. η.

Ἡ δὲ ὀρεινὴ νάρδος, καλουμένη δὲ ὑπό τινων καὶ θυλακῖτις καὶ νῆρις, γεννᾶται ἐν κιλικίᾳ καὶ συρίᾳ. φύλλα καὶ καυλοὺς ὁμοία ἠρυγγίῳ ἔχουσα, μικρότερα μὲν, οὐ μὴν τραχέα καὶ ἀκανθώδη. ῥίζας δὲ ὑπεισι μελαίνας εὐώδεις δύο. ἢ καὶ πλείους. ὡς τῆς ἀσφοδέλου. ἰσχνοτέρας καὶ μικροτέρας πολλῷ. οὔτε δὲ καυλὸν οὔτε καρπὸν οὔτε ἄνθος φέρει. ποιεῖ δὲ ἡ ῥίζα πρὸς ὅσα καὶ ἡ κελτικὴ νάρδος.

## Περὶ ἀσάρου. Κεφα. θ.

Ἄσαρον. οἱ δὲ νάρδον ἀγρίαν καλοῦσι. προφῆται αἷμα ἄρεως. ὀσθάνης, θέσαρ. αἰγύπτιοι κερίφα. ῥωμαῖοι περπρεσσάμ. οἱ δὲ βάκχαρ. θοῦσκοι σούκκιτουμ. οἱ δὲ, νάρδον ῥου-

στικὴ μέν. γάλλοι βάκκαρ. ἄσαρον πόα εὐώδης στεφανωματική· φύλλα ἔχει κισσῷ ὅμοια, μικρότερα δὲ πολλῷ καὶ στρογγυλώτερα. ἄνθη μεταξὺ τῶν φύλλων πρὸς τῇ ῥίζῃ, πορφυρᾶ, εὐώδη, ὑοσκυάμῳ μέν τινα ἐμφερῆ· ἐν οἷς τὸ σπέρμα ἐοικὸς γιγάρτῳ. ἔχον καυλία γωνιοειδῆ, ὑπότραχυ, ἀραιά. ῥίζαι ὕπεισι πολλαί, γονατώδεις, λεπταί, πλάγιαι, ὅμοιαι ἀγρώστει, ἰσχνότεραι μέντοι πολλῷ καὶ εὐώδεις, ἐοικυῖαι τῇ ὀσμῇ κινναμώμῳ. φιλεῖ τραχέα χωρία καὶ ἄνικμα. ταύτης ἡ ῥίζα, βοηθεῖ ῥήγμασι, σπάσμασι, βηχὶ χρονίῳ, δυσπνοίᾳ, δυσουρίᾳ. ἄγει καὶ ἔμμηνα. καὶ θηριοδήκτοις χρήσιμος σὺν οἴνῳ πινομένη. τὰ δὲ φύλλα στυπτικὰ ὄντα, καταπλασσόμενα, ὠφελεῖ κεφαλαλγίας, ὀφθαλμῶν φλεγμονάς. καὶ αἰγίλωπας ἀρχομένους. καὶ μαστοὺς ἐκ τόκων φλεγμαίνοντας. καὶ ἐρυσιπέλατα. ἔστι δὲ ὑπνωτικὸς ἡ κόμη. καὶ Κρατεύας ὁ ῥιζοτομικὸς εἰς τὸ αὐτό. Ἄσαρον δύναμιν ἔχει διουρητικὴν καὶ θερμαντικήν. ἁρμόζουσαν ὑδρωπικοῖς, ἰσχιαδικοῖς χρονίοις. ἄγουσι δὲ καὶ ἔμμηνα μετὰ μελικράτου ποθεῖσαι αἱ ῥίζαι πλῆθος < ϛ· καὶ καθαίρουσιν ὡς ἐλλέβορος λευκός. μίσγονται δὲ καὶ μύροις. φύεται ἐν ὑποσκίοις ὄρεσι. πλεῖστα δὲ ἐν πόντῳ καὶ φρυγίᾳ καὶ ἰλλυρίδι, καὶ ἰουστίνῃ τῆς ἰταλίας. Περὶ φοῦ. κεφ. ι.

Φοῦ. οἱ δὲ καὶ τοῦτο ἀγρίαν νάρδον καλοῦσι. γεννᾶται μὲν ἐν πόντῳ. φύλλα δὲ ἐλαφοβοσκῷ ἢ ἱπποσελίνῳ παραπλήσια ἔχει. καυλὸν πηχυαῖον, ἢ μείζω, λεῖον, τρυφερόν, ἐμπόρφυρον, μεσόκοιλον, διειλημμένον γόνασιν. ἄνθη πρὸς τὰ τοῦ ναρκίσσου, μείζω δὲ καὶ τρυφερώτερα. καὶ ἐν τῷ ὑπολεύκῳ διαπόρφυρα. ῥίζα δὲ ἡ μὲν ἄνωθεν, περὶ δακτύλου μικροῦ τὸ πάχος. πλάγια δὲ ἐπιρρίζια ἔχει καθάπερ σχοῖνος ἢ μέλας ἐλλέβορος, ἀλλήλοις ἐπιπεπλεγμένα, ὑπόξανθα, εὐώδη, ναρδίζοντα τῇ ὀσμῇ, μετά τινος βαρους βρομώδους. δύναται δὲ θερμαίνειν. οὖρα κινεῖν, ξηρὰ πιζομένη. καὶ τὸ ἀπόζεμα δὲ αὐτῆς, τὸ αὐτὸ δύναται. ποιεῖ καὶ πρὸς πλευρᾶς πόνον. ἔμμηνά τε ἄγει καὶ ἀντιδότοις μίσγεται. δολοῦται δὲ ὀξυμυρσίνης ῥίζαις συμμισγομένη. εὐχερὴς δὲ ἡ ἐπίγνωσις αὐτῆς ἐστι. σκληραὶ γάρ εἰσιν αὗται καὶ εὔθραυστοι, οὐκ εὐώδεις. Περὶ μαλαβάθρου. κεφ. ια.

Μαλάβαθρον, ἔνιοι ὑπολαμβάνουσιν εἶναι τῆς ἰνδικῆς νάρδου φύλλον, πλανώμενοι ὑπὸ τῆς κατὰ τὴν ὀσμὴν ἐμφερείας. πολλὰ γάρ ἐστιν ὅμοια τῇ ὀσμῇ νάρδῳ, ὡς τὸ φοῦ, ἄσαρον, ἶρις. οὐκ ἔχει δὲ οὕτως. ἴδιον δέ ἐστι γένος φυόμενον ἐν τοῖς ἰνδικοῖς τέλμασι. φύλλον ὂν ἐπινηχόμενον τῷ ὕδατι, καθάπερ ἡ ἐπὶ τῶν τελμάτων φακῆ. ῥίζαν οὐκ ἔχον. ὅπερ συλλέγοντες, εὐθέως διαπείρουσι λίνῳ. καὶ ξηράναντες ἀποτίθενται. φασὶ δὲ τῆς θερείας ἀναξηρανθέντος τοῦ ὕδατος, καίεσθαι φρυγάνοις τὴν γῆν. μὴ γινομένου γὰρ τούτου μηκέτι φύεσθαι. ἔστι δὲ καλὸν τὸ πρόσφατον καὶ ὑπόλευκον, ἐν τῷ μελανίζειν τε ἄθραυστον καὶ ὁλόκληρον. πληκτικὸν τῇ ὀσμῇ. καὶ ἐπιδιαμένον τῇ εὐωδίᾳ. ναρδίζον δὲ τῇ γεύσει, μὴ ἁλμυρίζον. τὸ δὲ ἀδρανὲς καὶ τὸ λεπτὸν ἐσκοτισμένον, εὐρωτιῶσαν ἔχον τὴν ἀποφοράν, φαῦλον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ νάρδῳ. ἐνεργέστερον δὲ ἐκείνη πάντα ποιεῖ. διουρητικωτέρα μέντοι καὶ εὐστομαχωτέρα ἐστὶν ἡ τοῦ μαλαβάθρου δύναμις. καὶ πρὸς τὰς ὀφθαλμίας καὶ πρὸς τὰς φλεγμονὰς ἁρμόζει, ἀναζεσθὲν ἐν οἴνῳ καὶ λεῖον ἐπιχριόμενον. ὑποτίθεται δὲ καὶ γλώσσῃ πρὸς εὐωδίαν στόματος. καὶ σὺν ἱματίοις τίθεται· ἄβρωτα γὰρ καὶ εὐώδη ταῦτα τηρεῖ. Περὶ κασίας. κεφ. ιβ.

Κασίας δέ ἐστι πλείονα εἴδη. περὶ τὴν ἀρωματοφόρον ἀραβίαν γεννώμενα. ἔχει δὲ ῥάβδον παχύφλοιον. φύλλα δὲ ὡς πεπέρεως. ἐκλέγου δὲ τὴν ἔγκιρρον, εὔχρουν, κορ-

ραλί

ῥαΐζουσαν· στενὴν λίαν, μακρὰν καὶ παχεῖαν, τοῖς συριγγίοις πλήρη· δηκτικὴν ἐν τῇ γεύσει καὶ στύφουσαν μετὰ ποσῆς πυρώσεως· ἀρωματίζουσαν, οἰνίζουσαν τῇ ὀσμῇ. ἡ δὲ τοιαύτη ὑπὸ τῶν ἐπιχωρίων ἀχὺ καλεῖται· δαφνῖτις δὲ προσαγορεύεται ὑπὸ τῶν ἐν ἀλεξανδρείᾳ ἐμπόρων. πρὸ δὲ ταύτης ἐστὶν ἡ μέλαινα καὶ ἐμπόρφυρος παχεῖα, ζιγὶρ καλουμένη, ῥοδίζουσα τῇ ὀσμῇ, μάλιστα πρὸς τὴν ἰατρικὴν χρῆσιν εὔθετος. δευτερεύει δὲ ἡ προειρημένη. τρίτη δέ ἐστιν ἡ καλουμένη βλαστὸς μοσυλιτικός. αἱ δὲ λοιπαὶ εὐτελεῖς· ὡς ἡ καλουμένη ἀφύμων, μέλαινα καὶ ἀηδὴς καὶ λεπτόφλοιος, ἢ ἡ φλοιοῤῥαγής. ὡς καὶ ἡ κιττὼ καὶ δάρκα καλουμένη.

Περὶ ψευδοκασσίας. κεφ. ιγ.

Ἔστι δέ τις καὶ ψευδοκασσία ἀφανῶς ἐμφερής, ἥτις ἐλέγχεται τῇ γεύσει, οὐκ οὖσα δριμεῖα, οὐδὲ ἀρωματώδης· προσεχόμενόν τε τὸν φλοιὸν ἔχει τῇ ἐντεριώνῃ. εὑρίσκεται δέ τις καὶ πλατεῖα σύριγξ, ἁπαλή, κούφη, εὐθρυής, διαφέρουσα δὲ τῆς ἄλλης. ἀποδοκιμάζουσι δὲ τὴν ὑπόλευκον καὶ ψωρώδη, τραγίζουσαν ἐν τῇ ὀσμῇ, καὶ τὴν μὴ ἔχουσαν δὲ τὴν σύριγγα παχεῖαν. ψωρώδη δὲ καὶ λεπτήν. δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ οὐρητικήν, ξηραντικήν, στύφουσαν πραέως. ἁρμόζει δὲ εἰς τὰ πρὸς ὀξυδορκίαν ὀφθαλμικὰ καὶ μαλάγματα. φακούς τε αἴρει μετὰ μέλιτος καταχριομένη. καὶ ἔμμηνα ἄγει. καὶ ἐχιοδήκτοις βοηθεῖ πινομένη. καὶ πρὸς τὰς ἐντὸς φλεγμονὰς πάσας ποιεῖ καὶ πρὸς νεφρούς. εἰς ἐγκαθίσματά τε καὶ ὑποθυμιάματα γυναιξί, πρὸς ἀνευρυσμὸν μήτρας. διπλάσιον δὲ αὐτῆς μισγόμενον τοῖς φαρμάκοις, εἰ μὴ παρείη κιννάμωμον, τὸ αὐτὸ δρᾷ. ἄγαν δέ ἐστι πολύχρηστος.

Περὶ κινναμώμου. κεφ. ιδ.

Κινναμώμου ἐστὶ πλείονα εἴδη, ὀνομαζόμενα ἐπιχωρίως. διαφέρει δὲ τὸ μόσυλον, διὰ τὸ φέρειν ποσὴν ἐμφέρειαν πρὸς τὴν μοσυλίτην καλουμένην κασσίαν· καὶ τούτου προκριτὸν τὸ πρόσφατον, τῇ χροιᾷ μέλαν, τεφρίζον ἐν τῷ οἰνώδει, λεπτὸν δὲ τοῖς ῥαβδίοις καὶ λεῖον, ὄζοις συνεχέσι κεχρημένον, σφόδρα εὐῶδες· σχεδὸν γὰρ ἡ τοῦ ἀρίστου κρᾶσίς ἐστι παρὰ τὴν ἐν τῇ εὐωδίᾳ ἰδιότητα. εὑρίσκεται γὰρ μετὰ τοῦ ἀρίστου καὶ ἰδιάζοντος ἡ ὀσμὴ καρδαμώμῳ ἐμφερής. ἔτι καὶ δριμὺ καὶ δηκτικὸν τῇ γεύσει, καὶ ὑφαλμυρίζον μετὰ θερμασίας, ἔν τε τῇ παρατρίψει μὴ ταχέως δασυνόμενον. καὶ ἐν τῷ θραύεσθαι χνοῶδες, καὶ λεῖον ἔχον τὸ μεταξὺ τῶν ὄζων. δοκίμαζε δὲ ἀπὸ μιᾶς ῥίζης λαμβάνων τὸν θαμνόν. εὐχερὴς γὰρ ἡ τοιαύτη δοκιμασία. τὰ γὰρ θραύσματα μίγματα τυγχάνει. καὶ ἤδη τὴν πρώτην δοκιμασίαν τὰ κρείττονα περιπνέοντα καὶ πληροῦντα τὴν ὄσφρησιν, ἐμποδίζει τὴν τοῦ ἥττονος ἐπίκρισιν. ἔστι δὲ καὶ ὀρεινόν, παχύ, κολοβόν, σφόδρα ὑπόκιῤῥον τὴν χρόαν. καὶ τρίτον παρὰ τὸ μόσυλον, μέλαν καὶ λίαν εὐῶδες, εὐερνῶδες δὲ καὶ οὐ πολυγόνατον. τέταρτον, λευκόν, χαῦνον, ὀγκῶδες ἰδέσθαι καὶ εὐτελές, εὔθραυστόν τε, καὶ μεγάλην ἔχον ῥίζαν, κασσίζουσαν. πέμπτον τὴν ὀσμὴν ὑπόκιῤῥον, ἢ προσεμφερὲς τὸν φλοιὸν κασσίᾳ πυρρᾷ· πρὸς τὴν ἁφὴν δὲ στερεόν, οὐ πάνυ ἰνῶδες, παχύῤῥιζον. τούτων δὲ τὸ πνέον λιβανωτοῦ ἢ κασσίας ἢ ἀμώμου, εὐωδίας ἧττόν ἐστιν. ἀπολέγειν δὲ τὸ ψωρῶδες καὶ τὸ ῥυσσόκαρφον καὶ λεῖον, καὶ τὸ ξυλῶδες. τὴν ῥίζαν δὲ ὡς ἀχρεῖαν παραιτοῦ.

Περὶ ψευδοκινναμώμου. κεφ. ιε.

Ἔστι δέ τι ἄλλο τὸ καλούμενον ψευδοκιννάμωμον, οὐκ εὔχροον τῇ ὀσμῇ, ἐκλελυμένον δὲ καὶ τῇ δυνάμει. καλεῖται δὲ καὶ ζιγγίβερ ξυλοκιννάμωμον, ὂν ἔχον τινὰ ἐμφέρειαν κινναμώμῳ. ἔστι δὲ ξυλῶδες κιννάμωμον, ἔχον ῥαβδία μακρὰ καὶ ὁμαλὰ καὶ

τὴν εὐωδίαν πολὺ καταδεεστέρας. λέγεται δὲ ὑπ᾽ ἐνίων καὶ κατὰ γένος διαφέρειν τὸ
κινναμώμου τὸ ξυλοκιννάμωμον ἑτέρας ὂν φύσεως. δύναμιν δὲ ἔχει πᾶν κιννάμω-
μον θερμαντικήν. οὐρητικήν. μαλακτικήν. πεπτικήν. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμ-
βρυα πινόμενον καὶ προστιθέμενον μετὰ σμύρνης. καὶ ἰοβόλοις θηρίοις καὶ θανασί-
μοις ἁρμόζει καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα ἀποκαθαίρει. θερμαίνει τε καὶ λεπτύ-
νει. καὶ ἔστι διουρητικόν. φακούς τε ἐφήλεις ἀποκαθαίρει μετὰ μέλιτος ἐπιχριόμεν-
ον. ποιεῖ δὲ καὶ πρὸς βῆχας. κατάρρους. ὑδρώπας. νεφριτικούς. δυσουρίας. μίσγεται δὲ
καὶ τοῖς πολυτελέσι μύροις. καὶ καθόλου ἐστὶ πολύχρηστον. ἀποτίθεται δὲ εἰς διαμονὴν
λεῖον. οἴνῳ ἀναλαμβανόμενον καὶ ξηραινόμενον ἐν σκιᾷ. ἔστι δέ τι λεγόμενον κιννά-
μωμον, ὃ ἔνιοι ψευδοκιννάμωμον καλοῦσιν. εὐτελὲς σφόδρα καὶ παχυραβδότερον. κα-
τὰ πολλὰ μέντοι γε ἐλαττούμενον κινναμώμου κατὰ τὴν ὀσμὴν καὶ γεῦσιν.

Περὶ ἀμώμου. κεφ. ιϛ΄.

Ἄμωμόν ἐστι θαμνίσκος οἱονεὶ βότρυς. ἐκ ξύλου ἀντεμπεπλεγμένος ἑαυτῷ. ἔχει δέ τι
καὶ ἄνθος μικρὸν, ὡς λευκοΐου. φύλλα δὲ βρυωνίᾳ ὅμοια. κάλλιστον δέ ἐστι τὸ ἀρμένι-
ον. χρυσίζον τῇ χρόᾳ. ἔχον τε τὸ ξύλον ὑπόκιρρον, εὐῶδες ἱκανῶς. τὸ δὲ μηδικὸν διὰ
τὸ ἐν πεδίοις καὶ ἐν ἐφύδροις τόποις φύεσθαι, ἀδυνατώτερον. ἔστι δὲ μέγα καὶ ὑπόχλω-
ρον. καὶ πρὸς τὴν ἁφὴν ἁπαλόν. ἰνῶδες τοῖς ξύλοις, ὀριγανίζον τῇ ὀσμῇ. τὸ δὲ πον-
τικὸν, ὑπόκιρρον οὐ μακρόν. οὐδὲ δύσθραυστον. βοτρυῶδες. πλῆρες καρποῦ. καὶ τῇ
ὀσμῇ πληκτικόν. ἐκλέγου δὲ τὸ πρόσφατον καὶ λευκὸν ἢ ὑπέρυθρον. οὐδὲ πεπλημέ-
νον ἢ συμπεπλεγμένον. λελυμένον δὲ καὶ διακεχυμένον. σπέρματος πλῆρες. ὅμοι-
ον βοτρυδίοις. βαρύ. σφόδρα εὐῶδες, δίχα εὐρῶτος. καὶ δριμύ. δάκνον τὴν γεῦσιν.
ἁπλοῦν τὴν χρόαν καὶ οὐ ποικίλον. δύναμιν δὲ ἔχει θερμαντικήν. στυπτικήν. ξηραν-
τικήν. ὑπνοποιόν. ἀνώδυνον, τῷ μετώπῳ καταπλασσόμενον. φλεγμονάς τε καὶ με-
λικηρίδας, πέπτει καὶ διαφορεῖ. σκορπιοπλήκτοις τε μετὰ ὠκίμου καταπλα-
σθὲν, ὠφελεῖ. ποδαγρικοῖς συμβάλλεται καὶ ὠφελεῖ. καὶ πραΰνει. καὶ ὀφθαλμῶν
φλεγμονάς. καὶ τὰς ἐν σπλάγχνοις σὺν σταφίδι. πρὸς δὲ τὰ γυναικεῖα καὶ ἐν προσθέ-
τοις, καὶ ἐν ἐγκαθίσμασι χρήσιμον. ποιεῖ δὲ τὸ ἀφέψημα αὐτοῦ ἁρμόζει ἡπατικοῖς. νε-
φριτικοῖς. ποδαγρικοῖς. μίσγεται δὲ καὶ ἀντιδότοις. καὶ τοῖς πολυτελεστάτοις τῶν μύ-
ρων. δολίζουσι δέ τινες τὸ ἄμωμον, τῇ λεγομένῃ ἀμωμίδι. ἐμφερεῖ οὔσῃ ἀμώμῳ. ἀό-
σμῳ μέντοι καὶ ἀκάρπῳ. γινομένῃ δὲ ἐν ἀρμενίᾳ. ἄνθος ἐχούσῃ ἐμφερὲς ὀριγάνῳ. δεῖ
δὲ ἐν ταῖς τῶν τοιούτων δοκιμασίαις τὰ θραύσματα ἐκφεύγειν. ἐκλέγου δὲ τὰ ἀπὸ μι-
ᾶς ῥίζης ἔχοντα κλάδους πλείους.

Περὶ κόστου. κεφα. ιζ΄.

Κόστου διαφέρει ὁ ἀραβικός. λευκὸς ὢν καὶ κοῦφος. πλείστην ἔχων καὶ ἡδεῖαν τὴν ὀσμὴν.
δεύτερος δὲ ὁ ἰνδικὸς ἁδρὸς ὢν καὶ κοῦφος καὶ μέλας ὡς νάρθηξ. τρίτος δέ ἐστιν ὁ συ-
ριακός. βαρύς. τὴν χρόαν πυξώδης. πληκτικὸς τῇ ὀσμῇ. ἄριστος δέ ἐστιν ὁ πρόσφα-
τος. λευκός. πλήρης δι᾽ ὅλου. πυκνός. ξηρός. ἀτερηδόνιστος. ἄβρωμος. γεύσει δηκτικὸς
καὶ πυρώδης. δύναμιν δὲ ἔχει θερμαντικήν. διουρητικήν. ἐμμήνων ἀγωγὸν καὶ τῶν περὶ ὑστέ-
ραν παθῶν ἀρωγόν. ἐν προσθέμασι καὶ καταντλήμασι καὶ πυριάσεσι. πινόμενον δὲ ἐχο-
δήκτοις βοηθεῖ ὀλκῆς β΄ πλῆθος. καὶ πρὸς θώρακος πόνους καὶ σπάσματα. καὶ πνευματώ-
σεις μετ᾽ οἴνου καὶ ἀψινθίου. καὶ ἀφροδίσια δὲ παρορμᾷ μετ᾽ οἰνομέλιτος. ἄγει δὲ καὶ ἕλ-

μινθας

μιγνύμενα πλατείαις μεθ' ὕδατος. σὺν ἐγχρίσματι ῥιγοῦσι μετ' ἐλαίου πρὸ τῆς ἐπισημασίας παραλυτικοῖς. καθαίρει δὲ καὶ ἴφλιν καταχριόμενα μεθ' ὕδατος ἢ μέλιτος. μίγνυται δὲ καὶ μαλάγμασι καὶ ἀντιδότοις. μιγνύουσι δ' ἔνιοι τὰς ῥωμαλεωτάτας τοῦ κομμαγηνοῦ ἐλενίου ῥίζας δολοῦντες αὐτήν. εὐχερὴς δὲ ἡ διάγνωσις. οὔτε γὰρ πυρεῖ τὴν γεῦσιν τὸ ἐλένιον, οὔτε τὴν εὐωδίαν ἄνθυγρον καὶ πληκτικὴν παρέχει.

Περὶ σχοίνου. κεφ. ιη.

Σχοῖνος, ἡ μέν τις φύεται ἐν λιβύῃ. ἡ δὲ, ἐν ἀραβίᾳ. ἑτέρα δὲ ἐν τῇ ναβαταίᾳ λεγομένῃ. ἥτις ἐστὶ κρατίστη. δευτερεύει δὲ ἡ ἀραβική. ἣν ἔνιοι βαβυλώνιον καλοῦσιν. οἱ δὲ, τευχῖτιν. ἡ δὲ λιβυκὴ ἄχρηστος. ἐκλέγου δὲ τὴν πρόσφατον, ἔμπυρρον, πολυανθῆ. σχιζομένην δὲ ἐμπόρφυρον καὶ λεπτήν, καὶ ῥοδίζουσαν τῇ εὐωδίᾳ ἐπειδὰν διατριβῇ ταῖς χερσί. δάκνουσαν τὴν γλῶσσαν μετὰ ποσῆς πυρώσεως. χρῆσις δὲ τοῦ ἄνθους καὶ τῶν καλάμων καὶ τῆς ῥίζης. δύναμιν δὲ ἔχει διουρητικήν. ἔμμηνιον ἀγωγόν. πνευμάτων διαλυτικήν. κεφαλῆς καρηβαρικήν. ὑποστύφουσαν μετρίως. ἔστι δὲ θρυπτικήν. πεπτικήν. ἀναστομωτικὴν καὶ διουρητικήν. τὸ μὲν οὖν ἄνθος αὐτῆς, ποτίσμασι χρήσιμον πρὸς αἵματος ἀναγωγὰς καὶ πόνους στομάχου. πνεύμονος. ἥπατος νεφρῶν. μίγνυται δὲ, εἰς ἀντιδότους. ἡ δὲ ῥίζα στυπτικωτέρα. διὸ καὶ τοῖς ἀσώδεσι στομάχοις δίδοται ὑδρωπιῶσί τε καὶ σπασμασι μετὰ ἴσου πεπέρεως πρὸς ἡμέρας τινάς. τὸ δὲ ἀπόζεμα αὐτῆς, ταῖς περὶ μήτραν φλεγμοναῖς εἰς ἐγκάθισμα ἁρμόδιον.

Περὶ καλάμου. κεφ. ιθ.

Κάλαμος ἀρωματικὸς, φύεται μὲν ἐν ἰνδίᾳ. ἔστι δὲ αὐτοῦ κάλλιστος ὁ κιρρός. πυκνογόνατος. καὶ εἰς πολλοὺς σχινδαλμοὺς θραυόμενος. γέμων ἀραχνίων τὴν σύριγγα. ὑπόλευκος. ἐν δὲ τῇ διαμασήσει γλίσχρος. στυπτικός. ὑποδριμύς. πικρός. δύναται δὲ οὖρα κινεῖν ποθείς. ὅθεν ἁρμόζει μετὰ ἀγρώστεως ἢ σελίνου σπέρματος ἀφεψηθεὶς καὶ ποθεὶς, ὑδρωπικοῖς. νεφριτικοῖς. στραγγουριῶσι. ῥήγμασιν. ἄγει δὲ καὶ ἔμμηνα πινόμενος καὶ προστιθέμενος. βῆχάς τε ἰᾶται ὑποθυμιώμενος καθ' ἑαυτόν, καὶ σὺν ῥητίνῃ τερεβινθίνῃ, τοῦ καπνοῦ διὰ σύριγγος ἑλκομένου τῷ στόματι. ἀφέψεται δὲ καὶ εἰς ἐγκαθίσματα γυναικεῖα. καὶ ἐγκλύσματα. μίγνυται δὲ καὶ μαλάγμασι. καὶ θυμιάμασι πρὸς εὐωδίας.

Περὶ βαλσάμου. κεφα. κ.

Βάλσαμον τὸ μὲν δένδρον κατὰ μέγεθος λευκοΐου ἢ λυκίου ἢ πυρακάνθης βλέπεται. φύλλα ἔχον ὅμοια πηγάνῳ. λευκότερα δὲ πολλῷ καὶ ἀειθαλέστερα. γεννώμενον ἐν μόνῃ ἰουδαίᾳ, κατά τινα αὐλῶνα καὶ ἐν αἰγύπτῳ. διαφέρον αὐτὸ ἑαυτοῦ. τραχύτητι καὶ μήκει καὶ ἰσχνότητι. λέγεται γοῦν τὸ λεπτὸν καὶ τριχῶδες τοῦ θάμνου θεριστόν. ἴσως διὰ τὸ εὐχερῶς θερίζεσθαι ἰσχνὸν ὄν.

Περὶ ὀποβαλσάμου. κεφ. κα.

Τὸ δὲ ὀποβάλσαμον λεγόμενον ὀπίζεται ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐν τεμνομένου σιδηροῖς ὄνυξι τοῦ δένδρου. ῥεῖ δὲ ὀλίγον. ὡς καθ' ἕκαστον χρόνον μὴ πλέον ἢ ἓξ ἢ ἑπτὰ χόας συναθροίζεσθαι. πωλεῖται δὲ ἐν τῷ τόπῳ σταθμὸς αὐτοῦ πρὸς διπλοῦν ἀργύριον. ἔστι δὲ ὀπὸς καλὸς ὁ πρόσφατος τῇ ὀσμῇ, εὔτονος καὶ εἰλικρινής. μὴ παροξίζων. εὐδιάχυτος. λεῖος. στύφων καὶ δάκνων μετρίως τὴν γλῶσσαν. δολοῦται δὲ ποικίλως. οἱ μὲν γὰρ χρίσματι μίσγουσιν αὐτό. ὡς τὸ τερεβίνθινον. κύπρινον. σχίνινον. σούσινον. βαλάνινον. μετώπιον. μέλι. κηρωτὴν μυρσίνην ἢ κυπρίνην ὑγράν. λείαν. ἐλέγχεται δὲ εὐχερῶς ὁ τοιοῦτος. ἐπισταλεὶς γὰρ ὁ ἀκέραιος εἰς ἐρεοῦν ὕφος καὶ ἐκπλυθείς, κηλῖδα οὐ ποιεῖ οὐ

δὲ ἄσπιλον· ὁ δὲ δεδολωμένος προσμένει. καὶ γάλακτι δὲ ἐπισταγεὶς πήγνυσι τοῦτο· ὅπερ δεδολωμένος οὐ δρᾷ. ἔτι ὁ ἀκέραιος ἐπιχυθεὶς γάλακτι ἢ ὕδατι, χεῖται ταχέως καὶ γαλακτοῦται. ὁ δὲ δεδολωμένος ἐπιπολάζει καθάπερ ἔλαιον· συστρεφόμενος ἢ διαχεόμενος ἀστεροειδῶς. τῷ μέντοι χρόνῳ καὶ ὁ ἀκέραιος παχυνόμενος, ἑαυτοῦ χείρων γίνεται. πλανῶνται δὲ οἱ νομίζοντες τοῦτον ἀκέραιον ἐπισταγέντα ὕδατι εἰς χωρεῖν εἰς βάθος πρῶτον· εἶτα ἀναπλεῖν διαχυθέντα.

## Περὶ ξυλοβαλσάμου. κεφά. κβʹ.

Τὸ δὲ ξύλον ἑαυτοῦ ὃ καλεῖται ξυλοβάλσαμον, δόκιμόν ἐστι τὸ πρόσφατον καὶ λεπτόκαρφον, καὶ πυῤῥόν. εὐῶδες. βραχὺ πνέον ὀποβαλσάμου. τοῦ δὲ καρποῦ, καὶ γὰρ τούτου ἡ χρῆσις ἀναγκαία, ἐκλέγου τὸν ξανθόν. πλήρη. μέγαν. βαρύν. δάκνοντα τὴν γεῦσιν καὶ πυροῦντα. μετρίως παραπνέοντα τοῦ ὀποβαλσάμου. φέρεται δὲ παρὰ τὸ πέτρας, ὃ δολίζουσι τὸν καρπὸν, σπέρμα ὑπερικῷ ὅμοιον. ὅπερ γνώσῃ ἐκ τοῦ μείζονά τε εἶναι καὶ κενὸν καὶ ἀδύναμον, πεπερίζειν τῇ γεύσει. δύναμιν δὲ ἔχει ἐνεργεστάτην ὁ ὀπὸς, θερμαντικώτατος ὤν. σμήχων τὰ ἐπισκοτοῦντα ταῖς κόραις καὶ τὰς περὶ μήτραν ψύξεις ἰώμενος. προστιθέμενος μετὰ ῥοδίνης κηρωτῆς. ἄγει δὲ καὶ ἔμμηνα καὶ δεύτερα. καὶ ἔμβρυα. καὶ ῥῖγος συγχρισθεὶς λύει. καθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ πεπτικὸς καὶ οὐρητικὸς πινόμενος. δυσπνοοῦσιν ἁρμόζων. καὶ τοῖς ἀκόνιτον πεπωκόσι μετὰ γάλακτος. καὶ θηριοδήκτοις. μίγνυται δὲ καὶ ἀκόποις καὶ μαλάγμασι καὶ ἀντιδότοις. καὶ καθόλου δραστικωτάτην ἔχει τὴν δύναμιν ὁ ὀπὸς τοῦ βαλσάμου. δεύτερος δὲ ὁ καρπὸς. ἐλαχίστην δὲ τὸ ξύλον. ὁ δὲ πινόμενος, ἁρμόζει πλευριτικοῖς. περιπνευμονικοῖς. βήσσουσιν. ἰσχιαδικοῖς. ἐπιληπτικοῖς. σκοτωματικοῖς. ὀρθοπνοικοῖς. στροφουμένοις. δυσουροῦσι. θηριοδήκτοις. καὶ εἰς τὰ γυναικεῖα δὲ ὑποθυμιάματα ἐπιτήδειος. καὶ εἰς ἐγκαθίσματα ἀφεψόμενος ἀναστομοῖ τὴν μήτραν. καὶ ἐπισπᾶται ὑγρασίαν. τὸ δὲ ξύλον τὴν αὐτὴν ἔχει δύναμιν τῷ καρπῷ. ἥσσονα μέντοι. βοηθεῖ δὲ ἀφεψηθὲν ὕδατι καὶ πινόμενον ἀπεψίαις. στρόφοις. θηριοδήκτοις. σπωμένοις. οὐρεῖ τε ἄγει. καὶ πρὸς τὰ ἐν κεφαλῇ τραύματα μετὰ ἴριδος ἁρμόζει ξηρᾶς. ἀνάγει δὲ καὶ λεπίδας. μίγνυται δὲ καὶ εἰς τὰ τῶν μύρων σύμματα.

## Περὶ ἀσπαλάθου. κεφά. κγʹ.

Ἀσπάλαθος. οἱ δὲ, ἐρυσίσκηπτρον. οἱ δὲ, σφάγνον· οἱ δὲ φάσγανον. σύροι δὲ διάξυλον καλοῦσι. θάμνος ἐστὶ ξυλώδης. ἀκάνθας πολλὰς κεκτημένος. γινόμενος ἐν ἴστρῳ καὶ νισύρῳ καὶ συρίᾳ καὶ ῥόδῳ. ᾧ χρῶνται οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ καλὸς ὁ βαρύς. καὶ μετὰ τὸ περιφλοιωθῆναι ὑπέρυθρος ἢ πορφυρίζων. πυκνός. εὐώδης. πικρίζων ἐν τῇ γεύσει. ἔστι δέ τι καὶ ἕτερον εἶδος αὐτοῦ λευκόν. ξυλῶδες. ἄοσμον. ὃ δὴ καὶ χεῖρον καθέστηκε. δύναμιν δὲ ἔχει θερμαντικὴν μετὰ στύψεως. ὅθεν πρός τε τὰς ἄφθας ἑψηθεὶς μετ' οἴνου καὶ διακλυζόμενος ἁρμόζει. καὶ πρὸς τὰς ἐν αἰδοίοις καὶ νομὰς καὶ ἀκαθαρσίας ἐγκλυζόμενος. ἔμβρυά τε κατασπᾷ μισγόμενος πεσσῷ. τὸ δὲ ἀφέψημα αὐτοῦ κοιλίαν ἵστησι. καὶ αἵματος ἀναγωγὴν ποθέν. δυσουρίαν τε καὶ ἐμπνευματώσεις λύει.

## Περὶ βρύου. κεφά. κδʹ.

Βρύον. ὑπό τινων δὲ σπλάγχνον καλεῖται. εὑρισκόμενον ἐπὶ δένδρων κεδρίνων. ἢ λευκίνων ἢ δρυΐνων. διαφέρει δὲ τὸ κέδρινον. δεύτερον δὲ τὸ λεύκινον. ἔστι δὲ αὐτοῦ τὸ εὐωδέστερον καὶ λευκὸν, καλόν. τὸ δὲ μελανίζον χεῖρον. δύναμιν δὲ ἔχει στυπτικήν. ποιοῦντα περὶ μήτραν ἐν

ἀφεψή

ἀφεψήμασιν εἰς ἐγκάθισμα. μίσγονται δὲ τοῖς μύροις βαλανίνοις καὶ χρίσμασι διὰ τὸ ἐν αὐτῷ συνεκτικόν. καὶ εἰς θυμιαμάτων δὲ καὶ ἀκόπων σκευασίαν ἐστὶν εὔθετον.

Περὶ ἀγαλλόχου. κεφ. κε.

Ἀγάλλοχον ξύλον ἐστὶ φερόμενον ἐκ τῆς Ἰνδίας καὶ Ἀραβίας, ἐοικὸς θυΐνῳ ξύλῳ, ἐστιγμένον, εὐῶδες, παραστυφόμενον ἐν τῇ γεύσει μετὰ ποσῆς πικρίας· φλοιὸν ἔχον δερματώδη, ἐμποίκιλον. πίεται ἢ διαμασσώμενον καὶ διακλυζόμενον τὸ ἀφέψημα πρὸς εὐωδίαν στόματος. καὶ διάπασμα δὲ ὅλου τοῦ σώματός ἐστι. θυμιᾶται δὲ ἀντὶ λιβανωτοῦ. ἡ δὲ ῥίζα αὐτοῦ ὁλκῆς πινομένη, στομάχου πλάδον καὶ ἀτονίας καὶ καῦσον παρηγορεῖ. τοῖς πάλσουσι πλευρὸν ἢ ἧπαρ, ἢ δυσεντερικοῖς ἢ στροφουμένοις, ἀρήγει πινομένη μετὰ ὕδατος.

Περὶ νασκάφθου. κεφ. κϛ.

Νάσκαφθον· οἱ δὲ νάρκαφθον. καὶ τοῦτο ἐκ τῆς Ἰνδικῆς κομίζεται. ἔστι δὲ φλοιῶδες, συκαμίνου λεπίσματι ἐοικός. θυμιώμενον διὰ τὴν εὐωδίαν, καὶ μισγόμενον τοῖς σκευαστοῖς θυμιάμασι. ὠφελοῦν καὶ μήτρας ἐστενωμένης ὑποθυμιαθέν.

Περὶ καγκάμου. κεφ. κζ.

Κάγκαμον δάκρυόν ἐστιν ἀραβικοῦ ξύλου, σμύρνῃ πως ἐοικός, βρομῶδες ἐν τῇ γεύσει, ᾧ θυμιάματι χρῶνται. ὑποκαπνίζουσι δὲ καὶ τὰ ἱμάτια μετὰ σμύρνης καὶ στύρακος. δύναμιν δὲ ἱστορεῖται ἔχειν ἰσχναντικὴν τῶν καταπιμέλων, τριωβόλου πλῆθος πινόμενον σὺν ὕδατι ἢ ὀξυμέλιτι ἐφ' ἱκανὰς ἡμέρας. δίδοται καὶ σπληνικοῖς, καὶ ἐπιληπτικοῖς, καὶ ἀσθματικοῖς, ἔμμηνά τε ἄγει σὺν μελικράτῳ. καθαίρει δὲ καὶ τὰς ἐν ὀφθαλμοῖς ταχέως οὐλάς, καὶ ἀμβλυωπίας ἰᾶται, διεθὲν οἴνῳ. πρός τε μυδήσεις οὔλων καὶ ὀδονταλγίας, ὡς οὐδὲν ἕτερον ποιεῖ.

Περὶ κύφεως. κεφ. κη.

Κῦφι θυμίαμά ἐστι σκευασία κεχαρισμένη θεοῖς. χρῶνται δὲ αὐτῷ καταχόρως οἱ ἐν Αἰγύπτῳ ἱερεῖς. μίγνυται δὲ καὶ ἀντιδότοις. καὶ ἀσθματικοῖς δίδοται ἐν πόμασι. σκευασίαι δὲ αὐτοῦ ἐμφέρονται πλείονες. ἐν αἷς ἐστι καὶ αὕτη. κυπείρου ἡμίξεστον, ἀρκευθίδος ἀδρᾶς τὸ αὐτό. σταφίδος λιπαρᾶς ἐκγεγιγαρτισμένης μνᾶς ιβ. ῥητίνης ἀπεκεκαθαρμένης μνᾶς ε. καλάμου ἀρωματικοῦ, ἀσπαλάθου, σχοίνου, ἑκάστου μνᾶς α. σμύρνης ιβ. οἴνου παλαιοῦ ξέστας θ. μέλιτος μνᾶς β. ἐκγιγαρτίσας τὴν σταφίδα κόψον καὶ λέανον μετ' οἴνου καὶ τῆς σμύρνης. καὶ τὰ λοιπὰ κόψας καὶ σήσας, μίξον τούτοις. ἔασόν τε συμπιεῖν ἡμέραν α. εἶτα ἑψήσας τὸ μέλι ἄχρι κολλώδους συστάσεως, μίξον ἐπιμελῶς τὴν ῥητίνην τετηγμένην. εἶτα τὰ λοιπὰ συνανατρίψας ἐπιμελῶς, ἀπόθου εἰς ἀγγεῖον ὀστράκινον.

Περὶ κρόκου. κεφ. κθ.

Κρόκος· οἱ δὲ κάστωρ· οἱ δὲ κυνόμορφος· προφῆται αἷμα ἡρακλέους. κρόκος ἐστὶ κράτιστος ἐν ἰατρικῇ χρήσει ὁ κωρύκιος, πρόσφατός τε καὶ εὔχρους, ὀλίγον τὸ λευκὸν ἔχων ἐπὶ τῆς ἕλικος, ἐπιμήκης, ὁλομελής, ἄθραυστος, ἀνέλαιος, πλήρης, βάπτων ἐν διέσει τὰς χεῖρας, οὐκ εὐρωτιῶν ἢ ἰκμάζων, ὑπόδριμυς· ὁ γὰρ μὴ τοιοῦτος ἢ παλαιός ἐστιν ἢ βεβρεγμένος. δευτερεύει δὲ ὁ ἐκ τῆς πρὸς Λυκίαν Κωρυκίου. εἶθ' ὁ ἀπὸ τοῦ Λυκιακοῦ Ὀλύμπου ὄρους. εἶτα ὁ ἐξ Αἰγῶν τῆς Αἰτωλίας. ὁ δὲ κυρηναικὸς ὁ ἐκ Κεντουρίπων, πάντων τῶν κατὰ τὴν Σικελίαν εὐσθενὴς κατὰ δύναμιν. λαχανώδεις ὄντες πάντες. διὰ μόνον τὸ πολύχυλον καὶ εὔχρουν οἱ ἐν τῇ Ἰταλίᾳ τὴν θυίαν βάπτοντες, τούτῳ χρῶνται. πωλεῖται δὲ ἢ πεπρᾶσθαι διὰ τοῦτο. εἰς δὲ τὰ φάρμακα ὁ προγεγραμμένος ἐστὶ χρήσιμος. δολοῦται δὲ μίξει κροκομάγματος κεκομμένου. ἢ διὰ ἑψήματος ὑπαλειφόμενος, συντετριμμένης εἰς τὸ βαρύνεσθαι λιθαργύρου ἢ μολυβδαίνης. δηλοῖ δὲ ταῦτα τό τε ἐντὸς κονιορτῶδες, καὶ τὸ τὴν ὀσμὴν ἑψηματώδη τυγχάνειν. Θεσσαλὸς μὲν οὖν φησι μόνον δύ-

ὥστε αὐτόν. οἱ δὲ, καὶ θανάσιμον, εἰ πίοι τις δύο αὐτοῦ < γ' μεθ' ὕδατος. κατὰ δὲ τὸ ἀληθὲς, ἔχει δύναμιν πεπτικήν. μαλακτικήν. ὑποστύφουσαν. οὐρητικήν. παρέχει δὲ χροιάν. καὶ ἀκραίπαλός ἐστι μετὰ γλυκέος πινόμενος. ῥεύματά τε ὀφθαλμῶν ἐπιχριόμενος, στέλλει σὺν γάλακτι γυναικείῳ. μίγνυται δὲ καὶ τοῖς πρὸς τὰ ἐντὸς πτίσμασι χρησίμως. καὶ προσθέμασι καὶ καταπλάσμασι τοῖς πρὸς τὴν μήτραν καὶ δακτύλιον. παρίστησι δὲ καὶ πρὸς ἀφροδίσια. τάς τε ἐρυσιπελατώδεις φλεγμονὰς πραΰνει καταχριόμενος. καὶ εἰς τοὺς ὠτικοὺς χρήσιμος. πρὸς δὲ τὸ εὐλείαντον αὐτὸν γίνεσθαι, δεῖ ἐν ἡλίῳ ψύχειν ἐν ὀστρακίνῳ θερμῷ. ταχέως δὲ δεῖ στρέφειν. καὶ ἡ ῥίζα δὲ αὐτοῦ πινομένη σὺν γλυκεῖ, οὐρητικῇ.

## Περὶ κροκομάγματος. κεφ. λ'.

Τὸ δὲ κροκόμαγμα γίνεται ἐκ τοῦ κροκίνου μύρου, τῶν ἀρωμάτων ἐκπιεσθέντων. καὶ ἀναπλασθέντων. ἔστι δὲ αὐτοῦ τὸ εὐῶδες καλόν. μέσως κατὰ σμύρνον. βαρύ. μέλαν ἄξυλον, ἐν τῷ διεθῆναι καλῶς. κροκῶδες τὴν χροιάν. λεῖον. ὑπόκιρρον. βάπτον ἰσχυρῶς τοὺς ὀδόντας καὶ τὴν γλῶσσαν. ἐπιμένον ἐπὶ συχνὰς ὥρας. τοιοῦτον δέ ἐστι τὸ ἀπὸ συρίας. δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις. οὐρητικήν. μαλακτικήν. πεπτικήν. θερμαντικήν. ἀνάλογον δὲ κατὰ ποσὸν τῇ τοῦ κρόκου δυνάμει. πλεῖστον γὰρ τούτου μετείληφεν.

## Περὶ ἑλενίου. κεφ. λα'.

Ἑλένιον. οἱ δὲ σύμφυτον. οἱ δὲ, περσικόν. οἱ δὲ, μηδικόν. οἱ δὲ ὀρέστειον. οἱ δὲ νεκτάριον. οἱ δὲ κλεωνίαν. οἱ δὲ βάκχαρ ἰδαῖον. οἱ δὲ, φλόμον ἰδαῖον καλοῦσι. ῥωμαῖοι τερμινάλισμ. οἱ δὲ, ἰνοῦλα καμπάνα. αἰγύπτιοι λήνης. φύλλα ἔχει φλόμῳ τῷ στενοφύλλῳ παραπλήσια. τραχύτερα δὲ καὶ ἐπιμήκη. καυλὸν δὲ οὐκ ἀνίησιν ἐνίοτε. ῥίζαν ὑπόλευκον καὶ ὑπόκιρρον. εὐώδη. μεγάλην. δριμεῖαν. εὐφυῆ. ἀφ' ἧς εἰς τὸ φυτεύεσθαι καθάπερ τῶν κρίνων ἢ ἄρων παραφυάδας λαμβάνονται. φύεται δὲ ἐν ὀρεινοῖς καὶ συσκίοις καὶ ἀνίκμοις τόποις. ὀρύσσεται δὲ ἡ ῥίζα θέρους. καὶ τεμνομένη ξηραίνεται. κινεῖ δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον οὖρα καὶ ἔμμηνα. αὐτὴ δὲ ἡ ῥίζα λαμβανομένη ἐν ἐκλεικτῷ μετὰ μέλιτος, ἁρμόζει βηξὶν ὀρθοπνοίαις. ῥήγμασι. σπάσμασιν. ἐμπνευματώσεσι. θηρίων δήγμασι καθόλου θερμαντικὴ ὑπάρχουσα. τὰ δὲ φύλλα αὐτῆς ἐπιπλάττεται ἀφεψηθέντα μετ' οἴνου, ἰσχιαδικοῖς ὠφελίμως. ἔστι δὲ καὶ εὐστόμαχος ταριχευθεῖσα ἐν γλυκεῖ. ξηράναντες γὰρ αὐτὴν ἐπ' ὀλίγον οἱ ἀμμοδύται, εἶτα ἀφεψήσαντες, ἀναβρέχουσιν ὕδατι ψυχρῷ. εἶτα βάλλοντες εἰς ἕψημα, ἀποτίθενται εἰς χρῆσιν. τοῖς δὲ λεία πινομένη, αἱμοπτοϊκοῖς.

## Περὶ ἑλενίου. κεφ. λβ'.

Ἑλένιον ἄλλο ἱστορεῖ Κρατεύας γεννᾶσθαι ἐν Αἰγύπτῳ. τοῦτό ἐστι κλῶνας ἔχουσα σπιθαμιαίους. ἐπὶ γῆς ἐρριμμένους ὥσπερ τὸ ἕρπυλλον. φύλλα δὲ τοῖς τοῦ φακοῦ ὅμοια. μακρότερα δὲ καὶ πολλὰ περὶ τοῖς κλωνίοις. ῥίζαν ὠχράν. πάχος δακτύλου μικροῦ. κάτωθεν λεπτήν. ἄνωθεν δὲ παχυτέραν. φλοιὸν ἔχουσαν μέλανα. φύεται δὲ ἐν παραθαλασσίοις τόποις καὶ γηλόφοις. δύναμιν δὲ ἔχει μετ' οἴνου πινομένη μία ῥίζα, θηριοδήκτοις βοηθεῖν.

## Περὶ ἐλαίου ὠμοτριβοῦς. κεφα. λγ'.

Ἔλαιον πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν ἄριστον τὸ ὠμοτριβές. ὃ καὶ ὀμφάκινον καλεῖται. τούτου διαφέρει τὸ νέον, ἄδηκτον, εὐῶδες. χρήσιμον δὲ τὸ τοιοῦτον καὶ εἰς τὴν τῶν μύρων κατασκευήν. ἔστι δὲ καὶ εὐστόμαχον διὰ τὸ στύφειν. οὔλων σταλτικόν. καὶ ὀδόντων κρατυντικόν, κρατούμενον ἐν τῷ στόματι. καὶ ἱδρώτων ἐφεκτικόν. τὸ δὲ παλαιότερον καὶ λιπαρώτερον, εἰς τὴν τῶν φαρμάκων χρῆσιν εὔθετον. κοινῶς δὲ πᾶν ἔλαιον, θερμαντικόν ἐστι καὶ μαλακτικὸν γαστρός. δυσπερί-

ψυκτον

ψυκτικὸν φυλάσσον τὸ σῶμα. ἑτοιμότερον πρὸς τὰς ἐνεργείας ποιεῖ. ἔστι δὲ καὶ εὐκοίλιον καὶ μαλακτικόν. ἀμβλύνον τε τὰς τῶν ἑλκόντων φαρμάκων δυνάμεις ἐν τῇ μίξει. δίδοται δὲ καὶ πρὸς τὰ θανάσιμα συνεχῶς πινόμενον καὶ ἐξεμούμενον. καθαίρει δὲ ὅσον κοτύλην σὺν πτισάνης ἴσω χυλῷ πινόμενον ἢ ὕδατι. στροφουμένοις τε ἔντερα, ὠφελίμως δίδοται μετὰ πηγάνου ἑψηθὲν θερμοῦ, κοτύλαι ς' πλῆθος. ἕλμινθάς τε ἐκβάλλει. καὶ ἐνίεται δὲ τὸ αὐτό, μάλιστα πρὸς τὰς εἰλεώδεις. τὸ δὲ παλαιὸν θερμαντικώτερον καὶ διαφορητικώτερον. πρὸς ὀξυδορκίαν τε ὑπάλειμμα. μικτέον δὲ εἰ μὴ παρείη παλαιὸν ἔλαιον οὕτω. καταπεράσας εἰς ἀγγεῖον τοῦ παρόντος τὸ κρεῖσσον, ἕψε ἕως οὗ γένηται μέλιτος πάχος καὶ χρῶ. τὴν γὰρ αὐτὴν τῷ προειρημένῳ εἰσφέρεται δύναμιν.

Περὶ ἐλαίου ἐκ τῆς ἀγρίας ἐλαίας. κεφ. λδ'.

Τὸ δὲ ἐκ τῆς ἀγρίας ἐλαίας κομιζόμενον ἔλαιον, στυπτικώτερον, πρὸς μὲν τὴν ἐνέργειαν χρῆσιν, δεύτερον. κεφαλαλγοῦσι δὲ ἀντὶ ῥοδίνου ἁρμόζει. ἐπέχει καὶ ἱδρῶτας καὶ τρίχας ῥεούσας. ἀποσμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας, καὶ ψώρας, καὶ λέπρας. βραδύνοντες πολιοῦσθαι καθ' ἑκάστην ἡμέραν ἐπαλειφόμενοι. λευκαίνεται δὲ ἔλαιον οὕτω. λαβὼν τὸ τῇ χρόᾳ μᾶλλον λευκόν, τὴν ἡλικίαν δὲ μὴ πλέον ἐνιαυσίου, ἔγχει εἰς κεραμεοῦν ἀγγεῖον πλατύστομον καινόν. ἔστωσαν δὲ μέτρῳ κοτύλαι ρ'. εἶτα θεὶς ὑφ' ἥλιον, ἀνάχει κόγχῳ καθ' ἑκάστην ἡμέραν κατὰ τὸ μέσον. ὑψόθι τῇ καταφορᾷ χρώμενος. ἵνα τῇ συνεχεῖ κυλίσει καὶ πληγῇ μεταβάλληται καὶ ἀφρίσῃ. τῇ δὲ ὀγδόῃ ἡμέρᾳ, βρέξας τήλεως καθαρᾶς < ν'. ἐν ὕδατι θερμῷ, ἔμβαλε μαλακὴν γινομένην εἰς τὸ προειρημένον ἔλαιον χωρὶς τοῦ στραγγίσαι τὸ ὕδωρ. προσαπόθου δὲ καὶ θαλλόν, πιτυΐνας λεπυρωτάς τῆς κολεῖς λεπτὰ κατακεκομμένης τὰς ἴσας ὁλκάς. καὶ οὕτως ἔασον ἄλλας ὀκτὼ ἡμέρας διελθεῖν. μετὰ δὲ ταύτας ἀνάχει τῇ κόγχῃ τὸ ἔλαιον. τό, τε λοιπὸν εἰ μᾶλλον εἴη τοῦ τέλας τεθλιχός, εἰς καινὸν ἀγγεῖον προεκκλυσμένον, οἴνῳ παλαιῷ κεράσας, ἀπόθου προϋπεστρωμένης μελιλώτου στεφανωτικῶν ἀλύτων ὁλκῆς ιε'. καὶ ἴρεως ἴσης. εἰ δὲ μή, πάλιν ἐν ἡλίῳ θετέον αὐτό. καὶ ἐργαστέον ἄχρις οὗ λευκὸν γένηται.

Περὶ σικυωνίου. κεφ. λε'.

Ἕνεστι δὲ καὶ σικυώνιον οὕτω σκευάζειν. ἐν λέβητι κεκασσιτερωμένῳ, πλατυστόμῳ, ἐγχέας τοῦ ἐλαίου ὠμοτριβοῦς καὶ λευκοῦ χόα α'. ὕδατος ἡμίχουν, ἕψε κούφῳ πυρὶ κινῶν πρᾳέως. ὅταν δὲ ἀναζέσῃ δίς, ὑπόσπασον τὸ πῦρ καὶ ψύξας ἀποκόγχισον τὸ ἔλαιον. εἶτα ἄλλο ἐπιβαλὼν ὕδωρ, συναναζέσον αὐτό. εἶτα λοιπὰ ποιήσας καθὼς σοι προδέδεικται, ἀπόθου. σκευάζεται δὲ τοῦτο μάλιστα ἐν Σικυωνίᾳ σικυώνιον καλούμενον. δύναμιν δὲ ἔχει πως θερμαντικήν. ἁρμόζει ἐν πυρετοῖς καὶ τοῖς περὶ νεῦρα πάθεσι. χρῶνται δὲ αὐτῷ καὶ γυναῖκες ἐπὶ τοῦ προσώπου, ἐπὶ τοῦ στιλβόχροον. ὁ δὲ ἐπὶ τοῖς βαλανείοις συναιρόμενος, δύναται θερμαίνειν. μαλάσσειν. διαφορεῖν. ῥαγάσι τε καὶ κονδυλώμασιν ἐν δαχίσοις. ὁ δὲ ἐκ τῆς παλαίστρας προσειληφὼς τὴν κόνιν, ἐοικὼς ἢ ῥύπῳ, τὰς περὶ τοὺς κονδύλους συστροφὰς ἐπιτιθέμενος ὠφελεῖ. καὶ ἰσχιαδικοὺς θερμὸς ἀντὶ μαλάγματος ἢ πυρίας ἐπιτιθέμενος, καὶ ὁ ἐν τοῖς τῶν γυμνασίων τοίχοις ῥύπος, καὶ ὁ ἀπὸ τῶν ἀνδριάντων, θερμαίνει τε καὶ διαχεῖ τὰ δύσπεπτα φύματα. καὶ πρὸς ἀποστήματα καὶ πρὸς ἕλκη πρεσβυτικὰ ἁρμόζει.

Περὶ ἐλαιομέλιτος. κεφ. λς'.

Ἐλαιόμελι, κατὰ τὰ παλαιὰ Συρίας ἔκ τινος στελέχους, ἔλαιον μέλιτος παχύτερον, ῥέει. γλυκὺ τῇ γεύσει. ὃ πρὸς πινόμενον πλῆθος κοτύλαι β' μετὰ κοτύλης μιᾶς ὕδατος, ἄγει κα-

τὰ κοιλίας ὁμοίως χολώδη. ἐνωθροὶ δὲ γίνονται καὶ ἔκλυτοι οἱ λαμβάνοντες. ὅπερ οὐ δεῖ εὐλαβεῖσθαι. διεγείρει δὲ αὐτοὺς μὴ ἐῶντας καταφέρεσθαι. σκευάζεται δὲ καὶ ἐκ τοῦ λίπους τῶν θυλλῶν ἔλαιον. ἔστι δὲ αὐτοῦ κάλλιστον καὶ παλαιόν. καὶ παχὺ καὶ λιπαρόν. οὐ πεπαλωμένον. θερμαίνει δὲ ἰδίως ποιοῦν πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἐπιχριόμενον. καὶ λέπρας καὶ ἀλγήματα περὶ ἕδραν ἐγχριόμενον ὠφελεῖ.

## Περὶ κικίνου ἐλαίου. κεφ. λζ'.

Κίκινον ἔλαιον, σκευάζεται οὕτω τὸν τρόπον. λαβὼν ὡρίμων κροτώνων ὅσον ἂν δόξῃ, καὶ ψύξας εἰς ἥλιον, καταστρώσας θηλοπέδου τόπον ἕως ἂν ὁ περικείμενος φλοιὸς ἀπορραγεὶς ἐκπέσῃ, συναγαγὼν τὴν σάρκα, ἔμβαλε εἰς ὅλμον. καὶ κόψας ἐπιμελῶς εἰς λέβητα κεκασσιτερωμένον, βάλε ὕδωρ ἔχοντα. καὶ ἀνάβρασον ὑγκέων. ὅταν δὲ ἀναλώσῃ τὴν ἐν αὐτοῖς ὑγρότητα πᾶσαν, ἄρας τὸν λέβητα ἀπὸ τοῦ πυρὸς, ἀποψάμυλακι τὸ ἐπιπλέον ἔλαιον καὶ ἀποτίθεσο. οἱ δὲ αἰγύπτιοι διὰ τὸ δαψιλῶς χρῆσθαι αὐτῷ, ἑτέρως αὐτὸ σκευάζουσι. μετὰ γὰρ τὸ καθᾶραι εἰς μύλην ἀποδιδόντες τοὺς κρότωνας, ἀλήθουσιν ἐπιμελῶς. εἶτα εἰς σπυρίδα ἐμβαλόντες τὸ ἀληλεσμένον, διοργάνως ἐκθλίβουσιν. ὥριμοι δέ εἰσιν οἱ κρότωνες, ὅταν ὑπὸ τῶν περιεχόντων αὐτοὺς σφαιρίων ἀπολύωνται. ποιεῖ δὲ τὸ κίκινον πρὸς ἀχῶρας καὶ ψώρας καὶ τὰς ἐν ἕδρᾳ φλεγμονάς. πρός τε ὑστέρας μύσεις καὶ διαστροφάς. ἔτι δὲ οὐλὰς ἀπρεπεῖς καὶ ὠταλγίας. ἐμπλάστροις τε μιχθὲν, ἐμπρακτοτέρας αὐτὰς ἐργάζεται. ἄγει δὲ καὶ κατὰ κοιλίαν ὑδατῶδες ποθέν. ἐκκρίνει δὲ καὶ ἕλμινθας.

## Περὶ ἀμυγδαλίνου ἐλαίου. Κεφ. λη'.

Ἀμυγδάλινον ἔλαιον ὅπερ τινὲς μετώπιον καλοῦσι, σκευάζεται οὕτως. ἀμυγδάλων πικρῶν χοίνικας β' καθάρας καὶ ξηράνας, κόψον ὑπέρῳ ξυλίνῳ ἐν ὅλμῳ κούφως μέχρις μαλαχθῶσιν. ἐπιχέας τε ζέσαντος ὕδατος κοτύλας β', ἔα συμπιεῖν ἡμιώριον. ἀφ' ἧς πάλιν βιαιότερον τρῖβε. εἶτα ἀποθλίβων πρὸς πλάκα ἔξιπου. καὶ τὸ ἀπὸ τῶν δακτύλων ἐσμυγμένον ἀναλάμβανε. εἶτα πάλιν εἰς τὸ ἀποθλιβόμενον κοτύλην ὕδατος μίαν ἐπιχέας, καὶ συμπιεῖν ἐάσας, τὸ αὐτὸ ποίει. ἀποδίδωσι δὲ κοτύλην μίαν ἀπὸ τετραχοινικοῦ. ποιεῖ δὲ πρὸς τὰς ἐν μήτρᾳ ἀλγηδόνας καὶ πνίγας ὑστερικὰς, διαστροφάς τε καὶ φλεγμονὰς τῶν αὐτῶν τόπων. ἔτι δὲ κεφαλαλγίας καὶ ὤτων πόνους καὶ ἤχους καὶ συριγμούς. ὠφελεῖ δὲ καὶ νεφριτικούς. καὶ δυσουροῦντας. καὶ λιθιῶντας. καὶ ἀσθματικούς. καὶ σπληνικούς. αἴρει δὲ καὶ σπίλους ἐκ προσώπου καὶ ἐφήλεις καὶ ῥυτίδας, μέλιτι μισγόμενον. κρίνου τε ῥίζῃ καὶ κυπρίνῃ ἢ ῥοδίνῃ κηρωτῇ. καὶ ἀμβλυωπίας δὲ ἐστὶν ἀνασκευαστικόν. σὺν οἴνῳ δὲ ἀχῶρας καὶ πιτυρασμὸν ἄγει.

## Περὶ βαλανίνου ἐλαίου. Κεφ. λθ'.

Εἰκότως δὲ καὶ τὸ βαλάνινον ἐργάζεται. δύναμιν δὲ ἔχει καθαρτικὴν σπίλων. φακῶν. ἰόνθων. οὔλων. μελασίας, κοιλίας, καθαρτικήν. ἔστι δὲ κακοστόμαχον. ἁρμόζει δὲ καὶ ὠταλγίαις. καὶ ἤχοις. καὶ συριγμοῖς. μετὰ χηνείου στέατος ἐγχεόμενον. ὁμοίως δὲ σκευάζεται τοῖς προειρημένοις, τό, τε σησάμινον ἐκ τοῦ σησάμου, καὶ τὸ καρύινον ἐκ τῶν βασιλικῶν καρύων συντιθέμενον. δύναμιν δὲ ἔχουσι τὴν αὐτὴν τῷ βαλανίνῳ.

## Περὶ ὑοσκυαμίνου ἐλαίου. Κεφ. μ'.

Καὶ τὸ ὑοσκυάμινον δὲ σκευάζεται οὕτω. λαβὼν τὸν λευκὸν καρπὸν ξηρὸν πρόσφατον καὶ κόψας, ὕδατι θερμῷ φύρα ὡς προείρηται ἐπὶ τοῦ ἀμυγδαλίνου. ἡλίαζον δὲ τὰ ὑπὸ χεῖρα ξηραινόμενα αὐτοῦ μέρη, τοῦ ὅλου ἀναμισγομένου. καὶ τὸ αὐτὸ ποίει ἄχρις ἂν μελανθῇ

καὶ δυ

καὶ δυσῶδες γένηται. ἔστι δ' ἡμῖν ἐκλείψας ἀποτίθεσθαι· ποιεῖ δὲ καὶ πρὸς ὠταλγίας· καὶ πεσσοῖς μίσγεται μαλακτικὸν ὄν.

Περὶ κνιδελαίου. κεφ. μα.

Ὁμοίως δὲ καὶ τὸ διὰ τοῦ κνιδείου σκευάζεται κόκκου λεπισθέντος καὶ κοπέντος· καθαρτικὴν δὲ ἔχει δύναμιν κοιλίας ποτιζόμενον.

Περὶ κικελαίου. κεφ. μβ.

Ὡσαύτως δὲ καὶ τὸ κίκινον σκευάζεται· δύναμις δὲ ἡ αὐτὴ τῷ διὰ τοῦ κνιδείου κόκκου, ἀσθενεστέρα ἢ μᾶλλον.

Περὶ ῥαφανελαίου. κεφ. μγ.

Τὸ δὲ ῥαφάνινον σκευάζεται ἐκ τοῦ αὐτῆς σπέρματος, ὥσπερ καὶ τὰ λοιπά. χρῖσις ἐκ νόσου δὲ φθειριῶσιν ἁρμόζει, καὶ τὰς περὶ τὸ πρόσωπον σμήχει τραχύτητας. χρῶνται δὲ αὐτῷ οἱ ἐν Αἰγύπτῳ τοῖς προσοψήμασι συνέψοντες αὐτό.

Περὶ μελανθελαίου. κεφ. μδ.

Καὶ τὸ μελάνθινον δὲ τὴν αὐτὴν ἔχει δύναμιν τῷ ῥαφανίνῳ.

Περὶ σιναπελαίου. κεφ. με.

Τὸ δὲ σινάπινον σκευάζεται, λειουμένου τοῦ σινήπεως καὶ βρεχομένου ὕδατι θερμῷ· ἔπειτα μισγομένου ἐλαίου καὶ συνεκθλιβομένου. ποιεῖ δὲ πρὸς τὰ χρόνια ἀλγήματα μετασυγκρῖνον.

Περὶ μυρσινελαίου. κεφ. μϛ.

Μυρσίνινον δὲ σκευάζεται οὕτω· λαβὼν τὰ ἁπαλὰ φύλλα τῆς μελαίνης μυρσίνης ἢ ἀγρίας ἢ ἡμέρου, κόπτε πιέζων· ἴσον δὲ τῷ χυλῷ, ἐλαίου ὀμφακίνου σμίξων, χλίαινε ἐπ' ἀνθράκων, ἕως ἂν συνεψηθῇ, αἴρων τὸ ἐφιστάμενον. εὐκοπωτέρα δὲ ἡ σκευασία τὰ ἁπαλὰ τῶν φύλλων κόψαντα, ἕψειν μεθ' ὕδατος καὶ ἐλαίου, καὶ τὸ ἐφιστάμενον ἀφαιρεῖν. ἰδίως δὲ τὰ φύλλα καθέντα εἰς ἥλιον, ἀποβρέχειν. ἔνιοι δὲ προσυφαίνουσι τὸ ἔλαιον σιδίοις, κυπαρίσσῳ, κυπείρῳ, σχοίνῳ. ἔστι δὲ ἐμπρακτικώτερον τὸ τῇ γεύσει πικρίζον, καὶ ἐλαιῶδες, χλωρόν, διαφανές, ὄζον μυρσίνης. δύναμις δὲ αὐτοῦ στυπτική, σκληρυντική· διὸ καὶ ποιεῖ μισγόμενον ἀπουλωτικοῖς, καὶ πρὸς πυρίκαυστα, ἀχῶρας, πίτυρα, ἐξανθήματα, παρατρίμματα, ῥαγάδας, κονδυλώματα, ἄρθρα κεχαλασμένα, ἱδρῶτας, καὶ ὅσα σύψεως ἢ πυκνώσεως ἔχει χρείαν.

Περὶ δαφνελαίου. κεφ. μζ.

Τὸ δὲ δάφνινον σκευάζεται διὰ τῶν δαφνίδων ὅταν ὦσι δρυοπεπεῖς, ἑψομένων μεθ' ὕδατος. ἐκ τοῦ περικειμένου λίπους, ἀνίησι λιπαρίαν τινά, ἣν διακόψαντες χερσὶν εἰς μύακα ἀναλαμβάνουσιν. ἔνιοι δὲ ὀμφάκινον ἔλαιον προσυψήσαντες, κυπείρῳ καὶ σχοίνῳ καὶ καλάμῳ, καὶ μετὰ ταῦτα δάφνης φύλλα ἁπαλὰ βαλόντες, συνέψουσιν. οἱ δὲ καὶ δαφνίδας ἕως ἂν ἱκανὸν γένηται τῇ ὀσμῇ. ἔνιοι δὲ καὶ στύρακα μίσγουσι καὶ μυρσίνην. ἀρίστη δὲ πρὸς σκευασίαν ἡ ὀρεινὴ καὶ πλατύφυλλος δάφνη. διαφέρει δὲ τοῦ δαφνίνου τὸ πρόσφατον, χλωρὸν τῇ χρόᾳ, πικρότατον, δριμύ. δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀναστομωτικήν, κόπων λυτικήν. ἁρμόζει καὶ τοῖς περὶ τὰ νεῦρα πάθεσι πᾶσι, φρίκαις τε καὶ ὠταλγίαις, καὶ καταρροιζομένοις. νεφριτικοῖς δὲ τοῖς ἀπὸ ψύξεως ἀλείμμασιν ἄριστον, ὡς οὐδὲν ἕτερον ὠφελοῦν. ἔστι δὲ καὶ ναυτιῶδες ποθέν.

Περὶ σχινελαίου. κεφ. μη.

Τὸ δὲ σχίνινον ὁμοίως ἐκ τοῦ καρποῦ πεπείρου σκευασθέν, ὡς τὸ δάφνινον, προσυφθέν, ὑγιάζει ψώρας κτηνῶν καὶ κυνῶν. καὶ εἰς πεσσοὺς καὶ εἰς ἄκοπα καὶ λιπαρὰ ἐπιτηδείως μίγνυται. στέλλει δὲ καὶ ἱδρῶτας. καὶ τὸ τερεβίνθινον δὲ ὁμοίως σκευάζεται. ψύχει δὲ καὶ στύφει.

Περὶ μαστιχελαίου. κεφ. μθ.

Τὸ δὲ μαστίχινον, ἐκ τῆς μαστίχης λείας σκευαζέσθω. ποιεῖ δὲ πρὸς τὰ ἐν ὑστέρᾳ πάντα ἁπλῶς θερμαῖνον, στῦφον, μαλάσσον. καὶ πρὸς τὰ περὶ τὸν στόμαχον ἐπιρριπτόμενα σκιρρώματα καὶ κοιλιακά, καὶ δυσεντερικά. καὶ τὰ ἐπὶ τοῦ προσώπου καθαῖρον, καὶ εὔχροιαν περιποιοῦν. συντίθεται δὲ ἐν Χίῳ τῇ νήσῳ κάλλιστον.

## ΣΥΝΘΕΣΙΣ ΠΕΡΙ ΜΥΡΩΝ. κεφ. ν΄.

Ἐπεὶ δὲ καὶ τὰ μύρα ἀρωγὰ πολλῶν ἐστι παθῶν καὶ μιγνύμενα φαρμάκοις καὶ ἐμβρεχόμενα καὶ ὀσφραινόμενα, ἀκόλουθον ἡγησάμεθα καὶ τὴν τούτων παράδοσιν ποιήσασθαι. ἃ δεῖ δοκιμάζοντας ἐπιβλέπειν, εἰ ἀφ' οὗ ἡ κρᾶσις ἐστὶ τοῦ μύρου, ἐκεῖνο ποιεῖ κατὰ τὴν ὄσφρησιν. ἀρίστη δέ ἐστιν ἡ τοιαύτη κρίσις. ἐπ' ἐνίων μέντοι οὐ φυλάττεται τὸ τοιοῦτον δι' ἐπικράτειαν μιγμάτων τῶν σφοδροτέρων. ὡς ἐπὶ ἀμαρακίνου καὶ κροκίνου καὶ τηλίνου καὶ ἄλλων τινῶν ἅπερ ἐκ τῆς περὶ αὐτὰ συγγυμνασίας δοκιμαστέον.

### Περὶ ῥοδίνου σκευασίας. κεφ. να΄.

Ῥόδινον ἔλαιον γίνεται οὕτω. σχοίνου λίτρας ε΄ οὐγγίας η΄. ἐλαίου λίτρας β΄. οὐγγίας ι΄. κόψας καὶ φυράσας ὕδατι, ἕψε ἀνακινῶν. εἶτα ἀπηθήσας εἰς τὰς κ΄ λίτρας καὶ οὐγγίας ε΄ ἐλαίου, βάλε ῥόδων ἀβρόχων ἀριθμὸν χίλια. καὶ τὰς χεῖρας μέλιτι χρίσας, ἀνακίνει πολλάκις ὑποθλίβων ἠρέμα. ἔπειτα ἐάσας τὴν νύκτα ἔκθλιβε. ὅταν δὲ τὸ τρυγῶδες ὑποστῇ, ἄλλαξον τὸ ὑποδεχόμενον ἀγγεῖον. ἀποτίθεσο δὲ εἰς κρατῆρα μέλιτι κατακεχρισμένον. βαλὼν δὲ εἰς λουτηρίδιον τὰ ἐκθλιβόμενα ῥόδα, ἐπίχει λίτρας η΄ οὐγγίας ε΄ τοῦ ἐσκευασμένου ἐλαίου, καὶ πάλιν ἔκθλιβε. ἔσται δὲ τοῦτο δεύτερον. κἂν βουληθῇς ἄχρι ζ΄ ἢ η΄ ἀποβροχῆς ἐπιχέων ἔκθλιβε. γίνεται γὰρ τὸ μὲν α΄. τὸ δὲ β΄. τὸ δὲ γ΄. τὸ δὲ δ΄ μύρον. ὁσάκις δ' ἂν ποιῇς, τοὺς κρατῆρας προκαταχρίε μέλιτι. εἰ δὲ θέλεις δευτέραν ἐμβολὴν ποιήσασθαι, εἰς τὸ πρῶτον ἐκθλιβὲν ἔλαιον, τὸν ἴσον ἀριθμὸν προσφάτων ῥόδων ἀβρόχων ἔμβαλε καὶ ἀνακινῶν ταῖς χερσὶ προδεδευμέναις μέλιτι, ἐκπίεζε. καὶ ποίει τὸ δεύτερον καὶ τρίτον καὶ τέταρτον ὁμοίως ἐκθλίβων. καὶ ὁσάκις δ' ἂν ποιῇς τοῦτο, καὶ παρὰ ὀνύχων προσβάλλε ῥόδα. δυναμικώτερον γὰρ γίνεται. ἄχρι δὲ ἑβδόμης ἐμβροχῆς, ἐπιδέχεται τὸ ἔλαιον τὴν ἐμβροχὴν τῶν ῥόδων. ἔπειτα δὲ οὐκέτι. κεχρίσθω δὲ καὶ ὁ ληνὸς μέλιτι. δεῖ δὲ ἐπιμελῶς τὸ ἔλαιον τοῦ χυλοῦ χωρίζειν. ἀπολειφθὲν γὰρ τοὐλάχιστον, τὸ μύρον φθείρει. ἔνιοι δὲ αὐτὰ μόνα τὰ ῥόδα ὀνυχίσαντες καὶ ἡλιάσαντες, ἐναποβρέχουσι τῷ ἐλαίῳ. ἔχοντα σταθμὸν οὐγγίας ς΄ εἰς μίαν ξέστην ἐλαίου. καὶ μαλάσσοντες ἡμέρας η΄ καὶ ἡλιάζοντες ἐπὶ ἡμέρας μ΄ ἄχρι τρίτης ἐμβροχῆς, οὕτως ἀποτίθενται. ἔνιοι δὲ προστύφουσι τὸ ἔλαιον. κάλαμον καὶ ἀσπάλαθον ἐμβάλλοντες. οἱ δὲ, καὶ ἄγχουσαν ἕνεκεν εὐχροίας. καὶ ἄλλας πρὸς τὸ μὴ ὄζειν. δύναμιν δὲ ἔχει στυπτικήν. ψυκτικήν. εὔθετον εἰς ἐμβρέγματα καὶ καταπλάσματα τῶν μίξεις. λύει δὲ καὶ κοιλίαν ποτιζόμενον. καὶ καύσων σβεννύει στομάχου. ἔστι δὲ καὶ θρεπτικὸν κοίλων ἑλκῶν. καὶ τῶν κακοήθων πραϋντικόν. ἀχώρων καὶ ἐκζεμάτων ἐπάλειμμα. καὶ κεφαλαλγίας ἔμβρεγμα. ἐναρχῇ, ὀδονταλγίας διάκλυσμα. ποιεῖ δὲ καὶ πρὸς βλέφαρα ἐσκληρυμμένα ἐγχεόμενον. πρός τε ἐντέρων ἐρεθισμοὺς καὶ ὑστέρας ἐγκλυζόμενον χρήσιμον.

### Περὶ ἐλατίνου σκευασίας. κεφ. νβ΄.

Ἐλάτην θλάσας καὶ διακινήσας, ἔμβαλε εἰς λουτῆρα καὶ ἐπίχει ὀμφάκινον ἔλαιον ἐπὶ ἡμέρας γ΄. ἀνελόμενός τε εἰς σπυρίδα ἔκθλιβε. ἔστω δὲ ἑκάτερα ἰσοστάθμα. εἶτα ἀποθέμενος ἐν καθαρῷ ἀγγείῳ, χρῶ. δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ ῥοδίνῳ. κοιλίαν δὲ οὐ μαλάσσει.

### Περὶ μηλίνου σκευασίας. κεφ. νγ΄.

Ἔλαιον μήλινον σκευάζεται τὸν τρόπον τοῦτον. ἐλαίου ξέστας ς΄. ὕδατος ξέστας ις΄. μίξας, πρόσεμβαλε λαπάθου τεθλασμένης οὐγγίας γ΄. σχοίνου οὐγγίαν α΄. καὶ ἐάσας ἡμέραν μίαν, ἕψησον. εἶτα ἀπηθήσας τὸ ἔλαιον, βάλε εἰς ἀγγεῖον πλατύστομον. ἐπιθείς τε ῥῶπον ἐν καλάμῳ ἢ ψια-

θον καὶ

θον παλαιόν· αὐτόθεν τι τῶν θεὶς κυδώνια μῆλα καὶ περικαλύψας ἱματίοις, ἐῶσιν ἡμέρας ἱκανὰς ἕως ἂν ἀποσπάσηται τὴν ἀπὸ τῶν μήλων δύναμιν τὸ ἔλαιον· ἔνιοι δὲ μῆλα περιβάλλοντες ἱματίοις ἐπὶ ἡμέρας ι, ἵνα συνέχηται καὶ μὴ διαπνέηται ἡ εὐωδία, μετὰ ταῦτα ἀποβρέχουσι τῷ ἐλαίῳ ἡμέρας β ἢ ἀνύλιτας. εἶτα ἐξιπώσαντες ἀποτίθενται. δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν· ποιοῦν πρὸς τὰ ψωρώδη ἕλκη καὶ πίτυρα, χίμεθλα, ἕρπητας, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ ἑλκώσεις ἐγχυματιζόμενον· οὐρά τε ἐρεθίζει μάλιστα ἐκλεῖγμα λαμβανόμενον. καὶ ἱδρῶτας ἐφίστησι. ποιεῖται δὲ καὶ πρὸς κανθαρίδας, βουπρήστεις, πιτυοκάμπην. ἔστι δὲ αὐτοῦ δόκιμον τὸ κυδωνίων ὄζον μήλων.

## Περὶ οἰνανθίνου σκευασίας. Κεφα. ιδ'.

Οἰνάνθην τὴν ἐκ τῆς φυλλῆς οἰνάνθης μαρανθείσας, βάλε εἰς ὀμφάκινον ἔλαιον· καὶ κίνει μεταστρέφων· ἐάσας δὲ ἡμέρας δύο, ἐξίπου καὶ ἀποτίθεσο. δύναμιν δὲ ἔχει στυπτικήν· ἀναλογοῦσαν τῇ τοῦ ῥοδίνου. ἐκ τῶν ἔξω τὴν κοιλίαν λύει καὶ μαλάσσει. καὶ τούτου δὲ ἔστι δόκιμον τὸ ἐμφαῖνον ἐν τῇ ὀσμῇ τὴν οἰνάνθην.

## Περὶ τηλίνου σκευασίας. Κεφα. ιε'.

Τήλεως λίτρας ε', ἐλαίου λίτρας θ', καλάμου λίτραν α', κυπείρου λίτρας β'. ἀπόβρεχε τῷ ἐλαίῳ ἐπὶ ἡμέρας ζ', κινῶν ἑκάστης ἡμέρας τρίς. εἶτα ἐξίπου καὶ ἀποτίθεσο. οἱ δὲ, ἀντὶ μὲν καλάμου καὶ τὸ ἄμωμον, ἀντὶ δὲ τοῦ κυπείρου, ξυλοβάλσαμον συναποβρέχουσιν. οἱ δὲ, προσεψοῦσι τὸ ἔλαιον αὐτοῖς. καὶ μετὰ ταῦτα τὴν τῆλιν ἀποβρέχοντες ἐξιποῦσι. δύναμιν δὲ ἔχει μαλακτικὴν ἀποστημάτων, πεπτικήν. μάλιστα δὲ ἁρμόζει τοῖς περὶ μήτραν πᾶσι σκληρώμασι, δυσηκοΐαις πρὸς ἔγχυμα, ἐπειδὰν κατάξηρα τὰ περὶ τοὺς πόρους γένηται, προεκκριθέντων τῶν ὑγρῶν. πρός τε τὰς ἐν δακτύλῳ φλεγμονάς. καὶ εἰς κλύζεται ἐπὶ τῶν τεινεσμῶν ὠφελίμως. πίτυρά τε καὶ ἄχωρας σμήχει. καὶ πρὸς κατακαύματα καὶ χίμεθλα ποιεῖ μετὰ κηροῦ. σμήχει τε ἐφήλιδας καὶ εἰς σταλάγματα μίγνυται. ἐκλέγου δὲ τὸ πρόσφατον καὶ μὴ λίαν παρεμφαῖνον τὴν τῆς τήλεως ὀσμήν. σμήχει τὰς χεῖρας. γλυκὺ ὑπάρχον ἐν τῇ χρήσει, τὸ γὰρ τοιοῦτον κάλλιστον.

## Περὶ σαμψυχίνου σκευασίας. Κεφα. ιϛ'.

Ἑρπύλλου λ. ε', κασίας λ. ε', ἀβροτόνου λ. ε', σισυμβρίου ἀνθῶν λ. ε', μυρσίνης πετάλων, σαμψύχου ἑκάστου λαμβάνων συμμέτρως, πρὸς τὴν ἑκάστου αὐτῶν δύναμιν ἀποβλέπων, κόπτε ἐν τῷ αὐτῷ πάντα καὶ ἐπίχει ἐλαίου ὀμφακίνου τοσοῦτον, ὥστε μὴ κατακρατεῖσθαι τὴν δύναμιν τῶν ἐν αὐτῷ βρεχομένων. καὶ ἔασον ἡμέρας τέσσαρας καὶ ἔκθλιβε. καὶ πάλιν τὸ αὐτὸ πλῆθος τῶν αὐτῶν προσφάτων ἀπόβρεχε τοῖς ἴσοις χρόνοις καὶ ἐξίπου. ἔσται γὰρ εὐτονώτερον. ἐκλέγου δὲ τὸ μελάγχροον τῇ χρόᾳ σαμψύχου ἐπὶ πολὺ ὄζον, μετρίως δριμύ. δύναμιν δὲ ἔχει θερμαντικήν, λεπτυντικήν, δριμεῖαν· ἁρμόζει δὲ καὶ πρὸς μύσιν καὶ διαστροφὴν ὑστέρας. ἐμμήνιά τε καὶ δεύτερα ἐπισπᾶται. καὶ πνίγας ὑστερικὰς ἀνακτᾶται. ὀσφύν τε καὶ βουβῶνας ἀλείμματι πραΰνει. σὺν μέλιτι δὲ αὐτῷ χρῆσθαι βέλτιον· ἐπεὶ τῇ σφοδρότητι συνάγει καὶ σκληρύνει τοὺς τόπους. λύει καὶ κόπους συγχριόμενον. εἴς τε τὰ ἐπὶ τῶν ὀπισθοτονικῶν καταπλάσματα, ἐπιτηδείως μίγνυται καὶ τῶν ἄλλως πονουμένων.

## Περὶ ὠκιμίνου σκευασίας. Κεφα. ιζ'.

Ἔλαιον ὠκίμινον σκευάζεται ὥσπερ τὸ κύπρινον. λαβὼν ἐλαίου λίτρας κ', ὠκίμου σταθμοῦ λίτρας ια', οὐγγίας η', ἀποφυλλίσας, ἀπόβρεχε νύκτα καὶ ἡμέραν ἐν τῷ ἐλαίῳ. εἶτα ἐξίπου

καὶ ἀπόθου. ἐκκενώσας δὲ τὰ ἀπὸ τῆς κυρτίδος, ἐπίχει πάλιν τὸ ἴσον πλῆθος τοῦ ἐλαίου καὶ ἐξίπου. καλεῖται δὲ τοῦτο δεύτερον· τρίτην γὰρ οὐκ ἐπιδέχεται βροχήν. εἶτα πρόσφατον ὤκιμον λαβὼν ἴσον, πάλιν ἀπόβρεχε ὡς ἐπὶ τοῦ ῥοδίνου εἴρηται. τὸ δὲ ἤδη ἀποβεβρεγμένον ἐπιχέων καὶ ἐῶν τὸν αὐτὸν χρόνον, ἔκθλιβε καὶ ἀποτίθεσο. κἂν δὶς δὲ ἤτε τρίκις θέλῃς, ἀπόβρεχε πρόσφατον ἀεὶ ὤκιμον ἐμβάλλων. δύναται δὲ καὶ ἐκ τοῦ ὀμφακίνου σκευάζεσθαι. βέλτιον δὲ ἐκείνως. δύναται δὲ τὰ αὐτὰ τῷ σαμψυχίνῳ. ἔλαττον ἐνεργοῦν.

## Περὶ ἀβροτονίνου σκευασίας. νη·

Ἀβροτόνινον. ἐκ τοῦ εἰς τὸ κύπριον ἠρτυμένου ἐλαίου λίτρας θ' οὐγγίας ι'. ἀβροτόνου φύλλων λίτρας η' ἐμβαλὼν καὶ ἀποβρέξας, νύκτα καὶ ἡμέραν ἔξιπον. πολυχρόνιον δὲ βουλόμενος ποιῆσαι, ἐκβαλὼν τὰ πρῶτα φύλλα, ἔμβαλε ἕτερα φύλλα καὶ ἐναποβρέχων ἐκπίεζε. δύναμιν δὲ ἔχει θερμαστικήν. ποιοῦσιν πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρίας. ἄγει ἔμμηνα καὶ δεύτερα.

## Περὶ ἀνηθίνου σκευασίας. κεφά. νθ.

Ἐλαίου λίτρας η' οὐγγίας θ'. ἀνήθου ἄνθους λίτρας ια' οὐγγίας η'. ἐναπόβρεχε τῷ ἐλαίῳ ἡμέραν α'. εἶτα ἐκπίεζε ταῖς χερσὶ καὶ ἀπότιθεσο. ἐὰν δὲ θέλῃς διάβροχον ποιῆσαι, πρόσφατον ἀνήθου ἄνθος ὡσαύτως ἀπόβρεχε. δύναται δὲ μαλάσσειν τὰ περὶ μήτραν καὶ ἀναστομοῦν. ἁρμόζον πρὸς τὰ περιοδικὰ ῥίγη· θερμαῖνον καὶ κόπους λύον. καὶ ἀλγήματα ἄρθρων ὠφελοῦν.

## Περὶ σουσίνου σκευασίας. κεφα. ξ

Τὸ δὲ σούσινον, ὃ ἔνιοι κρίνινον καλοῦσιν, οὕτω σκευάζεται. ἐλαίου λίτρας θ' οὐγγίας ε'. καλάμου λίτρας ε' οὐγγίας ε'. σμύρνης οὐγγίας ε' φυράσας οἴνῳ εὐώδει, ἕψε. εἶτα ἀπηθήσας τὸ ἔλαιον, ἀπόχει μετὰ καρδαμώμου κεκομμένου καὶ βεβρεγμένου ὕδατι ὀμβρίῳ λίτρας γ' οὐγγίας ς' καὶ ἐάσας βραχῆναι, ἀπόθλιβε. καὶ λαβὼν ἐκ τοῦ ἐσκευασμένου ἐλαίου τρεῖς καὶ ἥμισυ λίτρας, κρίνα ἀριθμῷ χίλια, ἀποφυλλίσας, θὲς ἐν λεκάνῃ πλατείᾳ. ἐπιχέας τὸ ἔλαιον, ἀνακίνει ταῖς χερσὶ μέλιτι κεχρισμέναις. ἐάσας δὲ ἡμέραν μίαν καὶ νύκτα, πρωῒ ἐκλαβόμενος εἰς πυξίδα, ἔξιπου. τὸ δὲ φερόμενον ἀπόχει εὐθέως ἀπὸ τοῦ συνεκθλιβέντος ὕδατος τὸ ἔλαιον. οὐ γὰρ ὑπομένει ὡς τὸ ῥόδινον. συνθερμαινόμενον δὲ ἀναζεῖ καὶ σήπεται. μετάγγιζε δὲ πολλάκις εἰς ἕτερα ἀγγεῖα μέλιτι κατακεχρισμένα· προσπάσσων ἅλα λεπτόν. καὶ τὴν συλλεγομένην ἀκαθαρσίαν ἐπιμελῶς ἀφαιρῶν. μετεράσας δὲ ἐκ τοῦ κυρτιδίου τὸ ἐξιπωθὲν ἄρωμα εἰς τὸν λουτῆρα, πάλιν ἐπίχει τοῦ ἀρωματισμένου ἐλαίου τὸ ἴσον πλῆθος τῷ προτέρῳ. καὶ καρδαμώμου κεκομμένου συνέμβαλλε ὁλκὰς ι'. καὶ ἀνακινήσας χρησίμως ταῖς χερσὶ, καὶ ἐάσας μικρὸν, ἔξιπου. τὸ ἀπορρέον ἀποκαθαίρων. καὶ τρίτον ἐπιχέας πάλιν τὸ αὐτὸ ποίει. προσεμβάλλων καὶ τὸ καρδάμωμον καὶ τοὺς ἅλας ὁμοίως. καὶ τὰς χεῖρας βρέχων τῷ μέλιτι. καὶ ἔσται τὸ μὲν πρότερον ἐκπιεσθὲν ἄριστον. ἐχόμενον δὲ τὸ ἑξῆς. τρίτον δὲ τὸ τελευταῖον. καὶ πάλιν λαβὼν χίλια κρίνα καὶ ἀποφυλλίσας διάθες. καὶ ἐπιχέας τὸ πρῶτον ἐξιπωθὲν μεθόδευε. τὰ αὐτὰ ποιῶν ὥσπερ ἐποίεις ἐπὶ τοῦ προτέρου. καρδάμωμον παραμίσγων, εἶτα ἐξιπῶν, ποίει τὰ αὐτὰ καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου ὡς εἴρηται. προσεμβάλλων καὶ τὸ καρδάμωμον. εἶτα ἐξίπου καὶ ποίει τὰ αὐτά. ὁσάκις δ' ἂν ἀποβρέξῃς νεαρὰ κρίνα δυναμικώτερον ἕξεις τὸ μύρον. ἐπὶ τέλει δὲ ὅταν αὐτάρκως ἔχειν σοι δοκῇ, μίσγε ἑκάστῃ σκευασίᾳ σμύρνης χρηστῆς < οβ'. κρόκου < ι'. καρδαμώμου < οε'. οἱ δὲ κρόκου καὶ

κινναμώμου

κινναμώμου τὸ ἴσον κόψας σήσας, ἔμβαλε εἰς τὸν λουτῆρα μεθ' ὕδατος· καὶ ἐπίχει τὸ πρῶτον ἐκπιεσθὲν μύρον· εἶτα ἐάσας μικρὸν, ἀναλάμβανε εἰς ἀγγεῖα μικρὰ ξηρὰ προκεχρισμένα κόμμι ἢ σμύρνῃ, ἢ κρόκῳ καὶ μέλιτι μεθ' ὕδατος· διαμερίσας, τὰ δ' αὐτὰ ποίει καὶ ἐπὶ τοῦ δευτέρου ἐκπιέσματος καὶ ἐπὶ τοῦ τρίτου. ἔνιοι δὲ τὸ ἁπλοῦν ἐξ ἐλαίου βαλανίνου καὶ κικίνου ἢ ἄλλου ἐλαίου σκευάζουσι· δοκεῖ δὲ διαφέρειν τὸ ἐν Φοινίκῃ καὶ ἐν Αἰγύπτῳ γινόμενον. ἄριστον δέ ἐστιν αὐτοῦ τὸ ὄζον κρίνων. δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀναστομωτικὴν τῶν περὶ μήτραν μύσεων καὶ φλεγμονῶν. καὶ καθόλου πάντων ἐστὶ χρησιμώτατον πρὸς τὰ γυναικεῖα. ἁρμόζει δὲ καὶ πρὸς ἀχῶρας, ἰόνθους, πίτυρα, ἐκζέματα· μᾶλλον πάντα ταχέως μεταβάλλει καὶ ὁμόχρους ποιεῖ. καὶ καθόλου ἐστὶν ἁρμοστικόν. ἄγει δὲ καὶ χολὴν κατὰ κοιλίαν πινόμενον. κινεῖ δὲ καὶ οὔρησιν. ἔστι δὲ καὶ κακοστόμαχον καὶ ναυτίας κινητικόν.

## Περὶ γλευκίνου σκευασίας. κε ξα'.

Ἔλαιον γλεύκινον σύγκειται οὕτως. ἐλαίου πεπλυμένου λίτρας ο'. οὐγγίας ε'. ἀσπαλάθου λίτρας ς' οὐγγίας β. κόψας καὶ βρέξας ὕδατι, τῷ τρίτῳ τοῦ ἐλαίου μίξας, ἕψε. εἶτα ἐξελὼν τὸν ἀσπάλαθον, καλάμου βάλε λίτρας ἓν οὐγγίας η'. καὶ σμύρνης χόνδρον κόψας καὶ σήσας, φύρασον οἴνῳ παλαιῷ εὐώδει. καὶ μίξας ἕψε. ὅταν δὲ καὶ μετὰ τούτων ἀναζέσῃ, ἐξελὼν ἀπήθει τὸ ἔλαιον ψυχθέν· εἶτα βαλὼν ἐκ τοῦ ἐλαίου εἰς λουτῆρα, ἐπίχει καὶ τοῦ γλεύκους ὡς ὅτι πολὺ· ἔμβαλε τὸ αὐτὸ ἐπὶ ἡμέρας β' κινῶν ὡς ἐπὶ τοῦ σουσίνου. ἐξαίρου τε καὶ μετάγγιζε πυκνῶς καὶ ἐκ τοῦ γλεύκους ἀποτίθεται. ποιεῖ δὲ πρὸς τὰς ἐν ὑστέρᾳ μαλάσσον τὰς περὶ αὐτὴν σκληρίας καὶ μύσεις. ἔστι δὲ κεφαλαλγές.

## Περὶ κροκίνου σκευασίας. κε ξβ'

Κρόκινον δὲ σκευάζων, προστύψεις τὸ ἔλαιον ὡς εἴρηται ἐπὶ τοῦ σουσίνου. πλήθει καὶ σταθμίᾳ τῇ αὐτῇ. λαβὼν δὲ ἐκ τοῦ ἐστυμμένου ἐλαίου εἰς τὸ σούσινον λίτρας ἓξ ἥμισυ βάλε κρόκου < η'. καὶ ἀνακίνει πολλάκις δι' ἡμέρας. ποιῶν τοῦτο συνεχῶς ἐπὶ ἡμέρας ε'. τῇ δὲ ἕκτῃ ἀπόχει τὸ ἔλαιον ἀπὸ τοῦ κρόκου καθαρίως. τῷ δ' αὐτῷ κρόκῳ ἐπίχει τὸ ἴσον πλῆθος τοῦ ἐλαίου καὶ ἀνακίνει ἡμέρας γ'. εἶτα ἀποχέας πρόσμιξον σμύρνης κεκομμένης καὶ σεσησμένης < μ'. καὶ κίνει ἐν ὅλμῳ χρησίμως. εἶτα ἀπόθου. ἔνιοι δὲ τὸ ἴσον κυπρίνου ἢ ἀρωματισμένου ἐλαίου καὶ εἰς τὸ κρόκινον χέουσιν. ἔστι δὲ αὐτοῦ κράτιστον, τὸ κατακόρως κρόκου πνέον. ὅπερ εἰς τὴν ἰατρικὴν χρῆσιν ἁρμόζει. δεύτερον δὲ τὸ τῇ σμύρνῃ παρεμφερόν. δύναμιν δὲ ἔχει θερμαντικὴν, ὑπνωτικὴν. ὅθεν πολλάκις ἐπὶ φρενιτικῶν ἁρμόζει καταβρεχόμενον, ἢ ἀποσφραινόμενον· ἢ καὶ κατὰ μυξωτήρων διαχριόμενον. ἔστι δὲ καὶ πυοποιόν. καὶ καθαρτικὸν ἑλκῶν. καὶ πρὸς τὰς ἐν μήτρᾳ σκληρίας καὶ μύσεις καὶ τὰ ἐν αὐτῇ κακοήθη, σὺν κηρῷ καὶ κρόκῳ καὶ μυελῷ καὶ ἐλαίῳ διπλασίονι. συμπέττει γὰρ καὶ μαλάσσει καὶ ὑγραίνει καὶ πραΰνει. ποιεῖ καὶ πρὸς τὰς ἀπογλαυκώσεις μεθ' ὕδατος ὑπαλειφόμενον. ἀνάλογον δὲ αὐτῷ καὶ τὸ λεγόμενον βουτύρινον καὶ ὀνύχινον. ἢ συρακηνόν. τοῖς ὀνόμασι μόνον διαφέροντα. τῇ μέντοι σκευασίᾳ καὶ τῇ δυνάμει ὄντα παρόμοια.

## Περὶ κυπρίνου σύνθεσις καὶ σκευασίας ἐλαίου. κε ξγ'

Ἔλαιον ὀμφάκινον πεπλυμένον μέρος α', ὕδατος ὀμβρίου μέρος ἥμισυ, τὸ μέντοι ἐπίχει τοῦ ἐλαίου τὸ ἥμισυ φύρασον σὺν τοῖς ἐμβληθησομένοις ἀρώμασιν. εἶτα λαβὼν ἀσπαλάθου λίτρας ἓν ἥμισυ, καλάμου λίτρας ς' ἥμισυ. σμύρνης λίτραν α'. κινναμώμου λίτρας γ' οὐγγίας θ'. καὶ ἐλαίου λίτρας θ' οὐγγίας ε', τὴν ἀσπάλαθον κόψας καὶ βρέξας ἐν ὕδατι ἐμβαλὼν, ἕψε.

μετὰ τοῦ ἐλαίου ἕως ἂν συναναζέσῃ. τὴν δὲ σμύρναν ἀνεὶς οἴνῳ παλαιῷ εὐώδει, τὸν κάλαμον κεκομμένον συναναφύραμα μετὰ τῆς σμύρνης. καὶ ἐξελὼν τὴν ἀσπάλαθον, ἔμβαλε τὸ φύραμα τοῦ καλάμου. ὅταν δὲ μετὰ τούτου ζέσῃ, καθελὼν ἀπήθησον τῷ χαλκεῖ τὸ ἔλαιον. καὶ κατάχεε τῷ καρδαμώμου κεκομμένου καὶ πεφυραμένου τῷ λοιπῷ ὕδατι καὶ κίνει συνεχῶς ἕως ἂν ψυγῇ μὴ διαλείπων. εἶτα ἀπηθήσας τὸ ἔλαιον, ἔμβαλε εἰς τὰς κ' τοῦ ἐλαίου λίτρας, αὖθις κυπείρου λίτρας μς'. οὐγγίας η'. ἐάσας τε ἀποβραχῆναι, ἐξίπωσον διὰ συνειδόσι. ἐὰν δὲ πλείω θέλῃς, τουτέστιν αὖθις τὸ ἴσον ἐμβαλὼν πλῆθος ὁμοίως ἐξίπου. ἐάν τε δίβροχον ἐάν τε τρίβροχον βούλῃ ποιεῖν. δυναμικώτερον γὰρ γίνεται. ἐκλέγεσθαι δὲ δεῖ τὸ χρυσὸν καὶ μετ' εὐωδίας πληκτικόν. ἔνιοι δὲ καὶ κιννάμωμον μίσγουσι. δύναμιν δὲ ἔχει θερμαντικὴν. μαλακτικὴν. ἀναστομωτικὴν. ἁρμόζουσαν τοῖς περὶ μήτραν καὶ νεῦρα πάθεσι. καὶ πλευριτικοῖς καὶ κατάγμασι. καθ' ἑαυτὸ καὶ κηρωτῇ μισγόμενον. μίσγεται δὲ καὶ μαλάγμασι τοῖς ἁρμόζουσιν. ὀπισθοτονικοῖς. συναγχικοῖς. βουβώνων φλεγμοναῖς. καὶ ἀκόποις.

## Περὶ συνθέσεως ἰρίνου. κεφά ξδ'.

Σπάθης λίτρας ς'. οὐγγίας η'. ἐλαίου λίτρας ο'. οὐγγίας ε'. κόψας ὡς λεπτότατα, μίξον ὕδατος κοτύλας ι'. καὶ βαλὼν εἰς χαλκοῦν, ἕψε μέχρις ἂν τὴν ὀσμὴν ἀναλάβοι. εἶτα ἀπήθει εἰς κρατῆρα μέλιτι κατακεχρισμένον. ἐκ τούτου τοῦ ἠρωματισμένου ἐλαίου, τὸ πρῶτον ἴρινον σκευάζεται. ἐναποβρεχομένης τῷ ἐσκευασμένῳ ἐλαίῳ ἴρεως ὡς ὑπογέγραπται. ἢ οὕτως. ἐλαίου λίτρας ο'. οὐγγίας ε'. ξυλοβαλσάμου λίτρας ε'. οὐγγίας β'. κόψας ὡς εἴρηται, σύνεψε. εἶτα ἐξελὼν τὸ ξυλοβάλσαμον, πρόσεμβαλε καλάμου κεκομμένου λίτρας θ'. οὐγγίας ι'. σμύρνης χόνδρον οἴνῳ παλαιῷ ἐμβρέχων εὐώδει. εἶτα λαβὼν ἐκ τοῦ ἐσκευασμένου ἐλαίου καὶ ἠρωματισμένου λίτρας ιδ', ἐναπόβρεχε ἴρεως κεκομμένης ἴσον τῷ σταθμῷ, ἐῶν ἡμέρας β' καὶ νύκτας β'. εἶτα ἐξίπου βιαίως καὶ νεανικῶς. καὶ εἰ βούλει δυναμικώτερον εἶναι, τὸν ἴσον σταθμὸν καὶ δὶς καὶ τρὶς ὁμοίως ἐναποβρέχων ἐξίπου. κράτιστον δὲ ὑπερέχει τὸ ἐν ὀσφρήσει μηδενὸς ἄλλου, μόνης δὲ τῆς ἴριδος πνέον. τοιοῦτον δὲ δοκεῖ τὸ ἐν Πέργῃ τῆς Παμφυλίας, καὶ ἐν Ἤλιδι τῆς Ἀχαΐας σκευαζόμενον. δύναμιν δὲ ἔχει μαλακτικὴν. θερμαντικὴν. ἐσχάρας τε καὶ σηπεδόνας καὶ ῥυπαρίας ἀνακαθαίρει. καὶ ταῖς περὶ μήτραν διαθέσεσιν ἁρμόζει. φλεγμοναῖς τε καὶ μύσεσιν. ἔμβρυά τε ἐκβάλλει. καὶ αἱμορροΐδας ἀναστομοῖ. πρός τε ἤχους ὤτων σὺν ὄξει καὶ πηγάνῳ καὶ πικροῖς ἀμυγδάλοις. καὶ πρὸς κατάρρους χρονίζοντας διαχριομένων τῶν μυξωτήρων. καὶ πρὸς ὀζαίνας. καθαίρει δὲ καὶ τὴν κοιλίαν, κυάθου πλῆθος ποθέν. ποιεῖ καὶ πρὸς ἑλκώδη κύστιν καὶ οὖρα. καὶ ἐπὶ τῶν δυσχερῶς ἐμούντων. διαχριομένων τῶν δακτύλων ἢ τῶν ἐμετηρίων. καὶ ἐπὶ συναγχικῶν διαχριόμενον ἢ ἀναγαργαριζόμενον σὺν μελικράτῳ. καὶ πρὸς τραχύτητα ἀρτηρίας. δίδοται καὶ τοῖς κώνειον ἢ μύκητας ἢ κόριον πεπωκόσι.

## Περὶ γλευκίνου σκευασίας. κε ξε'

Γλεύκινον δὲ σκευάζεται τὸ ἁπλοῦν. ἔκ τε ἐλαίου ὀμφακίνου καὶ σχοίνου καὶ καλάμου καὶ νάρδου κελτικῆς καὶ σπάθης καὶ ἀσπαλάθου καὶ μελιλώτου. καὶ κόστου. καὶ γλεύκους, συμπεριτιθεμένων τῶν στεμφύλων τῷ ἔχοντι ἀγγείῳ τὰ ἀρώματα καὶ τὸν οἶνον. καὶ τὸ ἔλαιον κινεῖται δὲ ἐπὶ ἡμέρας λ' δὶς τῆς ἡμέρας. καὶ μετὰ ταῦτα ἐκπιεσθὲν, ἀποτίθεται. δύναμιν δὲ ἔχει θερμαντικὴν. μαλακτικήν. ἀνετικὴν. ποιοῦσαν πρὸς τὰ ῥίγη καὶ τὰ νευρικὰ πάθη. καὶ τὰ ἐν ὑστέρᾳ. παντὸς δὲ ἀκόπου μᾶλλον ὠφελεῖ μαλακτικὸν ὄν.

Περὶ ἀμαρακίνου. ξς.

Ἀμαράκινον δὲ ἐν Κυζίκῳ κάλλιστον γίνεται. σκευάζεται δὲ διὰ τοῦ ὀμφακίνου ἐλαίου καὶ βαλανίνου στυφομένου ξυλοβαλσάμῳ. σχοίνῳ. καλάμῳ. ἡδυνομένου δὲ, ἀμαράκῳ. κόστῳ. ἀμώμῳ. νάρδῳ. κασσίᾳ. καρποβαλσάμῳ καὶ σμύρνῃ. οἱ δὲ πολυτελέστερον αὐτὸ ποιοῦντες, μίσγουσι καὶ κινάμωμον. περιλαμβάνεται δὲ μέλιτι καὶ οἶνος εἰς τὴν τῶν ἀγγείων χρῆσιν καὶ φύρασιν τῶν κεκομμένων ἀρωμάτων. ἔστι δὲ θερμαντικόν. ναρκωτικόν. ἀναστομωτικόν. μαλακτικόν. πυρωτικόν. ῥυπτικόν. εὔχρηστον εἴς τε τὰς σήψεις καὶ σύριγγας. καὶ ὑδροκήλας μετὰ τὰς χειρουργίας. περιρρᾶναί τε τὰς ἐσχάρας καὶ τὰ τεθηλειωμένα ἕλκη. πρός τε δυσουρίαν ἁρμόζει περιχριόμενον τοῦ δακτύλου. καὶ πρὸς τὰς φλεγμονὰς αὐτοῦ. καὶ πρὸς αἱμορροΐδων ἀναστόμωσιν περιχριόμενον. ἐμμήνων τε κινητικὸν προστιθέμενον τῇ μήτρᾳ. καὶ σκληρίας καὶ οἰδήματα ἐν ὑστέρᾳ διαφορεῖ. καὶ πρὸς τὰ νευρότρωτα καὶ μυότρωτα, συμφέρει ἐν πλύμασιν ἀραιῶς βρεχόμενον καὶ ἐπιτιθέμενον.

Περὶ μεγαλίνου. ξζ.

Τὸ δὲ μεγάλινον καλούμενον, πάλαι μέν ποτε ἐσκευάζετο. ἐκλέλοιπε δὲ νῦν. πρὸς δὲ ἐκπλήρωσιν τῆς ἱστορίας, οὐκ ἔστιν ἄτοπον ὑπομνησθῆναι καὶ τούτου. δὲ σκευασία ἡ αὐτὴ τῷ ἀμαρακίνῳ. πλεονάζει δὲ τῇ ῥητίνῃ. καὶ ταύτῃ διαφέρει. ἔστι δὲ μαλακτικὸν ἠπίως. ἡ μέντοι ῥητίνη μίσγονται τοῖς μύροις. οὔτε φυλακῆς οὔτε ἡδονῆς χάριν. χρώματος δὲ καὶ πάχους ἕνεκα. μίσγονται δὲ ἡ τερεβινθίνη ἀφεψομένη, ἄχρις ἂν ἄοσμος γίνηται. δηλωθήσεται δὲ ἐν τῷ περὶ ῥητίνης ἡ ἕψησις αὐτῆς.

Περὶ ἡδυχρόου. ξη.

Καὶ τὸ καλούμενον δὲ ἡδύχρουν, σκευαζόμενον δὲ ἐν Κῷ, τῆς αὐτῆς ἔχεται δυνάμεως τε καὶ σκευασίας τῷ ἀμαρακίνῳ. εὐωδέστερον δὲ τυγχάνει.

Περὶ μετωπίου. ξθ.

Σκευάζεται δὲ καὶ ἐν Αἰγύπτῳ μύρον. τὸ ἐγχωρίως ὑπὸ τῶν καλούμενον μετώπιον. διὰ τὴν τῆς χαλβάνης μίξιν. τὸ γὰρ ξύλον ἐξ οὗ γεννᾶται ἡ χαλβάνη, μετώπιον καλεῖται. δι᾿ ἀμυγδάλων δὲ πικρῶν καὶ ἐλαίου ὀμφακίνου καὶ καρδαμώμου σχοίνου τε καὶ καλάμου καὶ μέλιτος καὶ οἴνου καὶ σμύρνης καὶ βαλσάμου καρποῦ καὶ χαλβάνης καὶ ῥητίνης συντίθεται. δόκιμον δὲ δοκεῖ τὸ εὔοσμον καὶ λιπαρόν. ἐμφαῖνον μᾶλλον τοῦ καρδαμώμου καὶ τῆς σμύρνης, ἤπερ τῆς χαλβάνης. σφόδρα δὲ θερμαίνει καὶ πυροῖ καὶ ἀναστομοῖ ὑπ᾿ αὐτοῦ τάτε καὶ καθαίρει ἕλκη. πρός τε νεῦρα καὶ μύας διακοπέντας ποιεῖ. ὑδροκήλας τε συνσπᾷ. μίσγεται δὲ καὶ μαλάγμασι καὶ κηρωταῖς. πρός τε ῥῖγος καὶ ὀπισθοτονικοὺς σπωμένους χρησιμεύει. κινεῖ δὲ καὶ ἱδρῶτας. καὶ ἀναστομοῖ τὰ περὶ ὑστέραν. καὶ σκληρίας τὰς περὶ αὐτὴν χαλᾷ. καὶ καθόλου μαλακτικὴν ἔχει τὴν δύναμιν.

Περὶ μενδησίου. κεφά. ο.

Καὶ τὸ μενδήσιον δὲ λεγόμενον, ἐκ τοῦ βαλανίνου ἐλαίου καὶ σμύρνης καὶ κασσίας καὶ ῥητίνης σκευάζεται. ἔνιοι δὲ μετὰ τὸν καταστεθμισμόν, κινάμωμον μικρὸν προσεπεμβάλλουσιν ἀνωφελῶς. οὐκ ἐκδίδωσι γὰρ τὰ μὴ συνεψημένα τὴν δύναμιν. ἐμφερῆ δὲ ἔχει τὴν ἐνέργειαν τῷ μετωπίῳ. ἥττονα μέντοι.

Περὶ στακτῆς. κεφά. οα.

Στακτὴ δὲ καλεῖται, προσφάτου σμύρνης τὸ λιπαρόν. κεκομμένης μεθ᾿ ὕδατος ὀλίγου. ἀποπεπλιμμένου τε δι᾿ ὀργάνου. εὐώδης τελεία καὶ πολυτελὴς ἐστί. καὶ καθ᾿ ἑαυτὴν ἐστὶν μύρον τὸ καλούμενον στακτή. δόκιμος δὲ δοκεῖ ἡ ἀμιγὴς ἐλαίῳ καὶ ἐν ἐλαχίστῳ πλεί-

στὴν δύναμιν κεκτημένου ὂν θερμαντικήν. ἀναλογοῦσιν τῇ σμύρνῃ καὶ τοῖς θερμαίνουσι τῶν μύρων.

### Περὶ κινναμωμίνου, κεφ. οβ.

Κινναμώμινον ἤ ἐκ τοῦ ἐλαίου βαλανίνου καὶ συμμάτων. ξυλοβαλσάμου, καλάμου, σχοίνου. ἡδυσμάτων δέ, κινναμώμου, βαλσάμου καρποῦ. σμύρνης τετραπλασίονος παρὰ τὸ κιννάμωμον σκευάζεται. μίσγεται δὲ καὶ μέλι εἰς τὴν φύρασιν. δόκιμον δὲ δοκεῖ τὸ δριμύ. μαλακὸν δὲ τῇ ὀσμῇ, καὶ παρεμφαῖνον σμύρνης. παχύ τε καὶ εὐῶδες. ἄγαν δὲ τῇ γεύσει πικρόν. τὸ δὲ γε τοιοῦτον οὐκ ἐκ ῥητίνης, ἀλλ' ἐκ σμύρνης ἔχει τὸ πάχος. ἡ δὲ ῥητίνη οὐ προσδίδωσι πικρίαν. οὐδὲ εὐωδίαν. δύναμιν δὲ ἔχει σφόδρα δριμεῖαν καὶ θερμαντικὴν καὶ πικράν. ἀναστομοῖ γοῦν θερμαίνουσα καὶ διαφορεῖ καὶ διαχεῖ. καὶ ἐπισπᾶται ὑγρὰ καὶ πνεύματα. ἔστι δὲ καρηβαρικόν. ποιεῖ δὲ καὶ πρὸς τὰ περὶ μήτραν σὺν ἐλαίῳ διπλασίονι καὶ κηρῷ καὶ μυελῷ. οὕτω γὰρ ἀποβάλλει τὸ πολὺ τῆς δριμύτητος καὶ γίνεται μαλακτικόν. ἄλλως γὰρ συγκαίει καὶ σκληρύνει πάντων τῶν παχέων μύρων. ποιεῖ δὲ πρὸς σύριγγας καὶ σηπεδόνας [illegible]. καὶ πρὸς ὑδροκήλας καὶ ἄνθρακας καὶ γαγγραίνας σὺν καρδαμώμῳ. πρὸς [illegible] τὰ περιοδικὰ καὶ πρὸς βόμβους. καὶ τοὺς ἀπὸ τῶν ἰοβόλων θηρίων δακνομένους ἐν συγχρίσματι. ἐπιθέματι σκορπιοπλήκτοις καὶ φαλαγγιοδήκτοις σὺν ὀλύθοις λείοις.

### Περὶ ναρδίνου μύρου. κεφ. ογ.

Νάρδινον μύρον ποικίλως σκευάζεται διὰ τὸ μαλαβαθρίνου φύλλα καὶ δίχα τούτου. ὡς τὸ πολὺ δὲ μίσγονται τῷ βαλανίνῳ ἐλαίῳ ἢ ὀμφακίνῳ πρὸς μὲν τὴν σύψιν τοῦ ἐλαίου σχοῖνος. πρὸς δὲ τὴν εὐωδίαν κόστος. ἄμωμον. νάρδος. σμύρνα. βάλσαμον. ἔστι δὲ χρηστὸν ἢ λεπτὸν μὴ δριμεῖα. ἔχουσα τὴν εὐωδίαν τῆς ξηρᾶς νάρδου ἢ ἀμώμου. δύναμις δὲ αὐτοῦ λεπτυντική. δριμεῖα. σμηκτική. ἀρμοστικὴ ὑγρῶν. θερμαντική. ὑγρὰ δοκεῖ καὶ οὐ πλοιῶδες, ἐὰν μὴ ῥητίνην ἔχῃ. σκευάζεται δὲ καὶ λιτὴ διὰ ὀμφακίνου ἐλαίου καὶ σχοίνου καὶ καλάμου καὶ κόστου καὶ νάρδου.

### Περὶ μαλαβαθρίνου. κεφά. οδ.

Τὸ δὲ μαλαβάθρινον, ἔχει μὲν σύμματα ἃ καὶ ἡ νάρδος. σμύρνης δὲ πλέον. διὸ καὶ γίνεται θερμαντικόν. ἀναλογοῦν τῷ κροκίνῳ καὶ ἀμαρακίνῳ τὴν δύναμιν.

### Περὶ ἰασμίνου. κεφά. οε.

Ἡ δὲ καλουμένη ἰάσμη παρὰ πέρσαις σκευάζεται ἐκ τῶν ἀνθῶν τῶν λευκῶν τοῦ ἴου. τούτων οὐγγιῶν β' ἐμβαλλομένων εἰς ταλικὴν ξέστην σησαμίνου ἐλαίου. καὶ ἀμειβομένων ἄλλων ἀλλασσομένων ὡς ἐπὶ τοῦ κρινίνου εἴρηται. ἡ δὲ τούτου χρῆσις, παρὰ τοῖς ἰδιάσεις, εὐωδίας ἕνεκα παρὰ πέρσαις παραλαμβάνεται. ἁρμόζει δὲ ὅλῳ τῷ σώματι κατὰ τὰ λουτρά. ἐπὶ τῶν θερμασίας καὶ χαλάσεως δεομένων σωμάτων. βρυτίραν δὲ ἔχει τὴν εὐωδίαν. ὡς πολλοὺς αὐτοῦ μὴ ἡδέως ἀντιλαμβάνεσθαι.

### Περὶ σμύρνης. κεφά. ος.

Σμύρνα δάκρυόν ἐστι δένδρου γινομένου ἐν ἀραβίᾳ. ὅμοιον τῇ αἰγυπτιακῇ ἀκάνθῃ. οὗ ἐγκοπτομένου ἀπορρεῖ τὸ δάκρυον εἰς ὑπεστρωμένας ψιάθους. τὸ δὲ, ἐπὶ τοῦ στελέχει περιπήγνυται. καὶ λέγεται αὐτῆς ἡ μέν τις πεδιάσιμος λιπαρὰ ὡς πιεζομένης, ἥστακτὴ λαμβάνεται. ἡ δέ τις γαβιρέα λιπαρωτάτη ἐν εὐγείοις καὶ λιπαροῖς τόποις γινομένη. ἡ καὶ πολλὴν ἀνίησι τὴν στακτήν. πρωτεύει δὲ ἡ τρωγλοδυτικὴ καλουμένη, ἀπὸ τῆς γινούσης αὐτὴν χώρας. ὑπόχλωρος καὶ δηκτικὴ οὖσα. διαυγής. συλλέγεται τίς καὶ λιπαρὰ μετὰ τὴν

ξυλοειδῆ τὴν ἀριθμουμένην εἶναι πολλὰς ὡς τὸ βδέλλιον· ὑπόβρωμος τῇ ὀσμῇ. ἐν ἡλίοις τήξεις γινομένη· ἡ δέ τις καυκαλὶς λεγομένη· ὑπέρωρος, μέλαινα, κατόπτης. ἡ δὲ χειρίστη ἐν ἁπάσαις, ἐργασμένη καλεῖται. ψαφαρὰ καὶ ἀλυπής· δριμεῖα, κομμίζουσα τῇ ὄψει, καὶ τῇ δυνάμει· ἡ ἀμιναία ἡ καλουμένη, ἀδόκιμος. καὶ στάγματι δὲ ἐξ αὐτῆς γίνεται. ἀπὸ μὲν τῶν λιπαρῶν εὐῶδες καὶ λιπαρά. ἀπὸ δὲ τῶν ξηρῶν ἀλυπῆ καὶ οὐκ εὐώδη. ἀχρεῖος διὰ τὸ μὴ προσειληφέναι ἔλαιον ἐκ τῆς ἀναπλάσεως. δολίζεται ἡ κόμμι βραχέντι σμύρνης ἀποβρέγματι καὶ μισγομένῳ. ἐκλέγου δὲ τὴν νέαν· ψαφαράν· κούφην· ὁμόχρουν πανταχόθεν. καὶ ἐν τῷ κλασθῆναι, γαλακτώδεις, λευκάς, ὀνυχώδεις, ἔχουσαν διαφύσεις. λείας. μικροβώλους καὶ πικράν· εὐώδη· δριμεῖαν· θερμαντικήν. ἡ δὲ βαρεῖα καὶ τὴν χρόαν πισσώδης, ἐστὶν ἄχρηστος. δύναμιν δὲ ἔχει θερμαντικήν· καρωτικήν· κολλητικήν· ξηραντικήν· στυπτικήν. μαλάσσει δὲ καὶ μήτρας μεμυκυίας καὶ ἀναστομοῖ. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα συντόμως, σὺν ἀψινθίῳ ἢ θέρμων ἀποβρέγματι, ἢ πηγάνου χυλῷ προστεθεῖσα. λαμβάνεται δὲ αὐτὴ καταπότιον, μέγεθος κυάμου πρὸς βῆχα χρονίαν καὶ ὀρθόπνοιαν. καὶ πλευρᾶς πόνον καὶ θώρακος. λύσιν τε κοιλίας καὶ δυσεντερίας. λύει δὲ καὶ ῥίγη. πρὸ δύο ὡρῶν τῆς ἐπιβολῆς μετὰ πεπέρεως καὶ ὕδατος τὸ μέγεθος κυάμου ποθεῖσα. ἀρτηρίας τε τραχύτητα καὶ δυσουμένης φωνῆς, ἀποκαθίστησιν ὑποτιθεμένη τῇ γλώττῃ καὶ ἀναχαλιζομένη. κτείνει δὲ καὶ ἕλμινθας. καὶ πρὸς δυσωδίαν στόματος διαμασᾶται. πρὸς δὲ μασχαλῶν γράσους, μετὰ στυπτηρίας ὑγρᾶς διαχρίεται. σὺν οἴνῳ δὲ καὶ ἐλαίῳ διακλυζομένη, ὀδόντας καὶ οὖλα κρατύνει. κολλᾷ δὲ καὶ τὰ ἐν τῇ κεφαλῇ τραύματα ἐπιπασσομένη. καὶ τὰ τεθλασμένα ὦτα καὶ ἐψιλωμένα ὀστᾶ, ἰᾶται σὺν κοχλίου σαρκὶ ἐπιχριομένη. καὶ τὰ πυορροοῦντα τῶν ὤτων καὶ φλεγμαίνοντα. σὺν μηκωνίῳ καὶ καστορίῳ καὶ γλαυκίῳ. πρὸς δὲ ἴονθους μετὰ κασσίας καὶ μέλιτος ἐπιχρίεται. λειχῆνάς τε ἀποσμήχει σὺν ὄξει. καὶ τρίχας ῥεούσας μετὰ λαδάνου καὶ οἴνου καὶ μυρσινίνου καταχριομένη ῥώννυσι. πραΰνει δὲ καὶ τοὺς χρονίους κατάρρους διαχριομένη περὶ τῶν μυκτήρων. πληροῖ καὶ τὰ ἐν ὀφθαλμοῖς ἕλκη. καὶ καθαίρει τὰ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις. καὶ τραχώματα σμήχει. γίνεται δὲ καὶ λιγνὺς ἐξ αὐτῆς ὁμοίως τῇ ἐκ τοῦ λιβάνου ὡς ὑποδείξομεν, ἁρμόζουσα πρὸς τὰ αὐτά.

Περὶ βοωτικῆς σμύρνης. οζ'.

Ἡ δὲ βοωτικὴ σμύρνα, ἐστὶ δένδρου τινὸς ἐν βοιωτίᾳ γινομένου ῥίζα, τεμνομένη ἐκλέγου δὲ τὴν ἐμφερῆ σμύρνῃ κατὰ τὴν εὐωδίαν. δύναμιν δὲ ἔχει θερμαντικήν· μαλακτικήν· διαλυτικήν. μίγνυται δὲ καὶ θυμιάμασι χρησίμως.

Περὶ στύρακος. κεφά. οη'.

Στύραξ δάκρυόν ἐστι δένδρου τινὸς ὁμοίου κυδωνίᾳ. διαφέρει δὲ αὐτοῦ ὁ ξανθὸς καὶ λιπαρός. ῥητινώδης. θρόμβους ἔχων ὑπολεύκους. ἐπιδιαμένων τῇ εὐωδίᾳ ὡς ἐπιπλεῖστον. καὶ ἐν τῷ μαλάσσεσθαι ἀνιεὶς ὑγρασίαν τινὰ μελιτώδη. τοιοῦτος δέ ἐστιν ὁ καταβαλίτης καὶ πισιδικὸς καὶ κιλίκιος. φαῦλος δὲ ὁ μέλας καὶ ψαφαρός. καὶ πιτυρώδης. εὑρίσκεται δὲ καὶ δάκρυον κόμμι ἐοικός. διαυγές. σμυρνίζον. ὀλίγον δὲ τοῦτο τυγχάνεται. δολίζουσι δὲ αὐτὸ τοῖς ἐκ τοῦ δένδρου πρίσμασιν, ἅπερ ὑπὸ τῶν σκωλήκων ἀναπίπτει, μισγομένη καὶ μέλιτι καὶ ἴρεως ὑποστάθμῃ. καὶ ἄλλοις τισί. ἔνιοι δὲ κηρὸν ἢ στέαρ ἀρω-

ματίσαντες συμμαλάξαντες ἐν τοῖς ὀξυτάτοις ἡλίοις τὸν στύρακα. καὶ δι᾿ ἠθμοῦ ἀραιοῦ διηθήσαν-
τες, ἐκθλίβουσιν εἰς ὕδωρ ψυχρὸν σκωληκιακῇ πολλάκις. σκωληκίτην ὀνομάζοντες στύ-
ρακα. ἐγκρίνουσι δὲ οἱ ἄπειροι τὸν τοιοῦτον ὡς ἀκέραιον, οὐ προσέχοντες τῇ κατὰ τὴν ὀσ-
μὴν εὐτονίᾳ. δριμὺς γὰρ λίαν ἐστὶν ὁ ἄδολος. δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακ-
τικὴν, πεπτικήν. ποιῶν πρὸς βῆχας καὶ κατάρρους, κορύζας, βράγχους, ἀποκοπὰς
φωνῆς. ἁρμόζει καὶ πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρίας. ἔμμηνά τε ἄγει πινόμε-
νος καὶ προστιθέμενος. κοιλίαν τε κούφως μαλάττει καταπινόμενος ὀλίγος μετὰ ῥη-
τίνης τερεβινθίνης. μίγνυται δὲ καὶ μαλάγμασι διαφορητικοῖς καὶ ἀκόποις χρησίμως.
καίεται δὲ καὶ ὀπτᾶται καὶ φώγνυται καὶ θυλοῦται ὡς λίβανος. ἁρμόζει τε ἡ αἰθάλη
πρὸς ἃ καὶ ἡ τοῦ λιβάνου. τὸ δὲ ἐξ αὐτοῦ σκευαζόμενον χρῖσμα ἐν τῇ συρίᾳ στυράκινον,
θερμαίνει καὶ μαλάττει ἰσχυρῶς. κεφαλαλγίας μέντοι καὶ βάρη καὶ καρωτικὸν καθίστησιν.

## Περὶ βδελλίου. οθ.

Βδέλλιον, οἱ δὲ μάδελκον, οἱ δὲ βολχὸν καλοῦσι. δάκρυον δέ ἐστι δένδρου σαρακηνικοῦ. δόκι-
μον δέ ἐστιν αὐτοῦ τὸ τῇ γεύσει πικρὸν, διαυγὲς, ταυροκολλῶδες, λιπαρὸν διὰ βάθους καὶ
εὐμάλακτον, ἀμιγὲς ξύλων καὶ ῥυπαρίας, εὐῶδες ἐν τῇ θυμιάσει, ἐοικὸς ὄνυχι. ἔστι δὲ
ῥυπαρὸν καὶ μέλαν, ἁδρόβωλον, λαπαθῶδες, κομιζόμενον ἀπὸ τῆς ἰνδικῆς. φέρεται
δὲ ἀπὸ τῆς πέτρας ξηρὸν, ῥητινῶδες, ὑπόπελιον, δευτερεῦον τῇ δυνάμει. δολοῦται δὲ μι-
γνύμενον κόμμι. τὸ δὲ τοιοῦτον οὐχ ὁμοίως πικραίνει τὴν γεῦσιν. ἔν τε τῇ ὑποθυμιά-
σει, οὐχ οὕτως εὐῶδές ἐστι. δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, διαλυτικὴν βρο-
γχοκηλῶν καὶ σκληριῶν καὶ ὑδροκηλῶν, ἐνθὲν τῷ νήστου σιέλῳ. ἀνασπᾷ τε τὴν μή-
τραν προστιθέμενον καὶ ὑποθυμιώμενον. ἐφέλκεται δὲ καὶ τὰ ἔμβρυα καὶ πᾶσαν ὑγρα-
σίαν. θρύπτει δὲ καὶ λίθους πινόμενον, καὶ οὖρα ἄγει. βηχικοῖς τε καὶ θηριοδήκτοις ὠφε-
λίμως δίδοται. ἀγαθὸν δὲ καὶ πρὸς ῥήγματα, σπάσματα, καὶ πλευρᾶς πόνους καὶ διαφρα-
γμὰς πνευμάτων. μίσγεται δὲ καὶ μαλάγμασι τοῖς ἁρμόζουσι πρὸς τὰς σκληρίας
καὶ λύσεις τῶν νεύρων. κατεργάζεται δὲ κοπτόμενον, παραχεομένου οἴνου ἢ ὕδατος θερμοῦ.

## Περὶ λιβάνου. π.

Λίβανος γεννᾶται μὲν ἐν ἀραβίᾳ τῇ λιβανοφόρῳ καλουμένῃ. πρωτεύει δὲ ὁ ἄρρην κα-
λούμενος στακτίας, στρογγύλος φυσικῶς. ἔστι δὲ ὁ τοιοῦτος ἄτμητος, λευκός τε. καὶ κλασθεὶς
ἔνδοθεν λιπαρὸς, ὑποθυμιαθείς τε ταχέως ἐκκαιόμενος. ὁ δὲ ἰνδικὸς ὑπόκιρρός τε ἐστὶ,
καὶ πελιὸς τῇ χρόᾳ. γίνεται δὲ καὶ κατὰ τὴν ποίησιν στρογγύλος. τέμνοντες γὰρ αὐτὸν εἰς
τετράγωνα σχήματα καὶ βάλλοντες εἰς κεράμια, κυλίουσιν ἕως ἂν ἀπολάβοι τὸ στρογ-
γύλον σχῆμα. χρόνῳ δὲ ὁ τοιοῦτος ξανθοῦται. ἄτμος δὲ ὁ σύαγρος καλούμενος. δευτερεύει δὲ
ὁ ἀραβίας καὶ ὁ ἐν σμίλῳ, ὃν ἀσιοκόπισκον καλοῦσι. μικρότερον καὶ κιρρότερον ὄν-
τα. λέγεται δέ τις καὶ ἀμμίτης. ἄλλως μὲν λευκός, ἐν δὲ τῷ μαλάσσεσθαι ἐνδιδοὺς ὡς
μαστίχη. δολοῦται δὲ ὁ λίβανος τῇ πιτυΐνῃ ῥητίνῃ μεθοδευόμενος, καὶ κόμμι. εὐχερὴς
δέ ἐστιν ἡ διάγνωσις. τὸ μὲν γὰρ κόμμι οὐκ ἐκφλογοῦται θυμιώμενον. ἡ δὲ ῥητίνη εἰς καπνὸν
ἐκτυφοῦται. ὁ δὲ λίβανος ἐξάπτεται. δηλοῖ δὲ καὶ ἡ ὀσμὴ τὸ τοιοῦτον. δύναται δὲ θερ-
μαίνειν, στύφειν, ἀποκαθαίρειν τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰ κοῖλα τῶν ἑλκῶν πλη-
ροῦν, καὶ κατουλοῦν. κολλᾶν τε ἔναιμα τραύματα. αἱμοῤῥαγίας τε πάσας, καὶ τὰς ἐκ μήνιγ-
γος ἐπέχειν. παρηγορεῖ καὶ τὰ περὶ δακτύλιον καὶ τὰ λοιπὰ μέρη κακοήθη ἔμμονα. λεῖος

σὺν γά

σὺν γάλακτι. καὶ πρὸς ἐν ἀρχῇ μυρμηκίας καὶ λειχῆνας, σὺν ὄξει καὶ πίττῃ καταχριόμενος. καὶ τὰ πυρίκαυτα δὲ ἕλκη καὶ χίμετλα σὺν στέατι χοιρείῳ ἢ χηνείῳ. ἀχῶρας δὲ σὺν νίτρῳ σμώμενος ἰᾶται. παρωνυχίας τε σὺν μέλιτι, ὤτων θλάσεις σὺν πίττῃ. πρὸς δὲ τὰ λοιπὰ ἀλγήματα τῶν ὤτων, σὺν οἴνῳ γλυκεῖ ἐγχεόμενος. μαστούς τε τοὺς ἀπὸ τόκου τῶν φλεγμαινόντας σὺν κιμωλίᾳ καὶ ῥοδίνῳ καταχριόμενος ὠφελεῖ. μίγνυται δὲ καὶ τοῖς πρὸς ἀρτηρίας ὠφελίμοις. καὶ τοῖς σπλαγχνικοῖς φαρμάκοις. αἱμοπτοϊκούς τε ὠφελεῖ πινόμενος. μανιώδεις δὲ ἐξίστησι πινόμενος ὑπὸ τῶν ὑγιαινόντων. πλείων δὲ μετ' οἴνου ποθεὶς καὶ κτείνει. καίεται δὲ λίβανος ἐν ὀστρακίνου καθαροῦ τεθείς. ὑφαπτόμενός τε χόνδρῳ ἀναφθέντι ἀπὸ λύχνου, ἄχρις ἂν ἐκκαυθῇ. δεῖ δὲ μετὰ τὴν πλείονα καῦσιν πωμάζειν ἄχρις ἂν σβεσθῇ. οὕτω γὰρ ἐκτεφροῦται. ἔνιοι δὲ περιτιθέασι τῇ λοπάδι, ἀγγεῖον χαλκοῦν, κοῖλον κατὰ μέσον τετρημένον. πρὸς ἔκληψιν τῆς λιγνύος, ὡς ὑποδείξομεν ἐν τῷ περὶ αἰθάλης λιβάνου λόγῳ. οἱ δὲ, εἰς ὠμὴν χύτραν βάλλοντες, περιπλάσαντες πηλῷ, καίουσιν ἐν καμίνῳ. φρύγνυται δὲ ἐπὶ ὀστρακίνου καινοῦ καὶ ἀνθράκων διαπύρων, ἕως ἂν μηκέτι πομφολύζῃ, μηδὲ λιπαρίαν τινὰ ἢ ἀτμίδα ἀνίῃ. θρύπτεται δὲ εὐχερῶς μὴ κατακεκαυμένος.

## Περὶ φλοιοῦ λιβάνου. κε πα.

Φλοιὸς λιβάνου διαφέρει ὁ παχὺς καὶ λιπαρὸς καὶ εὐώδης, πρόσφατος. λεῖος καὶ μὴ λεπρώδης ἢ ὑμενώδης. δολοῦται δὲ μιγνυμένου αὐτῷ φλοιοῦ στροβιλίνου ἢ πιτυΐνου. ἔλεγχος δὲ καὶ τούτων τὸ πῦρ. οἱ μὲν γὰρ λοιποὶ θυμιαθέντες οὐκ ἀνάπτονται, καπνιζόμενοι δὲ δίχα εὐωδίας ἐκτύφονται. ὁ μέντοι τοῦ λιβάνου φλοιὸς ἅπτεταί τε καὶ μετ' εὐωδίας ἐκθυμιᾶται. καίεται δὲ καὶ οὗτος ὡς καὶ ὁ λίβανος. δύναμιν δὲ ἔχει ἣν καὶ ὁ λίβανος. ἐνεργέστερος ὢν καὶ στυπτικώτερος. ὅθεν ποθεὶς, αἱμοπτοϊκοῖς μᾶλλον καὶ ῥοικαῖς ἁρμόζει ἐν προσθέτῳ. ποιεῖ δὲ πρὸς οὐλὰς ἐν ὀφθαλμοῖς καὶ κοιλώματα καὶ ῥυπαρίας. φωχθεὶς δὲ καὶ πρὸς ψωροφθαλμίας ποιεῖ.

## Περὶ μάννης λιβάνου κεφά. πβ.

Μάννα δὲ λιβάνου, δόκιμός ἐστιν ἡ λευκὴ καὶ καθαρὰ ἔγχονδρος. δύναμιν δὲ ἔχει ἣν καὶ ὁ λιβανωτός. ὑποδεεστέρως δὲ μᾶλλον. μιγνύουσι δ' ἔνιοι δολίζοντες, ῥητίνην πιτυΐνην σεσησμένην καὶ γύρειν, καὶ φλοιὸν λιβανωτοῦ κεκομμένον. ἐλέγχεται δὲ καὶ ταῦτα τῷ πυρί. οὔτε γὰρ καπνὸν καὶ ἰσοτόνως θυμιαθήσεται ἀερίζοντι τῷ ἀτμῷ. ἀσβολώδει δὲ καὶ οὐ καθαρῷ, ἢ τεθολωμένη ἀμικτῶν ἔχει τὴν ἀποφοράν.

## Περὶ αἰθάλης λιβανωτοῦ. κεφά. πγ

Αἰθάλην δὲ λιβανωτοῦ ποίει οὕτω. λαβίδι ὡς καθέντα χόνδρον τοῦ λιβάνου ἅπτων πρὸς λύχνον, ἐπιτίθει εἰς κοῖλον λοπάδιον ὀστράκινον καινόν. εἶτα περικάλυψον χάλκωμα εἰς κοῖλον, τετρημένον κατὰ μέσον, ἀπεσμηγμένον ἐπιμελῶς, ἑτέρῳ προσεπιτιθείς. ἕως αὐτὸ ὑποθεὶς κατὰ τὸ ἕτερον αὐτοῦ χεῖλος ἢ εἰς ἀμφότερα, λιθάρια ὕψος ἔχοντα δακτυλιαῖα πρὸς τὸ διαφαίνεσθαι εἰ καίεται, καὶ ἵνα χώραν, ὑποτιθέσθαι ἑτέρους χόνδρους. εἶτα πρὸ τοῦ τὸν πρῶτον χόνδρον ἀποσβεσθῆναι παντελῶς, ἕτερον προσεπιτίθει. ἕως ἂν αὐτάρκη λιγνὺν δόξῃς συναγηοχέναι. συνεχῶς μέντοι σπόγγῳ ἐξ ὕδατος ψυχροῦ περίμασσε τὰ ἐκτὸς μέρη τοῦ χαλκώματος. οὕτω γὰρ προσκαθίζει πᾶσα λιγνύς. μὴ ἄγαν αὐτοῦ πυρουμένου. ἐπεὶ ἀποπίπτουσα διὰ τὴν κουφότητα, μίγνυται τῇ τοῦ λιβάνου σποδῷ. ἀποψήσας οὖν τὴν πρώτην λιγνὺν, ποίει τὸ αὐτὸ ἐφ' ὅσον ἂν δοκῇ. ἀναιροῦ δὲ καὶ τὴν ἐκ τοῦ καέντος λιβάνου σποδὸν ἰδίᾳ. δύναμιν δὲ ἔχει πραϋντικὴν τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν. σταλτικὴν ῥευμάτων. ἀνακαθαρτικὴν ἑλκῶν. πληρωτικὴν κοιλωμάτων. σταλτικὴν καρκινωμάτων.

Περὶ λιγνύος σκευασίας. κεφ. πδ.

Τὸν αὐτὸν δὲ τρόπον σκευάζεται καὶ ἐκ τῆς σμύρνης, ἐκ τῆς ῥητίνης· καὶ ἐκ τοῦ στύρα
κος λιγνύς. ἁρμόζουσι δὲ πρὸς τὰ αὐτά. ἐκ τῶν λοιπῶν δὲ δακρύων ὁμοίως τὴν λι
γνὺν λάμβανε.

Περὶ πίτυος. κεφ. πε.

Πίτυς γνώριμον δένδρον. ἔστι δὲ τοῦ αὐτοῦ γένους καὶ ἡ λεγομένη πεύκη, εἴδει διαφέρου
σα. ἀμφοτέρων δὲ ὁ φλοιὸς στυπτικός. ἁρμόζων πρός τε παρατρίμματα λεῖος κατα
πλασσόμενος· καὶ πρὸς τὰ ἐπιπόλαια τῶν ἑλκῶν καὶ κατακαύματα σὺν λιθαργύρῳ καὶ μάν
νῃ. ἀναληφθεὶς δὲ κηρωτῇ μυρσίνῃ, ἀπουλοῖ τὰ ἐπὶ τῶν τρυφεροχρώτων ἕλκη. καὶ τὰ ἕρ
πυστικὰ ἐπέχει μετὰ χαλκάνθου λεῖος. ἔμβρυά τε καὶ δεύτερα ὑστέρᾳ θυμιαθεὶς ἐκ
βάλλει. κοιλίαν τε ποθεὶς ἵστησι καὶ οὐρητικός. καὶ τὰ φύλλα δὲ αὐτῶν καταπλα
σθέντα λεῖα, φλεγμονὰς παρηγορεῖ, καὶ τραύματα ἀφλέγμαντα διατηρεῖ. λειανθέντα δὲ καὶ
ἑψηθέντα ἐν ὄξει, ὀδονταλγίας πραΰνει διακλυζόμενα θερμά. ἁρμόζει δὲ καὶ ἡπατικοῖς
τῶν φύλλων ὁλκὴ μία σὺν ὕδατι ἢ μελικράτῳ ποθεῖσα. ποιεῖ δὲ τὰ αὐτὰ καὶ ὁ τῆς στρο
βίλου φλοιὸς καὶ τὰ φύλλα ποθέντα. καὶ τὸ ἐξ αὐτῶν δὲ δαδίον σχισθὲν εἰς λεπτὰ καὶ ἑψηθὲν
σὺν ὄξει, ὀδονταλγίας παύει. κρατουμένου τοῦ ἀφεψήματος κατὰ τοῦ πονοῦντος ὀδόν
τος. καὶ σπόδη δὲ ἐξ αὐτῶν γίνεται εἰς ἀκόπων σκευασίας καὶ πεσσῶν ἐπιτήδειος. καὶ ἐξ
αὐτῶν λιγνὺς καιομένων, ἐκλαμβάνεται πρὸς μέλανος γραφικοῦ κατασκευὴν ποιοῦ
σα· καὶ πρὸς καλλιβλέφαρα καὶ κανθοὺς βεβρωμένους· πρός τε πτίλα βλέφαρα καὶ ὀφθαλ
μοὺς δακρύοντας. πιτυΐδες δὲ καλοῦνται ὁ καρπὸς τῶν πιτύων καὶ τῆς πεύκης ὁ εὑρισκόμε
νος ἐν τοῖς κώνοις. δύναμιν δὲ ἔχουσι στυπτικὴν, θερμαίνουσαν ποσῶς. βοηθοῦσι δὲ βηξὶ
καὶ τοῖς περὶ θώρακα πάθεσι καθ' ἑαυτὰς ἢ μετὰ μέλιτος λαμβανόμεναι.

Περὶ στροβίλων. κεφ. πϛ.

Στρόβιλοι δὲ καὶ καθαροὶ ἐσθιόμενοι, ἢ μετὰ γλυκέος καὶ σικύου σπέρματος πινόμενοι,
οὐρητικοί, ἀμβλωτικοὶ τῶν περὶ κύστιν καὶ νεφροὺς δριμυτήτων. παρηγοροῦσι δὲ καὶ στο
μάχου δηγμούς. μετὰ ἀνδράχνης χυλοῦ λαμβανόμενοι. ἐξαίρουσί τε ἀτονίας σώμα
τος. καὶ τὰς τῶν ὑγρῶν διαφθορὰς ἐξαμβλύνουσιν. ὅλοι δὲ οἱ στρόβιλοι ἀπὸ δένδρων
πρόσφατοι θλασθέντες ἐν γλυκεῖ καὶ ἑψηθέντες, ἁρμόζουσι παλαιαῖς βηξὶ καὶ φθίσεσι.
καὶ τοῦ ἐξ αὐτῶν ὑγροῦ καθ' ἑκάστην ἡμέραν λαμβανομένου κυάθων τὸ πλῆθος τριῶν.

Περὶ σχίνου. κεφ. πζ.

Σχῖνος δένδρον γνώριμον στυπτικὸν ὅλον. καὶ γὰρ ὁ καρπὸς αὐτῆς καὶ τὸ φύλλον καὶ ὁ
φλοιὸς τῶν κλάδων καὶ τῆς ῥίζης ἰσοδυναμοῦσι. γίνεται δὲ καὶ χύλισμα ἐκ τοῦ φλοιοῦ καὶ τῆς
ῥίζης καὶ τῶν φύλλων ἑψημένων σὺν ὕδατι ἐφ' ἱκανόν. εἶτα μετὰ τὸ ἑψηθῆναι τῶν φύλ
λων ῥιπτομένων, τοῦ ὕδατος δὲ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. ποιεῖ δὲ σύ
φον πρὸς αἵματος ἀναγωγὰς καὶ ῥύσεις κοιλίας καὶ δυσεντερίας πινόμενος. καὶ πρὸς
τὰς ἐκ μήτρας αἱμορροΐας καὶ προπτώσεις ὑστέρας καὶ δακτυλίου. καὶ καθόλου ἀντὶ ἀ
κακίας ἢ ὑποκυστίδος, ἔνεστιν αὐτῷ χρῆσθαι. καὶ ὁ χυλὸς δὲ τῶν φύλλων ἐκθλιβέντων τὰ
αὐτὰ ποιεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καταντλούμενον, τὰ ἀσυμπλήρωτα πληροῖ
καὶ τὰ ἀπώρωτα πωροῖ ὀστᾶ. καὶ τὰς ἐκ μήτρας ῥύσεις στέλλει. καὶ τῶν νομῶν ἀ
ποτριπτικὸν καὶ οὐρητικόν ἐστιν. ἵστησι δὲ καὶ σειομένους ὀδόντας διακλυζόμενον·

τὸ δὲ

τὰ δὲ ξυλάφια χλωρὰ αὐτῆς ἀντὶ καλαμίδων παρατριβόμενα τοῖς ὀδοῦσι, σμήχει τούτους. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ ἔλαιον στυπτικόν· ἁρμόζον πρὸς τὰ στύψεως δεόμενα.

### Περὶ ῥητίνης σχινίνης· κε πη.

Γεννᾶται δὲ καὶ ῥητίνη ἐξ αὐτῆς σχινίνη καλουμένη· ὑπὸ τινῶν δὲ μαστίχη, χρησιμεύουσα πρὸς αἵματος ἀναγωγάς. καὶ πρὸς παλαιὰν βῆχα πινομένη. ἔστι δὲ εὐστόμαχος ἐρευκτική. μίγνυται δὲ καὶ σμήγμασιν ὀδόντων καὶ ἐπιχρίσμασι προσώπου στιλβοποιοῦσα. ἀνακολλᾷ δὲ καὶ τρίχας ἐν ὀφθαλμοῖς· στόματος εὐωδίαν ποιεῖ διαμασωμένη. καὶ οὔλων ἐστὶ σταλτική. γεννᾶται δὲ καὶ καλλίστη καὶ πλείστη ἐν Χίῳ τῇ νήσῳ. διαφέρει δὲ αὐτῆς ἡ λαμπυρίζουσα καὶ τυρρηνικῷ κηρῷ ὁμοία τῇ λευκότητι. ἀδρὰ καὶ ξηρὰ καὶ εὔθρυπτος καὶ εὐώδης. ἡ δὲ χλωρὰ ἥττων. δολοῦται δὲ λιβάνου καὶ ῥητίνης μιγνυμένων αὐτῇ.

### Περὶ τερμίνθου· κεφά. πθ.

Τέρμινθος γνώριμον δένδρον· ἧς τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ὁ φλοιὸς στυπτικὰ ὄντα, ἁρμόζει πρὸς ἃ καὶ ἡ σχῖνος, σκευαζόμενα ὁμοίως καὶ λαμβανόμενα. ὁ δὲ καρπὸς αὐτῆς ἐστιν ἐδώδιμος· κακοστόμαχος· οὐρητικὸς· θερμαντικός. ἔστι δὲ ἄριστος πρὸς ἀφροδίσια. σὺν οἴνῳ δὲ ποθεὶς, πρὸς φαλαγγίων δήγματα ἁρμόζει. ἡ δὲ ἐξ αὐτῆς ῥητίνη, κομίζεται μὲν ἐξ Ἀραβίας τῆς ἐν πέτρᾳ. γεννᾶται δὲ καὶ ἐν Ἰουδαίᾳ καὶ Συρίᾳ· καὶ ἐν Κύπρῳ καὶ ἐν Λιβύῃ καὶ ἐν ταῖς Κυκλάσι νήσοις. ἣ δὴ καὶ διαφέρει διαυγεστέρα οὖσα. λευκὴ· ὑαλίζουσα τῷ χρώματι καὶ κυανίζουσα. εὐώδης· τερμίνθου πνέουσα. προάγει δὲ πασῶν τῶν ῥητινῶν ἡ τερμινθίνη. καὶ μετὰ ταύτην ἡ σχινίνη. εἶτα ἡ πιτυΐνη καὶ ἡ ἐλατίνη. μεθ᾽ ἃς ἀριθμοῦνται ἥ τε πευκίνη καὶ ἡ στροβιλίνη. ἔστι δὲ πᾶσα ῥητίνη μαλακτική· θερμαντική· διαχυτική· ἀνακαθαρτική. βηξὶν ἁρμόζουσα καὶ φθίσεσιν· ἐν ἐκλεικτοῖς καθ᾽ ἑαυτὴν ἢ μετὰ μέλιτος· ἀνακαθαίρουσα καὶ τὰ ἐκ θώρακος. ἔστι δὲ καὶ οὐρητικὴ καὶ πεπτική· κοιλίαν τε μαλάσσει. ἔτι ἀνακολλήσει τριχῶν ἁρμόζει τῶν ἐν βλεφάροις. καὶ πρὸς λέπρας σὺν ἰῷ χαλκοῦ καὶ χαλκάνθῳ καὶ νίτρῳ. πρός τε τὰ ἰχωρορροοῦντα ὦτα σὺν μέλιτι καὶ ἐλαίῳ. καὶ πρὸς κνησμὸν αἰδοίου. μίγνυται δὲ καὶ ἐμπλάστροις καὶ μαλάγμασι καὶ ἀκόποις. καὶ πλευρᾶς ἀλγήμασι βοηθεῖ καθ᾽ ἑαυτὴν ἐπιχρισθεῖσα καὶ ἐπιτιθεμένη.

### Περὶ ῥητίνης ὑγρᾶς πιτυΐνης καὶ πευκίνης. κεφά. ϟ

Γίνεται δὲ ῥητίνη ὑγρὰ, πιτυΐνη καὶ πευκίνη κομιζομένη ἀπὸ Γαλλίας καὶ Τυρρηνίας. καὶ ἀπὸ Κολοφῶνος, πάλαι ποτὲ ἐκομίζετο. ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχε κολοφωνία κληθεῖσα. καὶ ἀπὸ Γαλατίας τῆς πρὸς ταῖς Ἄλπεσιν. ἣν ἐπιχώριοι οἱ ἐκεῖ λάρικα ὀνομάζουσιν. ἐξόχως ποιοῦσα πρὸς τὰς χρονίας βῆχας ἐν ἐκλεικτοῖς καὶ καθ᾽ ἑαυτὴν. διαφοροῦσι δὲ τῷ χρώματι καὶ αὗται. ἡ μὲν γάρ τίς ἐστι λευκή. ἡ δὲ, ἐλαιώδης. ἡ δὲ, μέλιτι ἔοικεν ὡς ἡ λαρική. γίνεται δὲ καὶ κυπαρισσίνη ὑγρά. ἥτις ποιεῖ πρὸς τὰ αὐτά. τῶν μέντοι ξηρῶν, ἡ μέν ἐστι στροβιλίνη καὶ ἐλατίνη. ἡ δὲ, πευκίνη· ἡ δὲ, πιτυΐνη. ἐκλέγου δὲ πασῶν τὴν εὐωδεστάτην καὶ διαυγῆ καὶ μήτε ξηρὰν μήτε κάθυγρον. κηροειδῆ δὲ καὶ εὔθρυπτον. διαφέρει δὲ αὐτῶν ἡ πιτυΐνη καὶ ἐλατίνη. εὐώδεις γάρ εἰσι καὶ λιβανίζουσι. κομίζονται δὲ διάφοροι ἐκ Πιτυούσης τῆς νήσου· ἥτις κεῖται κατὰ Ἱσπανίαν. ἡ δὲ πευκίνη

ἡ στροβιλίνη καὶ κυπαρισσίνη, ἐνδεέστεραι εἰσὶ καὶ οὐχ ὁμοίως κέχρηνται ταῖς δυνάμεσιν ὡς ἐκεῖναι. παραλαμβάνονται δὲ πρὸς ὅσα καὶ ἐκεῖναι. ἡ μέντοι σχινίνη, ἀναλογεῖ τῇ τερμινθίνῃ. καίεται δὲ πᾶσα ῥητίνη ὑγρὰ ἐν τετραπλασίονι ἀγγείῳ, κατὰ τὸ τοῦ ἐγχεομένου ὑγροῦ πλῆθος. δεῖ γὰρ χοῦν μὲν τῆς ῥητίνης, δύο δὲ χόας ὀμβρίου ὕδατος βαλόντας εἰς ἀγγεῖον, ἕψειν ἐπ' ἀνθράκων πράως. διηνεκῶς κινοῦντας ἄχρις οὗ ἄνοσμος γένηται καὶ εὔθρυπτος καὶ κάπυρα. καὶ ὡς τοῖς δακτύλοις εἴκειν. λοιπὸν δεῖ ψύξαντας εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον, τουτέστιν ἀπίσσωτον, ἀποτίθεσθαι. γίνεται γὰρ ἐξόχως λευκή. δεῖ μέντοι προδιυλίζειν πᾶσαν ῥητίνην τήκοντας ἵνα χωρισθῇ τὸ ῥυπῶδες αὐτῆς. καίονται δὲ καὶ δίχα ὕδατος ἐπ' ἀνθράκων κούφως τὸ πρῶτον. ὅταν δὲ μέλλωσι συντρέχειν, ἀθρόους καὶ πλείους ὑποθετέον τοὺς ἄνθρακας. καὶ ἑψητέον ἀδιαλείπτως ἐφ' ἡμέρας καὶ νύκτας τρεῖς, ἄχρις ἂν τὸ προειρημένον ἴδωμα ἀπολίπωσιν. ἀποτίθεσθαι δὲ ὡς εἴρηται. τὰς μέντοι ξηρὰς ἀρκέσει δύο ὅλας ἡμέρας ἑψήσαντας ἀποτίθεσθαι. εὐχρηστοῦσι δὲ καὶ αἱ κεκαυμέναι, εἴς τε τὰ εὐώδη τῶν μαλαγμάτων καὶ ἀκόπων καὶ εἰς χρωματισμοὺς μύρων. ἐκλαμβάνεται δὲ καὶ λιγνὺς ῥητίνης ὡς περὶ τῆς τοῦ λιβάνου. ἥτις χρήσιμός ἐστι πρὸς τὰ καλλιβλέφαρα. καὶ περιβεβρωμένους κανθοὺς καὶ μυδῶντα βλέφαρα. καὶ δακρύοντας ὀφθαλμούς. γίνεται γὰρ ἐξ αὐτῆς καὶ μέλαν ᾧ γράφομεν.

## Περὶ πίσσης ὑγρᾶς. κεφ. ϟα.

Πίσσα ἡ μὲν ὑγρὰ ἣν ἔνιοι κῶνον καλοῦσι, συνάγεται μὲν ἐκ τῶν λιπαρωτάτων ξύλων, πεύκης καὶ πίτυος. ἔστι δὲ καλὴ ἡ στίλβουσα καὶ λεία καὶ καθαρά. ποιεῖ δὲ πρὸς θανάσιμα φάρμακα. φθισικούς. ἐμπυϊκούς. βῆχας. ἄσθματα. δυσαναγωγὰ τῶν ἐν θώρακι ὑγρῶν, ἐκλειχομένη κυάθου πλῆθος μετὰ μέλιτος. ποιεῖ δὲ καὶ πρὸς τὰς τῶν παρισθμίων καὶ σταφυλῆς φλεγμονὰς καὶ συνάγχας διαχριομένη. καὶ πρὸς τὰ πυορροοῦντα ὦτα σὺν ῥοδίνῳ. καὶ πρὸς ἑρπετῶν δήγματα σὺν ἁλσὶ λείοις καταπλασσομένη. κηρωτῇ ἴσῃ μιγεῖσα, λεπροὺς ὄνυχας ἀφίστησι. φύματά τε ὑστέρας καὶ σκληρίας δακτυλίου διαφορεῖ. σὺν κριθίνῳ δὲ ἑψηθεῖσα ἀλεύρῳ καὶ παιδὸς οὔρῳ, χοιράδας περιρρήσσει. μετὰ δὲ θείου ἢ πίτυος φλοιοῦ ἢ πιτύρων, ἕρπητας ἐπέχει καταχριομένη. μάννῃ δὲ καὶ κηρωτῇ μιγεῖσα, τὰς ὑποφορὰς περικολλᾷ. πρός τε τὰς ἐν ποσὶ καὶ δακτυλίῳ ῥαγάδας ἁρμόζει καταχριομένη. πληροῖ τε τὰ ἕλκη. καὶ ἀνακαθαίρει σὺν μέλιτι. σὺν σταφίδι δὲ καὶ μέλιτι, ἄνθρακας καὶ σηπεδόνας περιχαράσσει. μίσγεται δὲ καὶ σηπτικοῖς χρησίμως.

## Περὶ πισσελαίου. κεφά. ϟβ.

Γίνεται δὲ καὶ πισσέλαιον ἐκ τῆς πίσσης, χωριζομένου τοῦ ὑδατώδους αὐτῆς. ἐφίσταται γὰρ τοῦτο καθάπερ ὀρρὸς γάλακτι. καὶ ἐκλαμβάνεται δὲ ἐν τῇ ἑψήσει τῆς πίσσης, ὑπεραιωρουμένου ἐρίου καθαροῦ. ὅπερ ὅταν ἐκ τοῦ ἀναφερομένου ἀτμοῦ γένηται διάβροχον, ἐκθλίβεται εἰς ἀγγεῖον. καὶ τοῦτο γίνεται ἐφ' ὅσον ἂν χρόνον ἡ πίσσα ἕψηται. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ ὑγρὰ πίσσα. δασύνει δὲ καὶ ἀλωπεκίας καταπλασσόμενον μετὰ κριθίνου ἀλεύρου. θεραπεύει δὲ τοῦτο καὶ ἡ ὑγρὰ πίσσα καὶ τὰ τῶν κτηνῶν ἕλκη καὶ ψώρας περιχριομένη.

Περὶ λι

Περὶ λιγνύος τῆς ὑγρᾶς πίσσης. κεφά. ϙγ

Γίνεται δὲ καὶ λιγνὺς τῆς ὑγρᾶς πίσσης οὕτως. εἰς λύχνον καινὸν ἐλλυχνιασμένον ἐνθεὶς τι
τῆς πίσσης ἅψον. καὶ πωμάσας τὸν λύχνον καινῷ ἀγγείῳ κεραμέῳ κλιβανοειδεῖ, ἄνω-
θεν μὲν περιφερεῖ καὶ στενῷ, κάτωθεν δὲ τρῆμα ἔχοντι καθάπερ οἱ κλίβανοι, ἔα καίεσθαι.
ὅταν δὲ ἀναλωθῇ τὸ πρῶτον ὑγρόν, ἄλλο ἐπίχει, ἕως ἂν αἰθάλωσις λιγνύος αὐτάρκης ᾖ.
καὶ χρῶ. δύναμιν δὲ ἔχει δριμεῖαν καὶ στυπτικήν. χρηστέον δὲ αὐτῇ, εἰς τὰ καλλιβλέφαρα
καὶ περιχριστά. καὶ ἐπτισμένων διακοπτομένας βλεφαρίδας ἐκφῦσαι δεῖ. καὶ πρὸς ἀσθενέστερα
καὶ μὴ δακρυρροοῦντα. ἔτι δὲ εἰς ἑλκώδη ὄμματα χρήσιμος.

Περὶ ξηρᾶς πίσσης. ϙδ

Ἡ δὲ ξηρὰ πίσσα, ἑψομένης τῆς ὑγρᾶς γίνεται. καλεῖται δὲ αὐτὴ ὑπ' ἐνίων παλίμπισσα.
γίνεται δὲ αὐτῆς ἡ μέν τις ἰξώδης, βοσκὰς καλουμένη. ἡ δέ, ξηρά. ἔστι δὲ καλὴ ἡ καθαρὰ καὶ
λιπαρά. εὐώδης τε καὶ ὑπόκιρρος καὶ ῥητινώδης. δύναμιν δὲ ἔχει θερμαντικήν. μαλα-
κτικήν. πυοποιόν. διαφορητικὴν φυμάτων καὶ φυγέθλων, καὶ πληρωτικὴν ἑλκῶν.
μίγνυται δὲ καὶ τραυματικοῖς χρησίμως.

Περὶ ζωπίσσης. κεφά. ϙε

Ζώπισσαν δὲ οἱ μέν, ἔφασαν τὴν ἐκ τῶν πλοίων ξυομένην ῥητίνην μετὰ τοῦ κηροῦ. καλουμέ-
νην ὑπ' ἐνίων ἀπόχυμα. οὖσαν διαφορητικὴν διὰ τὸ ἐν τῇ θαλάσσῃ βεβρέχθαι. οἱ δέ, τὴν πι-
τυΐνην ῥητίνην οὕτως ὠνόμασαν.

Περὶ ἀσφάλτου. κεφά. ϙϛ

Ἄσφαλτος διαφέρει ἡ ἰουδαϊκὴ τῆς λοιπῆς. ἔστι δὲ καλὴ ἡ πορφυροειδῶς στίλβουσα. εὔτο-
νος τῇ ὀσμῇ καὶ βαρεῖα. ἡ δὲ μέλαινα καὶ ῥυπώδης, φαύλη. δολοῦται γὰρ πίσσης μιγνυ-
μένης. γεννᾶται καὶ ἐν φοινίκῃ. καὶ ἐν σιδόνι. καὶ ἐν βαβυλῶνι καὶ ἐν ζακύνθῳ. γίνεται δὲ καὶ περὶ
τὴν ἀκραγαντίνων χώραν τῆς σικελίας, ὑγρὸν ἐπινηχόμενον ταῖς κρήναις. ᾧ χρῶνται εἰς
τοὺς λύχνους ἀντὶ ἐλαίου. καλοῦντες αὐτὸ σικελὸν ἔλαιον. πλανώμενοι. ἔστι γὰρ ἀσ-
φάλτου ὑγρᾶς εἶδος. Περὶ πισσασφάλτου. ϙζ

Καλεῖται δέ τις καὶ πισσάσφαλτος γινομένη ἐν ἀπολλωνίᾳ τῇ ἐν ἐπιδάμνῳ. ἥτις ἐκ τῶν
κεραυνίων ὀρῶν συγκαταφέρεται τῇ τοῦ ποταμοῦ ῥύμῃ. καὶ ἐκβράσσεται εἰς τὰς ἠ-
ιόνας. βωλοειδῶς συμπεπηγυῖα. ὄζουσα πίσσης μεμιγμένης ἀσφάλτῳ.

Περὶ νάφθας. κεφά. ϙη

Καλεῖται δέ τι καὶ νάφθα. ὅπερ ἐστὶ τῆς βαβυλωνίου ἀσφάλτου περιήθημα. τῷ χρώματι λευ-
κόν. εὑρίσκεται δὲ καὶ μέλαν, δύναμιν ἔχον ἁρπακτικὴν τοῦ πυρός. ὥστε καὶ ἐκ διαστή-
ματος ἁρπάζειν αὐτό. ὅπερ πρὸς ὑποχύσεις χρησιμεύει καὶ λευκώματα. τὴν δύναμιν δὲ ἔχει πᾶσα
ἄσφαλτος, ἀφλέγμαντον. κολλητικήν. διαφορητικήν. μαλακτικήν. ποιοῦσα πρὸς πνί-
γας ὑστερικὰς καὶ προπτώσεις. προστιθεμένη καὶ ὀσφραινομένη καὶ ὑποθυμιωμένη. ἐλέγχει
δὲ καὶ τοὺς ἐπιληπτικοὺς ὑποθυμιαθεῖσα καθάπερ καὶ ὁ γαγάτης λίθος. πινομένη δὲ μετ' οἴνου καὶ κα-
στορίου, ἔμμηνα κινεῖ. καὶ βηξὶ χρονίαις καὶ ἀσθματικοῖς καὶ δυσπνοίαις βοηθεῖ. καὶ ἑρπετῶν δήγ-
μασι, καὶ ἰσχίων πόνοις καὶ πλευρᾶς. δίδοται δὲ καὶ κοιλιακοῖς καταπότιον. καὶ θρόμβους αἵματος
διαλύει σὺν ὄξει ποθεῖσα. ἐγκλύζεται καὶ τοῖς δυσεντερικοῖς σὺν πτισάνῃ τακεῖσα. καὶ κατάρ-
ροις ὑποθυμιωμένη θεραπεύει. καὶ ὀδόντων ἀλγήματα περιπλασθεῖσα πραΰνει. ἀνακολλᾷ
δὲ καὶ τρίχας ἡ ξηρὰ διὰ μηλωτίδος θερμανθεῖσα. ἡ ἁρμόζει καὶ ποδαγρικοῖς καὶ ἀρθριτικοῖς

καὶ λιθαργυρικοῖς σὺν ὠμῇ λύσει καὶ κηρῷ καὶ νίτρῳ καταπλασθεῖσα. ὁ δὲ πιττάσφαλτος δύναται ὅσα πίσσα καὶ ἄσφαλτος μιχθέντα.

Περὶ κυπαρίσσου. κεφ. ϙθ.

Κυπάρισσος στύφει. ψύχει. τὰ φύλλα ποθέντα μετὰ γλυκέος καὶ σμύρνης ὀλίγης, κύστει ῥευματιζομένῃ καὶ δυσουρίαις βοηθεῖ. τὰ δὲ σφαιρία κοπέντα καὶ σὺν οἴνῳ πινόμενα, ἁρμόζει πρὸς αἵματος ἀναγωγὴν καὶ δυσεντερίαν καὶ κοιλίας ῥευματισμόν. ὀρθόπνοιαν. βῆχα. καὶ τὸ ἀφέψημα αὐτῶν τὸ αὐτὸ ποιεῖ. μαλάττει δὲ καὶ σκληρίας κοπέντα μετὰ σύκου. καὶ πολύποδας τοὺς ἐν μυκτῆρσιν ἰᾶται. ἐκβάλλει δὲ καὶ λεπριῶντας ὄνυχας, σὺν ὄξει καθεψηθέντα καὶ λεανθέντα μετὰ θέρμων. στέλλει δὲ καὶ ἐντεροκήλας καταπλασθέντα. καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ ποιεῖ. δοκεῖ δὲ καὶ κώνωπας διώκειν τὰ σφαιρία μετὰ τῶν κλώνων θυμιαθέντα. τὰ δὲ φύλλα λεῖα καταπλαττόμενα, τραύματα κολλᾷ. ἔστι δὲ καὶ ἴσχαιμα. σὺν ὄξει δὲ λεανθέντα, τρίχας βάπτει. καταπλάττεται δὲ καθ' αὑτὰ καὶ σὺν ἀλφίτῳ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας. ἄνθρακας. καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. κηρωτῇ δὲ μιχθέντα, στόμαχον κρατύνει ἐπιτιθέμενα.

Περὶ ἀρκευθίδος μικρᾶς. κεφ. ρ.

Ἀρκευθὶς μικρά. οἱ δὲ, ἀρκευθίδα. οἱ δὲ, μνησίθεος. οἱ δὲ ἀκατάλιδα. ἄφροι ζουορινσί. αἰγύπτιοι λιβιούμ. ῥωμαῖοι ἰουνίπερουμ. γάλλοι ἰουπικέλλους. ἔστιν ἀρκευθὶς ἡ μὲν, μικρά. ἡ δὲ, μεγάλη. δριμεῖαι δὲ ἀμφότεραι. διουρητικαί καὶ θερμαντικαί. θυμιώμεναί τε θηρία διώκουσιν. ὁ δὲ καρπὸς αὐτῶν, ὁ μέν τις καρύου μέγεθος εὑρίσκεται. ὁ δὲ, καρύου ποντικοῦ ἴσος. στρογγύλος τε καὶ εὐώδης καὶ γλυκὺς ἐν τῷ διαμασᾶσθαι, καὶ ὑπόπικρος. ἀρκευθὶς καλούμενος. θερμαντικὸς μετρίως καὶ στυπτικός. εὐστόμαχος. ποιῶν πρὸς τὰ ἐν θώρακι καὶ βῆχας καὶ πνευματώσεις καὶ στρόφους καὶ θηρία πινόμενος. ἔστι δὲ καὶ οὐρητικός. ὅθεν καὶ σπάσμασι καὶ ῥήγμασι καὶ ὑστερικαῖς πνιγομέναις ἁρμόζει. φύλλα δὲ ἔχει δριμέα. διὸ καὶ καταπλασσόμενα καὶ πινόμενα καὶ αὐτὰ καὶ ὁ χυλὸς αὐτῶν μετ' οἴνου, ποιεῖ πρὸς ἐχιοδήκτους. ὁ δὲ φλοιὸς καυθεὶς καὶ μετὰ ὕδατος καταχρισθεὶς, λέπρας ἀφίστησι. τὸ δὲ ῥίνημα τοῦ ξύλου καταποθὲν, ἀναιρεῖ.

Περὶ ἀρκευθίδος μεγάλης. κεφ. ρα.

Ἀρκευθὶς μεγάλη. οἱ δὲ, κυπάρισσος ἀγρία. οἱ δὲ, μνησίθεος. οἱ δὲ, ἀκατέρα. ῥωμαῖοι ἰουνίπερουμ. ἔστι καὶ αὕτη γνώριμος τοῖς πλείστοις, ἐμφερὴς κυπαρίσσῳ. γινομένη ἐν τραχέσι καὶ παραθαλασσίοις τόποις ὡς ἐπὶ τὸ πλεῖστον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ προειρημένῃ.

Περὶ βράθυος. κεφ. ρβ.

Βράθυ. οἱ δὲ βάρυτον. οἱ δὲ, βάρον. ῥωμαῖοι ἔρβα σαβίνα. ἔστι δὲ τούτου εἴδη δύο. τὸ μὲν γὰρ αὐτοῦ ἐστι τοῖς φύλλοις ὅμοιον κυπαρίσσῳ. ἀκανθωδέστερον δὲ καὶ βαρύοσμον. δριμύ. πυρωτικόν. κολοβὸν δὲ τὸ δένδρον καὶ εἰς πλάτος μᾶλλον χεόμενον. χρῶνται δέ τινες τοῖς φύλλοις ἀντὶ θυμιάματος. τὸ δὲ ἕτερον μυρίκῃ τοῖς φύλλοις ὅμοιον. ἀμφοτέρων δὲ τὰ φύλλα ἵστησι νομάς. καὶ φλεγμονὰς καταπλαττόμενα πραΰνει. ἀποκαθαίρει τὰ μελανίας σὺν μέλιτι καταπλασσόμενα. καὶ τὰς ῥυπαρίας καὶ ἄνθρακας περιρρήσσει. σὺν οἴνῳ ποθέντα, καὶ αἷμα δι' οὔρων ἄγει. ἔμβρυά τε κατασπᾷ. προστιθέντα δὲ καὶ ὑποθυμιαθέντα, τὸ αὐτὸ ποιεῖ. μίγνυται δὲ καὶ τοῖς θερμαντικοῖς χρίσμασιν. ἰδίως δὲ τῷ γλευκίνῳ.

Περὶ κέδρου. κεφ. ργ.

Κέδρος, δένδρον ἐστὶ μέγα. ἀφ' οὗ ἡ λεγομένη κεδρία συνάγεται. καρπὸν δὲ ἔχει ὥσπερ ἄρκευθος. φέρουσα μέγεθος μύρτου περιφερῆ.

περὶ

### Περὶ κεδρίας. κεφά. ρδ'.

Τῆς δὲ κεδρίας ἀρίστη ἡ παχεῖα καὶ διαυγὴς εὔτονος τῇ ὀσμῇ, ἀποχεομένη δὲ κατὰ σταλαγμοὺς ἐπισταμένους καὶ μὴ διαχεομένη. δύναμιν δὲ ἔχει σηπτικὴν μὲν τῶν ἐμψύχων, φυλακτικὴν δὲ τῶν νεκρῶν σωμάτων. ὅθεν καὶ νεκροῦ ζωήν τινες αὐτὴν ἐκάλεσαν. καὶ ἱμάτια δὲ καὶ δέρματα φθείρει διὰ τὸ θερμαίνειν ἐπιτεταμένως καὶ ξηραίνειν. δύναται δὲ ἔν τε τοῖς ὀφθαλμικοῖς ὀξυδερκὴς οὖσα ἐγχριομένη, καὶ λευκώματα καὶ οὐλὰς σμήχει. σὺν ὄξει διακλυζομένη, σκώληκας τοὺς ἐν ὠσὶ κτείνει. ἤχους τε καὶ συριγμοὺς παύει σὺν ὑσσώπου ἀφεψήματι ἐγχεομένη. εἴς τε ἐμβρώματα ὀδόντων ἐνσταλαχθεῖσα, θραύει μὲν τὸν ὀδόντα, παύει δὲ τὴν ἀλγηδόνα. σὺν ὄξει δὲ διακλυζομένη τὸ αὐτὸ ποιεῖ. περιχρισθεῖσα δὲ αἰδοίῳ πρὸ συνουσίας, ἀτόκιον ἐστί. συναγχικῶν τε περιχρισθεῖσα καὶ παρισθμίων φλεγμοναῖς βοηθεῖ. φθεῖράς τε καὶ κόνιδας φθείρει περιχρισθεῖσα. κεράστου δὲ δήγμασι σὺν ἁλσὶ καταπλασσομένη, ἀρήγει. πρός τε λαγωοῦ θαλασσίου πόσιν, σὺν γλυκεῖ λαμβανομένη βοηθεῖ. ὠφελεῖ καὶ ἐλεφαντιῶντας ἐκλειχομένη ἢ περιχριομένη. καθαίρει καὶ τὰ ἐν πνεύμονι ἕλκη καὶ ἰᾶται, ὅσον κύαθος ῥοφουμένη. σκώληκάς τε καὶ ἀσκαρίδας ἐγκλυζομένη φθείρει καὶ ἔμβρυα κατασπᾷ. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῆς χωριζόμενον ἀπὸ τῆς κεδρίας διὰ ἐρίου ὑπεραιωρουμένου ἐν τῇ ἑψήσει ὡς ἐπὶ τῆς πίσσης. ποιεῖ πρὸς ὅσα καὶ ἡ κεδρία. θεραπεύει δὲ τὸ ἔλαιον ἰδίως καὶ τὰς ἐπὶ τῶν τετραπόδων ψώρας καὶ κυνῶν καὶ βοῶν ἁδρικῶς καταχριόμενον. καὶ τοὺς ἐπὶ τῶν κρότωνας φθείρει. καὶ τὰς ἐπὶ τῇ κουρᾷ γινομένας ἑλκώσεις αὐτῶν ἐπουλοῖ.

### Περὶ κεδρίδων. Κεφά. ρε'.

Κεδρίδες δὲ καλοῦνται οἱ ἐξ αὐτῆς καρποί. δύναμιν δὲ ἔχουσι θερμαντικὴν, κακοστόμαχοι. βοηθοῦσι δὲ βηξὶ, σπάσμασι, ῥήγμασι, στραγγουρίαις. καὶ ἔμμηνα ἄγουσι μετὰ πεπέρεως λείου πινόμεναι. καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν σὺν οἴνῳ λαμβάνονται. διώκουσι καὶ θηρία χριομένου τοῦ σώματος σὺν ἐλαφείῳ στέατι ἢ μυελῷ. μίσγονται δὲ καὶ ἀντιδότοις. τὴν δὲ λιγνὺν συνακτέον αὐτῆς ὥσπερ τὴν τῆς πίσσης. δύναμιν ἔχουσαν τὴν αὐτὴν ἐκείνῃ.

### Περὶ δάφνης. Κεφά. ρς'.

Δάφνη ἡ μέν τίς ἐστι λεπτόφυλλος, ἡ δὲ πλατυτέρα. θερμαντικαὶ δὲ ἀμφότεραι καὶ μαλακτικαί. ὅθεν τὸ ἀφέψημα αὐτῶν εἰς ἐγκαθίσματα τὰ περὶ μήτραν καὶ κύστιν ἁρμόζει. τὰ δὲ χλωρὰ τῶν φύλλων, ἠρέμα ὑποστύφει. ὠφελεῖ δὲ λεῖα καταπλασθέντα, σφηκῶν καὶ μελισσῶν πληγάς. δύναται δὲ καὶ πᾶσαν φλεγμονὴν πραΰνειν σὺν ἀλφίτῳ καὶ ἄρτῳ καταπλασθέντα. ποθέντα δὲ πραΰνει τὸν στόμαχον. καὶ ἐμέτους κινεῖ.

### Περὶ δαφνίδων. Κεφά. ρζ'.

Αἱ δὲ δαφνίδες θερμαντικώτεραι τῶν φύλλων εἰσί. ποιοῦσιν οὖν ἐκλειχόμεναι μέλιτι ἢ γλυκεῖ, πρὸς φθίσιν καὶ ὀρθόπνοιαν καὶ τοὺς περὶ θώρακα ῥευματισμούς. πίνονται δὲ σὺν οἴνῳ πρὸς σκορπιοπλήκτους. καὶ ἀλφοὺς δὲ σμήχουσι. τὸ δὲ πίεσμα αὐτῶν, ὠταλγίαις καὶ δυσηκοΐαις βοηθεῖ σὺν οἴνῳ παλαιῷ καὶ ῥοδίνῳ ἐγχεόμενον. μίσγονται καὶ ἀκόποις καὶ συγχρίσμασι θερμαντικοῖς καὶ διαφορητικοῖς. ὁ δὲ φλοιὸς τῆς ῥίζης αὐτῶν, λίθους θρύπτει καὶ ἔμβρυα κτείνει. καὶ ἡπατικοὺς ὠφελεῖ. τριωβόλου πλῆθος σὺν οἴνῳ εὐώδει πινόμενος.

### Περὶ πλατάνου. Κεφά. ρη'.

Πλατάνου τὰ τρυφερὰ τῶν φύλλων ἑψηθέντα ἐν οἴνῳ καὶ καταπλασθέντα, στέλλει ῥεύματα τὰ ὀ-

(φθαλ

μένων. κουφίζει δὲ καὶ τὰ οἰδήματα καὶ φλεγμονάς. ὁ δὲ φλοιὸς ἑψηθεὶς ἐν ὄξει, ὀδονταλγίας ἐστὶ διάκλυσμα. τὰ δὲ σφαιρία χλωρὰ σὺν οἴνῳ ποθέντα, ἑρπετοδήκτοις βοηθεῖ. ἀναληφθέντα δὲ στέατι, πυρίκαυστα θεραπεύει. ὁ δὲ χυλὸς τῶν φύλλων καὶ τῶν σφαιρίων, ἀκοῇ καὶ ὄψιν ἐμπεσὼν, λυμαίνεται.

Περὶ μελίας κεφά. ρθ'.

Μελία δένδρον ἐστὶ γνώριμον. οὗ τῶν φύλλων ὁ χυλὸς καὶ αὐτὰ σὺν οἴνῳ πινόμενα, καὶ καταπλασσόμενα ἐχιοδήκτοις βοηθεῖ. ὁ δὲ φλοιὸς καεὶς καὶ καταχρισθεὶς μεθ' ὕδατος, λέπρας ἀφίστησι. τὰ δὲ τορνεύματα τοῦ ξύλου ποθέντα, φασὶν ἀναιρετικὰ εἶναι.

Περὶ λεύκης Κεφά. ρι'.

Λεύκης τοῦ δένδρου ὁ φλοιὸς ποθεὶς ὅσον οὐγγία μία πλῆθος, ἰσχιαδικοὺς ὠφελεῖ καὶ στραγγουρίας. ἱστορεῖται δὲ καὶ ἄτοκος εἶναι ποθεὶς μετὰ ἡμιόνου νεφροῦ. καὶ τὰ φύλλα δὲ πινόμενα μετὰ κάθαρσιν σὺν οἴνῳ, τὸ αὐτὸ δρᾶν λέγεται. ὠφελεῖ καὶ ὠταλγίας ὁ χυλὸς τῶν φύλλων χλιαρὸς ἐνσταζόμενος. τὰ δὲ κατὰ τὴν ἐκβλάστησιν τῶν φύλλων σφαιρία λεῖα μετὰ μέλιτος ἐγχριόμενα, ἀμβλυωπίας θεραπεύει. ἔνιοι δὲ ἱστοροῦσι τὸν φλοιὸν τῆς λεύκης καὶ τῆς αἰγείρου τμηθέντα εἰς λεπτὰ μεγέθη καὶ σπαρέντα πρασιαῖς κεκοπρισμέναις, ἐν παντὶ καιρῷ μύκητας ἐδωδίμους φύειν.

Περὶ μάκερος. κεφά. ρια.

Μάκερ, φλοιός ἐστι κομιζόμενος ἐκ τῆς βαρβάρου, ὑπόξανθος, παχὺς, στύφων ἱκανῶς κατὰ τὴν γεῦσιν. πίνεται δὲ πρὸς αἵματος πτύσιν καὶ δυσεντερίας καὶ κοιλίας ῥευματισμόν.

Περὶ πτελέας. κεφά. ριβ'.

Πτελέας τὰ φύλλα καὶ οἱ ἀκρέμονες καὶ ὁ φλοιὸς στυπτικά. ποιεῖ δὲ τὰ φύλλα πρὸς λέπραν λεῖα σὺν ὄξει ἐπιπλαττόμενα. καὶ τραύματα κολλᾷ. μᾶλλον δὲ ὁ φλοιὸς ἀντὶ ἐπιδέσμου περιειλούμενος. ἔστι γὰρ ἱμαντώδης. ὁ δὲ παχύτερος φλοιὸς σὺν οἴνῳ ἢ ὕδατι ψυχρῷ ποθεὶς οὐγγίας α. πλῆθος, ἄγει φλέγμα. καὶ τὸ ἀφέψημα δὲ τῶν φύλλων ἢ τοῦ φλοιοῦ τῶν ῥιζῶν καταντλούμενον, κάταγμα πωροῖ τάχιον. τὸ δὲ ἐν ταῖς φύσαις κατὰ τὴν πρώτην ἐκβλάστησιν εὑρισκόμενον ὑγρὸν, στίλβει πρόσωπον ἐπιχριόμενον. ξηραινόμενον δὲ τὸ ὑγρὸν τοῦτο, ἀναλύεται εἰς θηρία κωνωποειδῆ. λαχανεύεται δὲ τὰ πρόσφατα τῶν φύλλων εἰς προσοψήματα.

Περὶ σαπρότητος ξύλων. κεφ. ριγ'.

Ἡ δὲ ἀπὸ τῶν παλαιῶν ξύλων καὶ πρέμνων σαπρία συνισταμένη, ὥσπερ ἄλευρον καταπλασσομένη, ἀνακαθαίρει καὶ ἀπουλοῖ ἕλκη. τὰ δὲ ἑρπυστικὰ ἐπέχει. σὺν ἴσῳ ἴρεως φυραθεῖσα καὶ οἴνῳ, ἐν ὀθόναις τε καθεῖσα καὶ λεία καταπλασσομένη.

Περὶ αἰγείρου. κεφά. ριδ'.

Αἴγειρος. ταύτης τὰ φύλλα μετ' ὄξους καταπλαττόμενα, ποδαγρικὰς ὀδύνας ὠφελεῖ. ἡ δὲ ἐξ αὐτῆς ῥητίνη μίσγεται μαλάγμασιν. ὁ καρπὸς δὲ μετὰ ὄξους πινόμενος, ἐπιληπτικοὺς ὠφελεῖ. ἱστορεῖται δὲ ὅτι τὸ ἐξ αὐτῆς δάκρυον κατὰ τὸν ἠριδανὸν ποταμὸν καταχεόμενον, πήγνυται καὶ γίνεται τὸ καλούμενον ἤλεκτρον. ὑπὸ τινῶν δὲ χρυσοφόρον. εὐῶδες ἐν τῇ παρατρίψει καὶ χρυσοειδὲς τῷ χρώματι. ὅπερ πινόμενον λεῖον, στομάχου καὶ κοιλίας ῥεῦμα ἵστησι.

Περὶ καλάμου. Κεφά. ριε'.

Καλάμων ὁ μέν τις καλεῖται ναστός. ἐξ οὗ τὰ βέλη γίνεται. ὁ δέ τις θῆλυς. ἐξ οὗ αἱ γλωττίδες τοῖς αὐλοῖς κατασκευάζονται. ἄλλος δὲ συριγγίας πολύσαρκος, πυκνογονατώτερος, εἰς βιβλιογραφίαν ἐπιτήδειος. ὁ δέ τις παχὺς καὶ κοῖλος παρὰ ποταμοῖς φυόμενος, ὃς καὶ δόναξ καλεῖται.

ὑπὸ

ὑπό τινων δὲ κύπριος. καὶ ἕτερος φραγμίτης ὑπόλεπτος, λευκός. πᾶσι συνήθης μὲν. οὗ ἡ ῥίζα καταπλασθεῖσα λεία, καὶ καθ᾽ αὑτὴν καὶ σὺν βολβοῖς, ἐπισπᾶται σκόλοπας καὶ ἀκίδας. σὺν ὄξει δὲ στρέμματα καὶ ὀσφύος ἀλγήματα πραΰνει. τὰ δὲ φύλλα χλωρὰ κοπέντα καὶ ἐπιτεθέντα ἐρυσιπέλατά τε καὶ τὰς ἄλλας φλεγμονὰς ἰᾶται. ὁ δὲ φλοιὸς ἀλωπεκίας θεραπεύει καεὶς καὶ μετ᾽ ὄξους λεῖος καταπλασθείς. ἡ δὲ ἀνθήλη τῶν καλάμων ἐμπεσοῦσα εἰς τὰς ἀκοάς, κώφωσιν ἐργάζεται. δύναται δὲ τὰ αὐτὰ καὶ ὁ κύπριος λεγόμενος κάλαμος ποιεῖν.

Περὶ παπύρου. κεφ. ριϛ΄.

Πάπυρος συνήθης μέν ἐστι πᾶσιν, ἀφ᾽ ἧς ὁ χάρτης κατασκευάζεται. εὐχρηστεῖ δὲ πρὸς τὴν ἰατρικὴν χρῆσιν πρὸς ἀναστόμωσιν συρίγγων σκευασθεῖσα διάβροχος, περιδεθεῖσα λίνῳ ἄχρι ξηρασίας. στενουμένη γὰρ καὶ καθιεμένη, ἐμπίπλαται ὑγρασίας, καὶ ἐξοιδοῦσα διανοίγει τὰς σύριγγας. ἔχει δέ τι ἡ ῥίζα αὐτῆς καὶ τρόφιμον. διαμασώμενοι γοῦν αὐτὴν οἱ ἐν Αἰγύπτῳ, ἀποχυλίζουσιν ἐκπτύοντες τὸ διαμάσημα. χρῶνται δὲ καὶ ἀντὶ ξύλων αὐτῇ. ἡ δὲ κεκαυμένη πάπυρος ἄχρι τεφρώσεως δύναται νομὰς ἐπέχειν τὰς ἐν στόματι καὶ παντὶ μέρει. βέλτιον δὲ ὁ χάρτης καεὶς δρᾷ τὸ τοιοῦτον.

Περὶ μυρίκης. κεφ. ριζ΄.

Μυρίκη δένδρον ἐστὶ συνήθης παρὰ λίμναις καὶ τοῖς στασίμοις ὕδασι φυόμενον. καρπὸν ὥσπερ ἄνθος φέρουσα βρυώδη κατὰ τὴν σύστασιν. γίνεται δέ τις ἐν Αἰγύπτῳ καὶ Συρίᾳ ἥμερος κατὰ τὰ ἄλλα ὁμοία τῇ ἀγρίᾳ. καρπὸν φέρουσα ἐμφερῆ κηκῖδι. ἄνω μάλα στύφοντα κατὰ τὴν γεῦσιν. ἁρμόζοντά τε ἀντὶ κηκῖδος εἰς τὰ στοματικὰ καὶ ὀφθαλμικά, καὶ πρὸς αἵματος πτύσεις ἐν ποτῷ, καὶ κοιλιακοὺς καὶ ῥοϊκὰς γυναῖκας, ἰκτερικούς τε καὶ φαλαγγιοδήκτοις. οἰδήματά τε στέλλει καταπλασθείς. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ ποιεῖ τῷ καρπῷ. τῶν δὲ φύλλων τὸ ἀφέψημα σὺν οἴνῳ ποθέν, σπλῆνα τήκει. καὶ ὀδονταλγίαις βοηθεῖ διακλυζόμενον. ἐγκάθισμά τε ῥοϊκαῖς. καὶ περίχυμα τοῖς φθεῖρας καὶ κόνιδας γεννῶσιν ἐπιτήδειον. καὶ ἡ ἀπὸ τῶν ξύλων τέφρα προστεθεῖσα, ῥύσιν ἐκμήνων στέλλει. κατασκευάζουσι δέ τινες καὶ κυλίκια ἐκ τοῦ πρέμνου. αἷς ἐπὶ τῶν σπληνικῶν χρῶνται ἀντὶ ποτηρίων, ὡς τοῦ δι᾽ αὐτῶν πόματος ὠφελοῦντος.

Περὶ ἐρείκης. κεφ. ριη΄.

Ἐρείκη δένδρον ἐστὶ θαμνῶδες ὅμοιον μυρίκῃ, μικρότερον δὲ πολλῷ. οὗ τῷ ἄνθει μέλιτται ἐπιβοσκόμεναι, μέλι ἐργάζονται οὐ σπουδαῖον. ταύτης ἡ κόμη καὶ τὸ ἄνθος καταπλασσόμενα, ἑρπετῶν δήγματα ἰᾶται.

Περὶ ἀκακαλίδος. κεφ. ριθ΄.

Ἀκακαλὶς θάμνου καρπός ἐστι γεννωμένου ἐν Αἰγύπτῳ, ἐοικὼς κατά τι τῷ μυρίκης καρπῷ. οὗ τὸ ἀπόβρεγμα μίσγονται κολλυρίοις τοῖς πρὸς ὀξυδορκίαν ἁρμόζουσι.

Περὶ ῥάμνου. κεφ. ρκ΄.

Ῥάμνος· οἱ δὲ περσεφόνιον, οἱ δὲ λευκάκανθα, Ῥωμαῖοι σπῖνα ἄλβα, οἱ δὲ σπῖνα κέρβαλις, Ἀφροὶ ἀτάδιμ. Ῥάμνος θάμνος ἐστὶ περὶ φραγμοὺς φυόμενος, ῥάβδους ἔχων ὀρθὰς καὶ ἀκάνθας ὥσπερ ἡ ὀξυάκανθα. φύλλα μικρὰ ὑπομήκη, ὑπολίπαρα, μαλακά. ἔστι δὲ καὶ ἑτέρα λευκοτέρα. καὶ τρίτη μελαντέρα ἔχουσα τὰ φύλλα καὶ πλατύτερα σὺν τῷ ἠρέμα ἐρυθραίνεσθαι. ῥάβδους μακρὰς πηχυαίας πέντε, μᾶλλον ἀκανθώδεις. ἧττον δὲ στερεὰς καὶ ἐπικάμπους ἔχει τὰς ἀκάνθας. καρπὸς δὲ πλατύς, λευκός, λεπτὸς ὡς θυλακώδης, ἐοικὼς σφονδύλῳ. ποιεῖ δὲ πασῶν τὰ φύλλα πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας καταπλασσόμενα. λέγεται δὲ καὶ κλῶνας αὐτῆς θύραις ἢ θυρίσι προστεθέντας, ἀποκρούειν τὰς τῶν φαρμάκων κακουργίας.

Περὶ ἁλίμου. κεφ. ϱκα.

Ἄλιμος· οἱ δὲ δαμασώνιον· οἱ δέ, ἔρυμον· οἱ δέ, βρεττανική· οἱ δὲ ῥάβδιον· οἱ δέ, βασίλειον· προφῆται ἑρμοῦ βασίς· ὁμοίως σὺν τοῖς· οἱ δέ, ὀστεώδης διάδημα· οἱ δέ, κλυτέφανος· οἱ δέ, ἱερὸς καυλός. Πυθαγόρας ἀνθήνορος· αἰγύπτιοι ἀσουπρί, οἱ δὲ ἀσφή· οἱ δέ, ἀσταλγεί· οἱ δέ, ἀσφελφή· ῥωμαῖοι ἀλβούκιουμ· οἱ δὲ ἀμπλούκιαμ. ἄλιμος θάμνος ἐστὶ φραγμίτης· ὅμοιος ῥάμνῳ· οὐκ ἔχων ἀκάνθας· φύλλα δὲ ἐλαίας παραπλήσια· πλατύτερα μέντοι. φύεται ἐν παραθαλασσίοις καὶ φραγμοῖς. λαχανεύεται δὲ αὐτῆς τὰ φύλλα ἑψόμενα εἰς βρῶσιν. τῆς δὲ ῥίζης < α ὁλκὴ ποθεῖσα σὺν μελικράτῳ, σπάσματα, ῥήγματα καὶ στρόφους πραΰνει· καὶ γάλα κατασπᾷ.

Περὶ παλιούρου. κεφ. ϱκβ.

Παλίουρος γνώριμος ἐστὶ θάμνος, ἀκανθώδης, στερεός. οὗ τὸ σπέρμα λιπαρὸν καὶ λισυνῶδες εὑρίσκεται· ὅπερ πινόμενον βῆχιν ἀρήγει· καὶ τοὺς ἐν κύστει λίθους θρύπτει· καὶ πρὸς ἑρπετῶν δήγματα ποιεῖ. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα στυπτικά· ὧν τὸ ἀφέψημα ποθὲν, κοιλίαν ἵστησιν· οὖρα ἀπάγει· καὶ θανασίμοις καὶ θηριοδήκτοις βοηθεῖ. διαφορεῖ δὲ πάντα τὰ πρόσφατα φύματα καὶ οἰδήματα ἡ ῥίζα, λεία ἐπιπλασθεῖσα.

Περὶ ὀξυακάνθης. κεφ. ϱκγ.

Ὀξυάκανθα· οἱ δέ, πυρίναν· οἱ δέ, πυξακάνθην καλοῦσι. δένδρον ἐστὶ παραπλήσιον ἀχράδι· μικρότερον δὲ καὶ ἀκανθῶδες ἅμα. καρπὸν δὲ φέρει μύρτῳ ἐμφερῆ· ἁδρόν· ἐρυθρόν· εὔθρυπτον· ἔνδοθεν πυρῆνας ἔχοντα. ῥίζας πολυσχιδεῖς καὶ βαθείας. τούτου ὁ καρπὸς διάρροιαν ἵστησι· καὶ ῥοῦν γυναικεῖον πινόμενος ἢ ἐσθιόμενος. ἡ δὲ ῥίζα καταπλασθεῖσα λεία, σκόλοπας καὶ ἀκίδας ἐπισπᾶται. ἱστορεῖται δὲ δύναμιν ἔχειν τὴν ῥίζαν, καὶ ἐκτρωσμοὺς ἐργάζεσθαι τῆς κοιλίας, ἠσυχῇ τρὶς πληχθείσης ἢ χρισθείσης.

Περὶ κυνοσβάτου. κεφ. ϱκδ.

Κυνόσβατον· οἱ δέ, ὀξυάκανθαν καλοῦσι. θάμνος ἐστὶ βάτου πολλῷ μείζων· δενδρώδης· φύλλα φέρει πολλῷ πλατύτερα μυρσίνης. ἀκάνθας δὲ περὶ ταῖς ῥάβδοις ἰσχυράς. ἄνθος λευκόν· καρπὸν ὑπομήκη, πυρῆνι ἐλαίας ἐοικότα. ἐν τῷ πεπαίνεσθαι πυρρὸν· τὰ δὲ ἐντὸς ἐριώδη. ἵστησι δὲ κοιλίαν ὁ καρπὸς ξηρός, δίχα τοῦ ἐν αὐτῷ ἐριώδους. κακωτικὸν γὰρ τῆς ἀρτηρίας ὑπάρχει, ἀπεζεσμένον ἐν οἴνῳ καὶ πινόμενον.

Περὶ κύπρου. κεφ. ϱκε.

Κύπρος δένδρον ἐστὶ περὶ ταῖς ῥάβδοις φύλλα ἔχον ἐλαίας παραπλήσια, πλατύτερα δὲ καὶ μαλακώτερα καὶ χλωρότερα. ἄνθη λευκὰ βρυώδη, εὐώδη. σπέρμα μέλαν, ὅμοιον τῷ τῆς ἀκτῆς. γεννᾶται δὲ ἀρίστη ἐν τῇ ἀσκάλωνι καὶ κανώπῳ. δύναμιν δὲ ἔχει τὰ φύλλα στυπτικήν· ὅθεν διαμασηθέντα ἄφθας ἰᾶται· καὶ τὰς ἄλλας πυρώδεις φλεγμονὰς καταπλασθέντα ὠφελεῖ· καὶ ἄνθρακας. τὸ δὲ ἀφέψημα αὐτῶν, πυρικαύτων καταντλημα. ξανθίζει δὲ καὶ τρίχας, στρουθίου χυλῷ τὰ φύλλα λεῖα βραχέντα καὶ ἐγχρισθέντα. τὸ δὲ ἄνθος ἐπιπλασθὲν τῷ μετώπῳ λεῖον μετ' ὄξους, κεφαλαλγίας παύει. τὸ δὲ σκευαζόμενον ἐξ αὐτοῦ χρίσμα κύπρινον, θερμαντικὸν γίνεται καὶ μαλακτικὸν νεύρων, ἐν τῷ προλαμβάνειν πυρετικὰ μίγματα.

Περὶ φιλλυρέας. κεφ. ϱκς.

Φιλλυρέα δένδρον ἐστὶν ὅμοιον κύπρῳ κατὰ μέγεθος. φύλλα δὲ ἐλαίας ὅμοια· πλατύτερα δὲ καὶ μελάντερα. καρπὸν δὲ ἔχει σχίνῳ ἐμφερῆ, μέλανα, ὑπόγλυκυν, ὡς ἐν βότρυσι κείμενον. ἐν τραχέσι δὲ τόποις γεννᾶται. ταύτης τὰ φύλλα, στύφει ὡς ἀγριελαία· ποιοῦντα πρὸς τὰ στύψεως δεόμενα. μάλιστα τοῖς ἐνστομίοις ἕλκεσι διαμάσημα καὶ δια-

κλυσμα

κλυσμα πρὸς ἀφέψημα καὶ πινόμενον δὲ οὖρα καὶ ἔμμηνα ἄγει.

Περὶ κίσου. κεφ. ρκζ.

Κίσος. ὃν ἔνιοι κίσθαρον ἢ κίσσαρον καλοῦσι. θάμνος ἐστὶν ἐν πετρώδεσι τόποις φυόμενος, πολύκλαδος, φυλλώδης, οὐχ ὑψηλός, φύλλα ἔχων περιφερῆ, τραχέα, δασέα. ἄνθος παρὰ ῥοιᾶς· τοῦ δὲ θήλεος λευκά. δύναμιν δὲ ἔχει στυπτικήν. ὅθεν τὰ ἄνθη πινόμενα δὶς τῆς ἡμέρας ἐν οἴνῳ αὐστηρῷ, δυσεντερίαις ἁρμόζει. καὶ αὐτὰ δὲ καταπλασθέντα, νομὰς ἵστησι. σὺν κηρωτῇ δὲ πυρίκαυτα καὶ παλαιὰ ἕλκη ἰᾶται.

Περὶ ὑποκιστίδος. κεφ. ρκη.

Φύεται δὲ παρὰ τὰς ῥίζας τοῦ κίσου ἡ λεγομένη ὑποκιστίς. ὑπ᾽ ἐνίων δὲ ῥόδιθρον ἢ κυτίνος καλουμένη. ὅμοιόν τι κυτίνῳ ῥοιᾶς. καὶ τὸ μὲν αὐτοῦ κιῤῥόν, τὸ δὲ χλωρόν, τὸ δὲ λευκόν. ὀπὸς χυλίζεται ὡς περὶ ἡ ἀκακία. ἔνιοι δὲ ξηράναντες αὐτὴν καὶ θλάσαντες, βρέχουσί τε καὶ ἕψουσι, καὶ τὰ ἄλλα ποιοῦσιν, ὡς ἐπὶ τοῦ λυκίου. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ ἀκακίᾳ. στυπτικωτέραν δὲ καὶ ξηραντικωτέραν. ποιοῦσαν πρὸς κοιλιακούς, δυσεντερικούς, αἱμοπτοϊκούς, ῥοῦν γυναικεῖον πινομένη καὶ ἐνιεμένη.

Περὶ λαδάνου. κεφ. ρκθ.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κίσου, καλούμενον ὑπ᾽ ἐνίων λῆδον. θάμνος περὶ τὰ αὐτὰ φυόμενος τῷ κίσῳ. μακρότερα δὲ τὰ φύλλα ἔχει καὶ μελάντερα. λιπαρείας τινὰ ἔχοντα κατὰ τὸ ἔαρ ἐπιπασσόμενα. ὧν φύλλων ἡ δύναμις στυπτική τις καθέστηκε. ποιοῦσα πρὸς ὅσα ὁ κίσος. γίνεται δὲ ἐξ αὐτοῦ τὸ λεγόμενον λάδανον. τὰ φύλλα γὰρ αὐτοῦ νεμόμεναι αἱ αἶγες καὶ οἱ τράγοι, τὴν λιπαρείαν ἀναλαμβάνουσι τοῖς πώγωσι γνωρίμως. καὶ τοῖς μηροῖς προσπλαττομένην διὰ τὸ τυγχάνειν ἰξώδη. ἣν ἀφαιροῦντες ὑλίζουσι. καὶ ἀποτιθέασιν ἀναπλάσσοντες μαγίδας. ἔνιοι δὲ καὶ σχοινία ἐπισύρουσι τοῖς θάμνοις. καὶ τὸ προσπλασθὲν αὐτοῖς λίπος ἀποξύσαντες ἀναπλάσσουσι. κράτιστον δέ ἐστιν αὐτοῦ τὸ εὐῶδες. ὑπόχλωρον. εὐμάλακτον. λιπαρόν. ἀμέτοχον ἄμμου ἢ ψαφαρίας. ῥητινῶδες. τοιοῦτον δέ ἐστι τὸ ἐν Κύπρῳ γεννώμενον. τὸ μέντοι ἀραβικὸν καὶ λιβυκὸν εὐτελέστερον. δύναμιν δὲ ἔχει στυπτικήν. θερμαντικήν. μαλακτικήν. ἀναστομωτικήν. ἵστησι δὲ τὰς ῥεούσας τρίχας, μιγνύμενον οἴνῳ καὶ σμύρνῃ καὶ μυρσίνῳ ἐλαίῳ. οὐλάς τε εὐπρεπεστέρας ποιεῖ μετ᾽ οἴνου καταχριόμενον. καὶ ὠταλγίας μεθ᾽ ὑδρομέλιτος, ἢ ῥοδίνου ἐγχεόμενον θεραπεύει. ὑποθυμιᾶται δὲ καὶ πρὸς δευτέρων ἐκβολάς. καὶ σκληρίας θεραπεύει τὰς ἐν μήτρᾳ. ἐν πεσσῷ μιγνύμενον. καὶ ταῖς ἀνωδύνοις καὶ βηχικαῖς καὶ μαλάγμασι χρησίμως μίγνυται. κοιλίαν τε ἵστησι σὺν οἴνῳ παλαιῷ ποθέν. ἔστι δὲ καὶ οὐρητικόν.

Περὶ ἐβένου. κεφ. ρλ.

Ἔβενος κρατίστη ἡ αἰθιοπική. καὶ μέλαινα. καὶ μὴ ἔχουσα κτηδόνας. ἐμφερής, κέρατι ἐσμηγμένῳ τῇ λειότητι. θλασθεῖσα δὲ πυκνή, δηκτικὴ ἐν τῇ γεύσει καὶ ὑποστύφουσα. τεθεῖσα δὲ ἐπὶ ἀνθράκων μετ᾽ εὐωδίας καὶ δίχα καπνοῦ ἐκθυμιωμένη. ἡ δὲ πρόσφατος διὰ τὴν λιπαρείαν, ἀνάπτεται πυρὶ προσενεχθεῖσα. τριφθεῖσα δὲ ἐπ᾽ ἀκόνης, ὑπόκιῤῥος γίνεται. ἔστι δέ τις καὶ ἰνδική, ἔχουσα διαφύσεις λευκὰς καὶ κιῤῥάς. καὶ σπίλους ὁμοίως πυκνούς. πλὴν βελτίων ἡ προτέρα. ἔνιοι δὲ τὰ σησάμινα ἢ ἀκάνθινα ξύλα ἐμφερῆ ὄντα, ἀντὶ ἐβένου πωλοῦσι. διαγινώσκεται δὲ ἐκ τοῦ χαῦνά τε εἶναι, καὶ κατὰ σχίδακας μικρὰς ἀπολύεσθαι, ἐμπορφύρους τῷ χρώματι. μηδὲν δὲ δηκτικὸν ἔχειν ἐν τῇ γεύσει, ἢ ἐν τῇ θυμιάσει εὐῶδες. δύναμιν δὲ ἔχει, σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις. ἀνδρικῶς δὲ ποιεῖ καὶ πρὸς τὰ παλαιὰ ῥεύματα καὶ φλυκτίδας, εἰ δέ τις

ποιήσας δὲ αὐτοῦ ἀκόνιον χρῶ τῷ εἰς τὰ κολλύρια, βέλτιον ἐνθήσει. κατεργάζεται δὲ εἰς τὰ ὀφθαλμικὰ τῶν χρησιμωτάτων ἢ ῥινημάτων, βρεχομένων ἐν οἴνῳ χίῳ ἡμέρας καὶ νύκτα. ἔπειτα λειουμένων ἐπιμελῶς καὶ εἰς κολλύρια ἀναπλασσομένων. ἔνιοι δὲ προσφίγξαντες ἑψοῦσιν αὐτά. εἶθ' οὕτω τὰ λοιπὰ ποιοῦσι. τινὲς δὲ ἀντὶ οἴνου ὕδατι χρῶνται. καίεται δὲ ἐν ὠμῇ χύτρᾳ ἕως ἂν ἀνθρακωθῇ. καὶ πλύνεται ὡς ὁ κεκαυμένος μόλυβδος. ἁρμόζει δὲ τὸ τοιοῦτον πρὸς ξηροφθαλμίας.

## Περὶ ῥόδων. κεφ. ρλα.

Ῥόδον ἢ ῥόδεα. ῥωμαῖοι ῥόσα. ψύχει καὶ στύφει. τὰ δὲ ξηρὰ μᾶλλον στύφει. χυλίζειν δὲ δεῖ τὰ ἁπαλὰ ἀποψαλίσαντας τὸν ὄνυχα καλούμενον. ὅπερ ἐστὶ τὸ λευκὸν τὸ ἐν τῷ φύλλῳ. τὸ δὲ λοιπὸν ἐκθλίβειν καὶ τρίβειν ἐν σκιᾷ ἐν θυίᾳ ἄχρι συστραφῇ. οὕτω τε ἀποτίθεσθαι εἰς τὰς ὀφθαλμικὰς ἐγχρίσεις. ξηραίνεται δὲ τὰ φύλλα ἐν σκιᾷ συνεχῶς στρεφόμενα ἵνα μὴ εὐρωτιάσῃ. ποιεῖ δὲ τῶν ξηρῶν ἑψηθέντων ἐν οἴνῳ τὸ ἀπόθλιμμα, πρὸς ἀλγήματα κεφαλῆς, ὀφθαλμῶν. ὤτων. οὔλων. δακτύλου. ἀπευθυσμένου ἐντέρου. μήτρας πτερῷ ἐγχριόμενον καὶ προσκλυζόμενον. αὐτὰ δὲ δίχα τοῦ ἐκθλιβῆναι, κοπέντα καὶ καταπλασσόμενα, ποιεῖ πρὸς ὑποχονδρίων φλεγμονάς, καὶ στομάχου πλαδῶντα καὶ ἐρυσιπέλατα. ξηρὰ δὲ λεῖα τριβόμενα μηροῖς προσπάσσεται. καὶ ἀνθηραῖς ταῖς θαυματικαῖς ἀντιδότοις μίγνυται. καίεται δὲ καὶ εἰς καλλιβλέφαρα. τὸ δὲ ἐν μέσοις τοῖς ῥόδοις εὑρισκόμενον ἄνθος πρὸς οὔλων ῥευματισμοὺς ξηρὸν προσπασθὲν ποιεῖ. αἱ κεφαλαὶ δὲ ποθεῖσαι, κοιλίαν ῥέουσαν καὶ αἵματος ἀναγωγὴν ἐπέχουσιν.

## Περὶ ῥοδίδων. κεφ. ρλβ.

Καὶ αἱ λεγόμεναι δὲ ῥοδίδες, σκευάζονται τὸν τρόπον τοῦτον. ῥόδων χλωρῶν ἀβρόχων μεμαρασμένων < μ΄. νάρδου ἰνδικῆς < ι΄. σμύρνης < ϛ΄. λεῖα ἀναπλάσσεται εἰς τροχίσκους τριωβολιαίους. καὶ ἐν σκιᾷ ξηραίνεται. καὶ ἀποτίθεται εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον περιεσφηνωμένον. ἔνιοι δὲ προστιθέασι καὶ κόστου < β΄. ἴρεως ἰλλυρικῆς τὸ αὐτό μίσγοντες καὶ οἶνον χῖον μετὰ μέλιτος. χρῶνται δὲ αὐτοῖς αἱ γυναῖκες περιτιθέμεναι τῷ τραχήλῳ ἀντὶ ὅρμων. ἀμβλύνουσαι τὴν τῶν ἱδρώτων δυσωδίαν. χρῶνται δὲ καὶ λείαις, ἐν διαπάσμασι καὶ συγχρίσμασι μετὰ τὸ λουτρόν. καὶ μετὰ τὸ ξηρανθῆναι, ἀποπλύνονται ψυχρῷ.

## Περὶ λυκίου. κεφ. ρλγ.

Λύκιον. ὃ ἔνιοι πυξάκανθαν καλοῦσι, δένδρον ἐστὶν ἀκανθῶδες. ῥάβδους ἔχον τριπήχεις ἢ καὶ μείζονας. περὶ ἃς τὰ φύλλα πύξῳ ὅμοια πυκνά. καρπὸν δὲ ἔχει ὡς πέπερι, μέλανα. πικρόν. πυκνόν. λεῖον. καὶ τὸν φλοιὸν δὲ ὠχρόν. ὅμοιον τῷ διεθέντι λυκίῳ. ῥίζας δὲ πολλάς, πλαγίας. ξυλώδεις. φύεται δὲ πλεῖστον ἐν καππαδοκίᾳ καὶ λυκίᾳ. καὶ ἐν ἄλλοις τόποις πολλοῖς. τραχέα δὲ φιλεῖ χωρία. χυλίζεται δὲ, τῶν ῥιζῶν σὺν τοῖς θάμνοις θλασθέντων καὶ βραχέντων, ἐφ' ἱκανὰς ἡμέρας. εἶθ' ἑψηθέντων. καὶ τῶν μὲν ξύλων ἐκριπτομένων, τοῦ δὲ ὑγροῦ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. δολοῦται δὲ ἀμόργης τῇ ἑψήσει ἀναμισγομένης, ἢ ἀψινθίου χυλίσματι. ἢ βοείᾳ χολῇ. καὶ τὸ μὲν ἐπινηχόμενον ἀφρῶδες ἐν τῇ ἑψήσει ἀφελὼν, ἀπόθου εἰς τὰ ὀφθαλμικά. τῷ δὲ λοιπῷ εἰς τὰ ἄλλα χρῶ. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ ὁμοίως χύλισμα ἐκπιεζομένου καὶ ἡλιαζομένου. ἔστι δὲ κάλλιστον τὸ καιόμενον λύκιον. καὶ κατὰ τὴν σβέσιν τὸν ἀφρὸν ἐνερευθῆ ἔχον. ἔξωθεν μέλαν. διαιρεθὲν δὲ κιρρόν. ἄβρωμον. στῦφον μετὰ πι

κρίας

κείας. χρώματι κροκῶδες οἷον ἐστὶ τὸ ἰνδικόν. διαφέρον τοῦ λοιποῦ καὶ δυναμικώτε-
ρον. δύναμιν δ' ἔχει στυπτικήν. καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καθαίρει. ψωριάσεις
δὲ τὰς ἐπὶ τῶν βλεφάρων, καὶ κνισμοὺς καὶ παλαιὰ ῥεύματα θεραπεύει. ποιεῖ δὲ καὶ
πρὸς ὦτα πυορροοῦντα. παρίσθμια. οὖλα ἑλκούμενα καὶ διερρωγότα χείλη. ῥαγάδας
ἐν δακτυλίοις. παρατρίμματα ἐπιχριόμενον. ἁρμόζει καὶ κοιλιακοῖς καὶ δυσεντε-
ρικοῖς, πινόμενον καὶ ἐγκλυζόμενον. δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς καὶ βήττουσι σὺν
ὕδατι. καὶ τοῖς ὑπὸ λυσσῶντος κυνὸς δηχθεῖσιν. ἐν καταποτίῳ ἢ σὺν ὕδατι ποτόν. ξαν-
θίζει τε καὶ τρίχας. παρωνυχίας τε καὶ ἕρπητας. καὶ σηπεδόνας ἰᾶται. ἵστησι καὶ ῥοῦν
γυναικεῖον προστιθέμενον. βοηθεῖ δὲ καὶ λυσσοδήκτοις ποσὶν μετὰ μέλιτος. ἢ αὐτίκα
τοῦ ποτίου λαμβανόμενον. λέγεται δὲ τὸ ἰνδικὸν λύκιον γίνεσθαι ἐκ θάμνου, τοῦ λεγο-
μένου λογχίτιδος. ἔστι δὲ εἶδος ἀκάνθης. ῥάβδους ἔχουσα ὀρθάς. τριπήχεις ἢ καὶ μεί-
ζους πολλὰς ἀπὸ τοῦ πυθμένος. παχυτέρας βάτου. φλοιὸς ῥαγεὶς ἐνερευθής. τὰ δὲ φύλ-
λα ὅμοια ἐλαίας. ἡ πόα ἐν ὄξει ἑψηθεῖσα καὶ ποτιζομένη, ἱστορεῖται φλεγμονὰς σπλη-
νὸς καὶ ἴκτερον ἰᾶσθαι. καὶ καθάρσεις γυναικείας ἄγειν. καὶ ὠμὴ δὲ λεῖα ποθεῖσα, τὰ αὐ-
τὰ ποιεῖν παραδίδοται. τοῦ δὲ σπέρματος μύστρα δύο ποθέντα, ὑδατώδη καθαίρειν καὶ
θανασίμοις βοηθεῖν.

Περὶ ἀκακίας. κεφ. ρλδ.

Ἀκακία φύεται ἐν αἰγύπτῳ. ἄκανθα δὲ ἐστι δενδρώδης. θαμνοειδής. οὐκ ὀρθοφυής. ἄν-
θος ἔχουσα λευκόν. τὸν δὲ καρπὸν ὥσπερ θέρμοι ἐν λοβοῖς κείμενον. ἐξ οὗ καὶ ἐκθλί-
βεται τὸ ἐγχύλισμα ξηραινόμενον ἐν σκιᾷ. μέλαν μὲν ἐκ τοῦ πεπείρου καρποῦ. ὑπό-
κιρρον δὲ ἐκ τοῦ ὠμοῦ. ἐκλέγου δὲ τὸ ὑπόκιρρον, εὐῶδες, ὡς ἐν ἀκακίᾳ. χυλί-
ζουσι δέ τινες τὰ φύλλα σὺν τῷ καρπῷ. καὶ κόμμι δὲ ἐκ τῆς ἀκάνθης γεννᾶται. δύ-
ναμιν δὲ ἔχει στυπτικήν. ψυκτικήν. ἁρμόζει δὲ ὁ χυλὸς πρὸς τὰ ὀφθαλμικὰ καὶ ἐ-
ρυσιπέλατα. ἕρπητας. χιμέθλας. πτερύγια. τὰ ἐν τῷ στόματι ἕλκη. καὶ προπτώσεις τῶν
ὀφθαλμῶν καθίστησιν. ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον. καὶ τὰς προπτώσεις δὲ τῆς ὑστέ-
ρας στέλλει. κοιλίας τε ῥεούσας ἐπέχει πινόμενος καὶ ἐγκλυζόμενος. μελαίνει δὲ καὶ
τρίχας. πλύνεται δὲ καὶ εἰς τὰ ὀφθαλμικά. τριβομένου μεθ' ὕδατος. ἀποχεομέ-
νου τοῦ ἐπιπολῆς, ἄχρις ἂν καθαρὸν ἐφιστῆται τὸ ὕδωρ. καὶ οὕτως ἀναλαμβάνεται
εἰς τροχίσκους. καίεται δὲ ἐν ὠμῇ χύτρᾳ μετὰ κεράμου ἐν καμίνῳ. ὀπτᾶται δὲ ἐ-
πὶ ἀνθράκων ἐκφυσωμένη. τὸ δὲ τῆς ἀκάνθης ἀφέψημα καταντλούμενον, ἄρθρα λελυ-
μένα ἵστησι. τὸ δὲ κόμμι τῆς ἀκάνθης διαφέρει τὸ σκωληκοειδές, ὑαλίζον. διαυγές. ἀ-
ξυλον. εἶτα τὸ λευκόν. τὸ δὲ ῥητινῶδες καὶ ῥυπαρόν, ἄχρηστον. δύναμιν δὲ ἔχει ἐμ-
πλαστικήν. ἀμβλυντικήν, δριμέων φαρμάκων οἷς μίγνυται. πυρίκαυτά τε οὐκ ἐᾷ
φλυκταινοῦσθαι καταχριόμενον μετ' ᾠοῦ.

ἄλλο. κεφ. ρλε.

Φύεται δὲ καὶ ἑτέρα ἀκακία ἐν καππαδοκίᾳ καὶ πόντῳ. παρεμφέρουσα τῇ αἰγυπτίᾳ.
ἐλάττων μέντοι παρὰ πολὺ καὶ χαμαίζηλος. καὶ τρυφερωτέρα. περιπλέξεως δὲ ἀκάν-
θης σκολοπώδους. φύλλα ἔχουσα πηγάνῳ ὅμοια. τῷ δὲ φθινοπώρῳ φέρει σπέρμα ἐν
θυλακίοις συνεζευγμένοις. τριχώροις ἢ τετραχώροις. ἔλαττον φακοῦ. στύφει δὲ καὶ αὐτὴ
χυλιζομένη σύμμετρα. πολὺ ἥττων τῇ δυνάμει καθέστηκεν. εἰς τὰ ὀφθαλμικὰ ἀνεπι-
τήδειος οὖσα.

Περὶ ἀμόργης. κεφ. ρλϛ.

Ἀμόργη, ὑποστάθμη ἐστὶν ἐλαίας τῆς ἐκθλιβομένης. ἥτις ἑψηθεῖσα ἐν χαλκῷ κυπρίῳ με-

χρι μελιτώδους συστάσεως, σύφει. ποιοῦσι πρὸς ἃ καὶ τὸ λύκιον. ἐκ περιττοῦ δὲ καὶ πρὸς ὀδονταλγίας καὶ τραύματα. ἐγχριομένη μετὰ ὄξους ἢ οἴνου ἢ οἰνομέλιτος. μίσγονται δὲ καὶ ὀφθαλμικαῖς δυνάμεσι καὶ ἐμπλαστικαῖς. παλαιουμένη δὲ βελτίων γίνεται. ἔγκλυσμά τε ἕδρας καὶ αἰδοίων καὶ μήτρας ἑλκουμέναις ἐστὶ χρήσιμος. ἐκβάλλει δὲ καὶ τοὺς ἐφθαρμένους ὀδόντας σὺν ὀμφακίνῳ ἑψηθεῖσα ἄχρι μελιτώδους συστάσεως. καὶ περιπλασθεῖσα. ψώρας τε κτηνῶν σὺν θερμῷ ἀφεψήματι καὶ χαμαιλέοντι καταχριομένη θεραπεύει. ἡ δὲ ἀνέψητος καὶ πρόσφατος, ποδαγρικοὺς καὶ ἀρθριτικοὺς ὠφελεῖ θερμὴ καταπλασθεῖσα. ἐγχριομένη δὲ εἰς κώδιον καὶ ἐπιτιθεμένη ἐπὶ τῶν ὑδρωπικῶν, στέλλει τὸν ὄγκον.

## Περὶ ἄγνου. κεφ. ρλζ.

Ἄγνος. οἱ δὲ ἄγονον. οἱ δὲ, λύγον. οἱ δὲ, ἀμικτομίαινον. οἱ δὲ, τριδάκτυλον. προφῆται σεμνόν. οἱ δὲ, αἷμα ἴβεως. αἰγύπτιοι σούμ. ῥωμαῖοι σάλιξ μαρῖνα. οἱ δὲ, πιπέραγρεστε. οἱ δὲ, λεκέστικομ. Ἄγνος ἢ λύγος. θάμνος ἐστὶ δενδρώδης. παρὰ ποταμοῖς τραχέσι τόποις καὶ χαράδραις φυόμενος. ῥάβδους ἔχων δυσθραύστους. μακράς. φύλλα δὲ ὥσπερ ἐλαίας. ἁπαλώτερα δέ. τὸ δὲ ἄνθος ὁ μέν τις λευκὸν σὺν ὑποπορφυρίζοντι. ὁ δὲ, πορφυροῦν φέρει. σπέρμα δὲ ὡς πέπερι. δύναμιν δὲ ἔχει θερμαντικὴν. στυπτικήν. ὁ δὲ καρπὸς αὐτῆς πινόμενος, βοηθεῖ θηριοδήκτοις. σπληνικοῖς. ὑδρωπικοῖς. κατασπᾷ δὲ καὶ γάλα. καὶ ἔμμηνα ἄγει πινόμενος ὅσον < α πλῆθος σὺν οἴνῳ. ἐκλύει δὲ καὶ κοιλίαν. ἅπτεται δὲ καὶ κεφαλῆς κάρον ἐπιφέρων. τὸ δὲ ἀφέψημα τῆς πόας καὶ τοῦ σπέρματος, εἰς ἐγκαθίσματα ταῖς περὶ ὑστέραν διαθέσεσι καὶ φλεγμοναῖς ἀρήγει. ποθὲν δὲ μετὰ γλήχωνος καὶ ὑποθυμιαθὲν τὸ σπέρμα ἢ προστεθὲν, καθαρτικόν ἐστι. λύει δὲ καὶ κεφαλαλγίας καταπλασσόμενον. καὶ ἐπὶ ληθαργικῶν τε καὶ φρενιτικῶν ἐμβρέχεται σὺν ὄξει καὶ ἐλαίῳ. καὶ τὰ φύλλα ὑποθυμιώμενά τε καὶ ὑποστρωννύμενα, θηρία διώκει. καὶ καταπλασσόμενα ἐπὶ τῶν θηριοδήκτων βοηθεῖ. σκληρίας τε διδύμων μετὰ βουτύρου καὶ φύλλων ἀμπέλου μαλάττει. ῥαγάδας τε τὰς ἐν δακτυλίῳ σὺν ὕδατι ἐπιπλασθὲν τὸ σπέρμα πραΰνει. σὺν δὲ τοῖς φύλλοις, στρέμματα, τραύματα ἰᾶται. δοκεῖ δὲ καὶ κωλυτήριον εἶναι ἐν ὁδοιπορείαις παρατριμμάτων. εἴ τις ῥάβδον αὐτῆς παρὰ χεῖρα κρατοίη. ὠνόμασται δὲ ἄγνος, διὰ τὸ ἐν τοῖς θεσμοφορίοις ἁγνευούσας γυναῖκας, εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ. λύγος δὲ διὰ τὸ περὶ τὰς ῥάβδους αὐτῆς εὔλυγον.

## Περὶ ἰτέας. κεφ. ρλη.

Ἰτέα δένδρον ἐστὶ πᾶσι γνώριμον. οὗ ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ὁ φλοιὸς καὶ ὁ χυλὸς, στυπτικὴν ἔχει δύναμιν. ἁρμόζει δὲ τὰ φύλλα λεῖα μετὰ ὀλίγου πεπέρεως καὶ οἴνου ποθέντα εἰλεώδεσι. καθ' ἑαυτὰ δὲ σὺν ὕδατι ληφθέντα, ἀσυλληψίαν κατεργάζεται. ὁ δὲ καρπὸς ποθεὶς, αἱμοπτοϊκοὺς ὠφελεῖ. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ δρᾷ. καεὶς δὲ καὶ φυραθεὶς ὄξει, τύλους καὶ ἥλους αἴρει καταπλασθείς. ὁ δὲ ἐκ τῶν φύλλων καὶ τοῦ φλοιοῦ χυλὸς, ἐν κελύφει ῥόας θερμανθεὶς μετὰ ῥοδίνου, ὠταλγίας ἀρήγει. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν, κατάντλημα ποδάγρας ἄριστον. σμήχει δὲ καὶ πίτυρα. λαμβάνεται δὲ καὶ ὀπὸς ἐξ αὐτῆς ἐντεμνομένου τοῦ φλοιοῦ κατὰ τὴν ἄνθησιν. ἔσω γὰρ εὑρίσκεται συνεστώς. δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις.

## Περὶ ἀγριελαίας. κεφ. ρλθ.

Ἀγριελαία ἣν ἔνιοι κότινον καλοῦσιν. οἱ δὲ, αἰθιοπικὴν ἐλαίαν, ἔχει φύλλα στυπτικά. λεῖα δὲ καταπλασθέντα, ἐφεκτικά ἐστιν ἐρυσιπελάτων. ἑρπήτων. ἐπινυκτίδων. ἀνθρά-

κων

κων. νομῶν. περιωνυχιῶν. περὶ χαρακτικὰ ἑλκῶν· σὺν μέλιτι καταπλασσόμενα· ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ ἕλκη. διαφορεῖ καὶ φύγεθλα καὶ φλεγμονάς, σὺν μέλιτι καταπλασθέντα. καὶ δέρμα κεφαλῆς ἀποσπασθὲν, περικολλᾷ. ἰᾶται δὲ καὶ τὰ ἐν στόματι ἕλκη καὶ ἄφθας διαμασσηθέντα. καὶ ὁ χυλὸς δὲ αὐτῶν καὶ τὸ ἀφέψημα, τὸ αὐτὸ ποιεῖ. ἐπέχει δὲ καὶ αἱμορραγίας. καὶ ῥοῦν γυναικεῖον προστιθέμενος ὁ χυλός. καὶ τὰ ἐν ὀφθαλμοῖς σταφυλώματα. καὶ φλυκταίνας. ἔτι δὲ ἕλκη καὶ παλαιὰ ῥεύματα στέλλει. διὸ καὶ μίγνυται κολλυρίοις πρὸς τὰς τῶν βλεφάρων διαβρώσεις εὐθετεῖ. χυλίζοντας δὲ δεῖ κόπτειν τὰ φύλλα. καὶ περιχέοντας οἶνον ἢ ὕδωρ ἐκθλίβειν. καὶ ξηράναντας ἐν ἡλίῳ ἀναπλάσσειν. ἔστι δὲ εὐτονώτερος, ὁ διὰ τοῦ οἴνου ἐκθλιβόμενος. καὶ εἰς ἀπόθεσιν μᾶλλον, τοῦ δι' ὕδατος. ποιεῖ δὲ καὶ πρὸς ὦτα πυορροοῦντα καὶ ἑλκούμενα. τὰ δὲ φύλλα καὶ τοῖς κοιλιακοῖς εὐθετεῖ καταπλασσόμενα σὺν ὠμῇ λύσει. καίεται δὲ τὰ φύλλα μετὰ τῶν ἀνθῶν. καὶ ἀντὶ σποδίου λαμβάνεται ἐν χύτρᾳ ὠμῇ. περιπλασσομένης πηλῷ τὸ στόμα μέχρις ὀπτήσεως τοῦ κεράμου. ἔπειτα κατασβέννυται οἴνῳ. καὶ φυραθέντα πάλιν οἴνῳ, ὁμοίως καίεται. εἶτα πλύνεται ὡς τὸ ψιμμύθιον καὶ ἀναπλάσσεται. δοκεῖ δὲ ἡ τοιαύτη καῦσις, μὴ λείπεσθαι τοῦ σποδίου εἰς τὰ ὀφθαλμικά. ὅθεν καὶ τὴν δύναμιν ὁμοίως ἐκληπτέον. δύναται δὲ τὰ αὐτὰ καὶ τὰ τῆς ἡμέρου ἐλαίας φύλλα. λείπεται δὲ τῇ δυνάμει. ὅθεν πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον ἁρμόζει διὰ τὸ ἠπιώτερον. τὸ δὲ ἐκ χλωροῦ τοῦ ξύλου καιομένου ἐκκρινόμενον ὑγρὸν, πίτυρα καὶ ψώρας καὶ λειχῆνας καταχριόμενον ἰᾶται. καὶ ὁ καρπὸς δὲ αὐτῶν καταπλασθεὶς, πίτυρα καὶ νομὰς θεραπεύει. τὸ δὲ ἐντὸς τοῦ πυρῆνος μετὰ στέατος καὶ ἀλεύρου, λεπροὺς ὄνυχας ἐκτινάσσει.

## Περὶ κολυμβάδων ἐλαιῶν. κεφ. ρμ.

Ἐλαῖαι κολυμβάδες λεῖαι καταπλασθεῖσαι, πυρίκαυτα οὐκ ἐῶσι φλυκταινοῦσθαι. καὶ ῥυπαρὰ δὲ ἕλκη καθαίρουσιν. ὁ δὲ ἐκ τῆς ἅλμης χυλὸς αὐτῶν διακλυζόμενος, οὖλα στέλλει. καὶ ὀδόντας σειομένους κρατύνει. ἔστι δὲ ἡ μὲν ὑπόκιρρος καὶ πρόσφατος ἐλαία, δυσκοίλιος. εὐστόμαχος. ἡ δὲ μέλαινα καὶ πέπειρος, εὔφθαρτος καὶ κακοστόμαχος. ὀφθαλμοῖς τε ἀνεπιτήδειος καὶ κεφαλαλγής. φρυγεῖσα δὲ καὶ καταπλασθεῖσα, νομὰς ἵστησι. καὶ ἄνθρακας περιρρήσσει.

## Περὶ ἐλαίου ἀγρίας ἐλαίας. κεφ. ρμα.

Τὸ δὲ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον, διάκλυσμα οὔλοις πλαδῶσι. καὶ σταλτικὸν ὑποσαλων ὀδόντων ἐστί. πυρία τε δι' αὐτοῦ θερμαινομένου καὶ διακλυζομένου. ἐπιτήδειος οὔλοις ῥευματιζομένοις. δεῖ δὲ ἔριον μηλωτῇ περιτιθέντας, ἀποβάπτειν εἰς τὸ ἔλαιον. καὶ προσάπτεσθαι τοῖς οὔλοις, ἄχρις ἂν λευκὰ φανῇ.

## Περὶ δακρύου ἐλαίας αἰθιοπικῆς. κεφ. ρμβ.

Τὸ δὲ δάκρυον τῆς αἰθιοπικῆς ἐλαίας, ἔοικέ πως σκαμμωνίᾳ. ἔγκιρρον. ἐκ μικρῶν σταγόνων συγκείμενον. δηκτικόν. τὸ δὲ ὅμοιον κόμμι καὶ ἀμμωνιακῷ, μελανίζον καὶ οὐ δηκτικὸν, ἄχρηστον. φέρει δὲ τὸ τοιοῦτον καὶ ἡ ἥμερος ἐλαία. καὶ ἡ ἀγριελαία. ποιεῖ δὲ πρὸς ἀμβλυωπίας καὶ οὐλὰς καὶ λευκώματα ἐγχριόμενον σμήχει. οὖρά τε ἔμμηνα κινεῖ. καὶ πρὸς ὀδόντων πόνους ἐνεργεῖ. ἐντιθέμενον εἰς τὸ βρῶμα. ἀναγράφεται δὲ καὶ ἐν τοῖς φθαρτικοῖς. ἄγει δὲ καὶ ἔμβρυα καὶ λειχῆνας θεραπεύει. καὶ λέπρας. καλεῖται δὲ αἰθιοπικὴ ἐλαία καὶ ἀγριελαία.

## Περὶ δρυός. κεφ. ρμγ.

Δρῦς πᾶσα στυπτικὴν ἔχει δύναμιν. μάλιστα δὲ αὐτῆς στύφει τὸ μεταξὺ τοῦ φλοιοῦ καὶ τοῦ

πρεμένου ὑμενοειδές. ὁμοίως καὶ τὸ περὶ τῇ βαλάνῳ ὑπὸ τὸ κέλυφος. δίδοται δὲ τὸ ἀφέψημα αὐτῶν, κοιλιακοῖς καὶ δυσεντερικοῖς. καὶ αἱμοπτυικοῖς. καὶ ἐν πεσσοῖς λεῖον προστίθεται ῥοϊκαῖς γυναιξίν.

Περὶ βαλάνων. κεφ. ρμϛ.

Καὶ αἱ βάλανοι δὲ τὰ αὐτὰ ποιοῦσιν. εἰσὶ δὲ καὶ οὐρητικαί. καὶ κεφαλαλγεῖς, βιβρωσκόμεναι, καὶ πνευματοῦσαι. ἁρμόζουσι δὲ πρὸς τὰ ἰοβόλα ἐσθιόμεναι. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καὶ τοῦ φλοιοῦ, βοηθεῖ τοξικῷ μετὰ γάλακτος βοείου πινόμενον. ὠμαὶ δὲ καταπλασθεῖσαι λεῖαι, φλεγμονὰς παρηγοροῦσι. σὺν στέατι δὲ χοιρείῳ ταριχηρῷ, πρὸς κακοήθεις σκληρίας, καὶ πρὸς κακοηθούμενα ἕλκη ἁρμόζουσιν. ἰσχυρότεραι δὲ τῶν δρυΐνων αἱ πρίνιναι τῇ δυνάμει εἰσίν.

Περὶ φηγοῦ καὶ πρίνου. κεφ. ρμζ.

Καὶ ἡ φηγὸς καὶ ἡ πρίνος εἴδη ὄντα δρυὸς, ἐοικότα ἐνεργεῖ. ἡ ῥίζα δὲ τοῦ πρίνου ὁ φλοιὸς ἑψηθεὶς σὺν ὕδατι ἄχρις οὗ τακερὸς γένηται, καὶ καταπλασθεὶς νύκτα ὅλην, τρίχας μελαίνει προαπορρυφθείσας κιμωλίᾳ γῇ. ἁρμόζει δὲ τὰ φύλλα πάντων, κοπέντα λεῖα οἰδήμασι. καὶ τὰ ἄτονα δὲ μέρη κρατύνει.

Περὶ καστάνων. κεφ. ρμη.

Αἱ δὲ σαρδιαναὶ βάλανοι, ἅς τινες λόπιμα ἢ κάστανα καλοῦσιν, ἢ μόται ἢ διὸς βαλάνους, στύφουσι καὶ αὐταὶ, τῶν ὁμοίων εἰσὶ δραστικαί. καὶ μάλιστα οἱ μεταξὺ τῆς σαρκὸς καὶ τοῦ λέπους φλοιοί. ἡ δὲ σὰρξ καὶ τοῖς ἐφήμερον πεπωκόσιν, ἁρμόζει.

Περὶ κηκίδων. κεφ. ρμθ.

Κηκὶς καρπός ἐστι δρυός. ἡ μέν τις ὀμφακῖτις καλεῖται μικρὰ καὶ κονδυλώδης. στιβαρὰ. ἀτρύπητος. ἡ δέ τις λεία καὶ κούφη καὶ τετρημένη. ἐκλέγεσθαι δὲ δεῖ τὴν ὀμφακῖτιν. ἐνεργεστέραν οὖσαν. ἀμφότεραι δὲ στύφουσιν ἱκανῶς καὶ στέλλουσι λεῖαι τὰς ὑπερσαρκώσεις. ῥευματισμούς τε οὔλων καὶ κιονίδος. καὶ τὰς ἐν στόματι ἄφθας. τὸ δὲ μέσον αὐτῶν, βρώματι ὀδόντων ἐντεθὲν, παύει τὰς ὀδύνας. γίνονταί τε καὶ ἴσχαιμοι καεῖσαι ἐπ' ἀνθράκων μέχρι πυρώσεως, καὶ κατασβεσθεῖσαι ἢ οἴνῳ ἢ ὄξει ἢ ὀξάλμῃ. τὸ δὲ ἀπόζεμα αὐτῶν ποιεῖ καὶ πρὸς ἐγκαθίσματα. προπτώσεις, ὑστέρας, καὶ ῥευματισμούς. μελαίνουσι δὲ καὶ τρίχας, ἀποβραχεῖσαι ὄξει ἢ ὕδατι. ἁρμόζουσι δὲ καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς καταπλαττόμεναι οἴνῳ ἢ ὕδατι λεῖαι καὶ πινόμεναι. τοῖς τε προσφήμασι μισγόμεναι ἢ προαφεψόμεναι ὅλαι ἐν τῷ ὕδατι. εἰς ὃ μέλλει τις ἑψεῖν τῶν ἁρμοζόντων πρὸς αὐτούς. καὶ καθόλου ὅπου δεῖ στύψαι ἢ ἀναξηρᾶναι, παραλαμβάνεσθαι δεῖ τὴν χρῆσιν αὐτῶν.

Περὶ ῥοός. κεφ. ρν.

Ῥοῦς ὁ ἐπὶ τὰ ὄψα. ὃν ἔνιοι ἐρυθρὸν καλοῦσι, καρπός ἐστι τῆς καλουμένης βυρσοδεψικῆς ῥοός. ἡ τῆς ὀνομασίας αἰτία ἐκ τοῦ τοὺς βυρσοδέψας αὐτῇ χρῆσθαι, εἰς τὴν στύψιν τῶν δερμάτων. ἔστι δὲ δενδρύφιον φυόμενον ἐν πέτραις ὡς δίπηχυ. ἔχον φύλλα παραμήκη. ὑπέρυθρα. τὴν περιφέρειαν ἐντετμημένα πριονοειδῶς. καρπὸν δὲ βοτρυοειδῆ ἐοικότα. πυκνὸν. κατὰ τὸ μέγεθος τερεβίνθου. ὑπόπλατυν. οὗ τὸ περικείμενον φλοιῶδες, ἐστὶν εὔχρηστον. δύναμιν δὲ ἔχει τὰ φύλλα, στυπτικήν. ποιοῦσαν πρὸς ἃ καὶ ἡ ἀκακία. μελαίνει δὲ τρίχας τὸ ἀφέψημα. δυσεντερίαις τε ἐστὶν ἔγκλυσμα. καὶ πόμα. καὶ ἐγκάθισμα. καὶ ὤτων πυορροούντων ἔγκλυσμα. πτερύγιά τε καὶ γαγγραίνας ἐπέχει καταπλασσόμενα τὰ φύλλα, μετ' ὄξους ἢ μέλιτος. καὶ τὸ χύλισμα δὲ τῶν φύλλων ξηρῶν ἑψομένων σὺν ὕδατι ὥσπερ τὸ λύκιον ἄχρι συστάσεως μελιτώδους, ἁρμόζει πρὸς

ὅσα

ὅσα καὶ τὸ λύκιον. καὶ ὁ καρπὸς δὲ τὰ αὐτὰ ποιεῖ. ἁρμόζων ἐν προσθέμασι κοιλιακοῖς. δυσεντερικοῖς. ἀφλέγμαντά τε τηρεῖ σὺν ὕδατι καταπλασθείς. θλάσματα ἀποσύρματα. πελιώματα. γλώσσης τε τραχύτητας σμήχει σὺν μέλιτι καὶ λευκὸν ῥοῦν ἵστησιν. αἱμορροΐδας τε θεραπεύει μετὰ δρυΐνου ἄνθρακος λείου ἐπιτιθέμενος. καὶ τούτου δὲ τὸ ἀπόβρεγμα ἑψόμενον, συνίσταται. βέλτιόν πως τοῦ καρποῦ ποιοῦν. φέρει δὲ καὶ κόμμι ὅπερ ἐντίθεται τοῖς βρώμασι τῶν ὀδόντων πρὸς ἀπονίας.

Περὶ φοίνικος. κεφάλαιον. ρια.

Φοῖνιξ ἐν Αἰγύπτῳ γίνεται. τρυγᾶται δὲ μεσοπορούσης σχεδὸν κατὰ τὴν ὀπώραν ἀκμῆς. παρεμφερὴς τῇ ἀραβικῇ μυροβαλάνῳ. πῶμα δὲ λέγεται. χλωρὸς τὸ χρῶμα. ἐμφερὴς κυδωνίῳ κατὰ τὴν ὀσμήν. εἰ δὲ ἀφεψηθείη πεπαινόμενος, γίνεται φοινικοβάλανος. ἔστι δὲ στρυφνός. στυπτικός. πινόμενος σὺν οἴνῳ αὐστηρῷ πρὸς διαρροίας καὶ ῥοῦν γυναικεῖον. ἵστησι δὲ καὶ αἱμορροΐδας. καὶ τραύματα πολλὰ καταπλασθεῖσα. αἱ δὲ φοινικοβάλανοι, στυπτικώτεραι τυγχάνουσι τῶν ξηρῶν. κεφαλαλγεῖς δέ εἰσι καὶ πλείονες βρωθεῖσαι μεθύσκουσιν. αἱ δὲ ξηραὶ ὠφελοῦσι βιβρωσκόμεναι αἱμοπτυϊκούς. στομαχικούς. δυσεντερικούς. καὶ τὰ περὶ κύστιν καταπλασσόμεναι λεῖαι μετὰ κυδωνίου καὶ κηρωτῆς οἰνανθίνης. μάλιστα ἡ ἀκρατὴς πολλάκις ἐσθιόμεναι, ἀρτηριῶν τραχύτητας ἰῶνται.

Περὶ φοινίκων θηβαϊκῶν. κεφά. ριβ.

Τῶν δὲ θηβαϊκῶν τὸ ἀφέψημα ποθέν, παύει καύσωνα. καὶ τὰς δυνάμεις ἀναλαμβάνει. μετὰ ὑδρομέλιτος παλαιοῦ λαμβανόμενον. καὶ αὗται βρωθεῖσαι, τὸ αὐτὸ ποιοῦσι. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτῶν τὸ αὐτὸ δυνάμενος τῷ καρπῷ. καὶ καθ' ἑαυτὸ ποθὲν τὸ ἀφέψημα αὐτῶν καὶ ἀναγαργαριζόμενον ἱκανῶς στύφει καὶ στέλλει. Οἱ δὲ πυρῆνες τῶν φοινίκων, καίονται ἐν ὠμῇ χύτρᾳ. καθάπερ καὶ τὰ ἄλλα πάντα. εἶτα σβεσθέντες οἴνῳ πλύνονται. καὶ ὡς ἀντὶ σποδοῦ εἰς τὰ καλλιβλέφαρα χρῶνται μόνοι. καὶ μὴ αὐτάρκως καῶσι, πάλιν τὸ αὐτὸ γίνεται. δύναμιν δὲ ἔχουσι στυπτικὴν παρεμπλαστικήν. ποιοῦσαι πρὸς τὰς ἐν ὀφθαλμοῖς φλυκτίδας. σταφυλώματα. μίλφας σὺν νάρδῳ. σὺν οἴνῳ δὲ στέλλουσι καὶ ὑπερσαρκώματα. καὶ ἀπουλοῦσιν ἕλκη. εὐθετοῦσι δὲ μάλιστα οἱ ἀπ' Αἰγύπτου. οἱ ἐκ τῶν χαμαιζήλων φοινίκων.

Περὶ φοίνικος ἐλάτης. κεφ. ριγ.

Φοῖνιξ ἣν ἔνιοι ἐλάτην ἢ σπάθην καλοῦσι, περικάλυμμά ἐστι τοῦ καρποῦ τῶν φοινίκων ἀκμὴν ἀνθούντων. χρῶνται δὲ αὐτῷ οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ αὐτῆς κρατίστη ἡ εὐώδης. στύφουσα. βαρεῖα. μεμυκυῖα. λιπαρὸν ἔχουσα τὸ ἐντός. δύναμιν δὲ ἔχει στυπτικήν. ἐφιστᾶσα τὰ νεμόμενα τῶν ἑλκῶν. χαλασμούς τε ἄρθρων συνάγει, λεία μαλάγμασι μιγεῖσα καὶ καταπλάσμασιν. ὠφελεῖ δὲ καὶ ὑποχόνδρια καὶ στόμαχον ἀτονοῦντα. καὶ ἠπατικὰς διαθέσεις. μιγνυμένη τοῖς ἁρμόζουσι τῶν καταπλασμάτων. μελαίνει δὲ καὶ τρίχας τὸ ἀφέψημα αὐτῆς σμηχόμενον συνεχῶς. ποτιζόμενον δὲ νεφριτικοῖς καὶ τοῖς περὶ κύστιν καὶ σπλάγχνα ἁρμόζει. κοιλίαν τε καὶ ὑστέρας ῥευματιζομένην ἵστησιν. ἁπαλὴ δὲ σὺν ῥητίνῃ καὶ κηρῷ ἐπιτεθεῖσα, καὶ ἐαθεῖσα ἡμέρας εἴκοσι, ψώρας ἰᾶται. καὶ ὁ περιεχόμενος δὲ ὑπ' αὐτῆς καρπός, ἐλάτη καλεῖται. ὑπ' ἐνίων δὲ βόρασσος. καὶ αὐτὸς στυπτικὸς ὢν τὰ αὐτὰ δρᾷ τῇ σπάθῃ. χωρὶς δὲ ἐν τοῖς μύροις εὐχρηστίας. καὶ τὸ ἐγκάρδιον δὲ τοῦ πρέμνου

λευκὸν καὶ αὐτό, πρόσφατον ἐσθιόμενον καὶ ἀφεψόμενον, ποιεῖ πρὸς ὅσα καὶ ὁ βού-ραος.

Περὶ ῥόας. κεφ. ρνδ.

Ῥόα πᾶσα εὔχυμος, εὐστόμαχος, ἄτροφος. τούτων μέντοι ἡ γλυκεῖα εὐστομαχωτέρα, θερμασίαν ποσὴν γεννῶσα περὶ στόμαχον. καὶ πνεύματος, ὅθεν ἐπὶ μὲν τῶν πυρεσσόντων ἐστὶν ἄθετος. ἡ δὲ ὀξεῖα καυσουμένῳ στομάχῳ βοηθεῖ. καὶ ἔστι σταλτικωτέρα καὶ οὐρητικωτέρα. ἄστομος δὲ καὶ στυπτική. ἡ δὲ οἰνώδης μέσην ἔχει δύναμιν. τῆς δὲ ὀξείας ὁ πυρὴν ξηρανθεὶς ἐν ἡλίῳ καὶ ἐπιπασσόμενος προσοψήμασι καὶ συνεψόμενος, κοιλίας καὶ στομάχου ῥεύματα ἵστησιν. ἀποβραχεὶς δὲ ἐν ὀμβρείῳ ὕδατι, αἱμοπτυικοὺς ὠφελεῖ πινόμενος. καὶ εἰς ἐγκαθίσματα δυσεντερικῶν καὶ ῥοϊκῶν ἁρμόζει. εὔχρηστον δὲ τὸ ἀπόθλιμμα τῶν πυρήνων ἑψηθὲν καὶ μιχθὲν μέλιτι, πρός τε τὰ ἐν στόματι καὶ αἰδοίῳ καὶ ἕδρᾳ ἕλκη, καὶ πτερύγια τὰ ἐν δακτύλοις, νομάς τε καὶ ὑπεροχὰς καὶ ὠταλγίας. καὶ τὰ ἐν μυκτῆρσι. καὶ μάλιστα τῆς ὀξείας.

Περὶ κυτίνων. κεφ. ρνε.

Τὰ δὲ ἄνθη αὐτῆς ἃ καὶ κύτινοι καλοῦνται, καὶ αὐτὰ στυπτικὰ καὶ ξηραντικὰ καὶ κατασταλτικά εἰσι καὶ ἐναίμων κολλητικά. ἁρμόζονται πρὸς ἃ καὶ ἡ ῥόα. τὸ δὲ ἀφέψημα αὐτῶν, οὔλων πλαδώντων καὶ ὀδόντων σειομένων διάκλυσμα. ἀνακόλλημά τε ἐν περοκηλικοῖς ἐν καταπλάσμασιν. ἱστοροῦσι δέ τινες, μὴ ὀφθαλμιᾶν τὸ ὅλον τὸ ἔτος τοὺς καταπιόντας τρεῖς κυτίνους, ὡς ὅτι ἐλαχίστους. χυλίζονται δὲ ὡς ἡ ὑποκιστίς.

Περὶ σιδίων. κεφ. ρνϛ.

Καὶ τὰ λέπη δὲ τῆς ῥόας ἅ τινες σίδια καλοῦσι στυπτικὴν ἔχοντα καὶ αὐτὰ δύναμιν, πρὸς ὅσα καὶ οἱ κύτινοι ἁρμόζουσι. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν, ἕλμινθας πλατείας ποιεῖ, ἐκτινάσσει καὶ ἀποκτείνει.

Περὶ βαλαυστίων. κεφ. ρνζ.

Βαλαύστιον ἐστὶν ἄνθος ἀγρίας ῥοιᾶς. εἴδη δὲ ἔστιν αὐτοῦ πλείονα. εὑρίσκεται γὰρ καὶ λευκὸν καὶ πυρρὸν καὶ ῥοδόχρουν. ἔοικε δὲ κυτίνῳ ῥοιᾶς. χυλίζεται δὲ ὡς ἡ ὑποκιστίς. δύναμιν δὲ ἔχει στυπτικήν. ποιοῦσιν πρὸς ἃ καὶ ἡ ὑποκιστὶς καὶ ὁ κύτινος.

Περὶ μυρσίνης. κεφ. ρνη.

Μυρσίνη ἥμερος, πρὸς μὲν τὴν ἰατρικὴν χρῆσιν, ἡ μέλαινα τῆς λευκῆς ἁρμοδιωτέρα. καὶ ταύτης μᾶλλον ἡ ὀρεινή. τὸν μέντοι καρπὸν ἀτονώτερον ἔχει. δύναμις δὲ αὐτῆς καὶ τοῦ καρποῦ στυπτική. δίδοται δὲ ὁ καρπὸς χλωρός τε καὶ ξηρὸς ἐσθιόμενος αἱμοπτυϊκοῖς καὶ τοῖς δακνομένοις τὴν κύστιν. καὶ ὁ ἐκ τῶν χλωρῶν δὲ μύρτων ἐκθλιβέντων χυλός, τὰ αὐτὰ ποιεῖ. εὐστόμαχος ὢν καὶ οὐρητικός. ἁρμόζων, φαλαγγιοδήκτοις, καὶ σκορπιοπλήκτοις σὺν οἴνῳ. καὶ τὸ ἀφέψημα δὲ τοῦ καρποῦ βάπτει τρίχας. ἑψηθεὶς δὲ σὺν οἴνῳ καὶ καταπλασθείς, τὰ ἐν ἀκρωτηρίοις ἕλκη θεραπεύει. μετὰ πάλης ἢ ἀλφίτου καταπλασθείς, φλεγμονὰς τὰς ἐν ὀφθαλμοῖς πραΰνει. καὶ πρὸς αἰγίλωπα δὲ ἐπιπλάττεται. καὶ ὁ ἐξ αὐτῆς ἢ γινόμενος οἶνος ἐκθλιβέντος τοῦ καρποῦ. καὶ ἐπὶ ποσὸν ἀφεψηθέντος, ὀξίζει γὰρ ὠμὸς οὕτω σκευασθείς, ἀκραιπαλός ἐστι προπινόμενος. ποιῶν πρὸς ὅσα καὶ ὁ καρπός. ἐγκαθίσματά τε μήτρας. προπτώσεις. καὶ δακτυλίῳ. καὶ ῥοικαῖς ἁρμόζει. σμήχει δὲ καὶ πίτυρα. καὶ ἀχῶρας. καὶ ἐξανθήματα. τρίχας τε ῥεούσας ἐπέχει. μίγνυται δὲ καὶ λιπαραῖς, ὥσπερ καὶ τὸ ἐκ τῶν φύλλων αὐτῆς σκευαζόμενον ἔλαιον. καὶ τὸ τῶν φύλλων δὲ ἀφέψημα, εἴς τε τὰ ἐγκαθίσματα ἁρμόζει, καὶ πρὸς τὰ χαλαρὰ καὶ ἀσύμ-

πυρωτὰ ἄρθρα καὶ πρὸς ἀσυμπέρωτα κατάγματα ὠφελίμως καταντλεῖται. σμή-
χει δὲ καὶ ἀλφούς. καὶ πρὸς ὦτα πυορροοῦντα ἐγχυματίζεται, καὶ μελασμοὺς τριχῶν.
ἀπὸ δὲ αὐτῶν ὁ χυλὸς τὰ αὐτὰ ποιεῖ. αὐτὰ δὲ τὰ φύλλα λεῖα καταπλασσόμενα ἐν ὕδατι,
ἁρμόζει τοῖς καθύγροις τῶν ἑλκῶν. καὶ ῥευματιζομένοις τόποις πᾶσι καὶ κοιλιακοῖς.
ἐλαίου ὀμφακίνου μετὰ, ἢ ῥοδίνου ὀλίγου καὶ οἴνου μεμιγμένου, καὶ ἕρπησι καὶ ἐρυ-
σιπέλασι, διδύμων τε φλεγμοναῖς καὶ ἐπινυκτίσι καὶ κονδυλώμασι. ξηρὰ δὲ λεῖα πα-
ρωνυχίαις καὶ πτερυγίοις, χρησίμως καταπλάττεται. καὶ καθύγροις μασχάλαις καὶ μη-
ροῖς. καὶ τῶν καρδιακῶν στέλλει τοὺς ἱδρῶτας. κεκαυμένα δὲ καὶ ὠμὰ μετὰ κηρωτῆς, πυ-
ρίκαυτα καὶ πτερύγια καὶ παρωνυχίας ἰᾶται. χυλίζεται δὲ τὰ φύλλα παραχεομένου
οἴνου παλαιοῦ ἢ ὕδατος ὀμβρίου. καὶ ἐκθλίβεται. ἡ δὲ χρῆσις αὐτοῦ πρόσφατον ὄν-
τος. ξηρανθεὶς γὰρ εὐρωτιᾷ καὶ ἀδυνατεῖ.

Περὶ μυρτιδάνου. κεφ. ρνθ.

Τὸ δὲ μυρτίδανον λεγόμενον, ἐπίφυσίς ἐστιν ἀνώμαλος καὶ ὀχθώδης καὶ ὁμόχρους. οἱονεὶ
χεῖρες περὶ τὸ τῆς μυρσίνης πρέμνον. στύφει δὲ μᾶλλον τῆς μυρσίνης. ἀποτίθεται δὲ κο-
πὲν καὶ μιγὲν οἴνῳ αὐστηρῷ. ἀναπλασθέντα εἰς τροχίσκους, ἐν σκιᾷ ξηραίνεται, δραστικώ-
τερον δέ ἐστι τοῦ καρποῦ καὶ τοῦ φύλλου. μισγόμενον κηρωτῇ καὶ πεσσοῖς. ἐγκαθίσμασί τε
καὶ καταπλάσμασι τοῖς στύψεως δεομένοις.

Περὶ κερασίων. κεφ. ρξ.

Κεράσια, καὶ αὐτὰ μὲν χλωρὰ λαμβανόμενα, εὐκοίλια τυγχάνει. ξηρὰ δὲ ἵστησι κοιλί-
αν. τὸ δὲ κόμμι τῶν κερασίων, βῆχα χρονίαν ἰᾶται λαμβανόμενον μετὰ κράματος.
εὐχροιάν τε καὶ ὀξυδορκίαν καὶ ὄρεξιν ποιεῖ. ὠφελεῖ δὲ καὶ λιθιῶντας μετ' οἴνου πινόμενον.

Περὶ κερατίων. κεφ. ρξα.

Κεράτια χλωρὰ μὲν λαμβανόμενα, κακοστόμαχα τυγχάνει. καὶ κοιλίας λυτικά. ξη-
ρανθέντα δὲ ἵστησι κοιλίαν. εὐστομαχώτερα ὄντα καὶ διουρητικά, μάλιστα δὲ τὰ ἐκ τῶν
στεμφύλλων συντιθέμενα.

Περὶ μηλέας. κεφ. ρξβ.

Μηλέας πάσης τὰ φύλλα καὶ τὰ ἄνθη καὶ οἱ βλαστοὶ, στύφουσι. μάλιστα δὲ τῆς κυδωνί-
ας. ὁ δὲ καρπὸς ἄωρος μὲν στυπτικὸς καθέστηκε. πεπανθεὶς δὲ οὐχ ὁμοίως. τὰ δὲ τοῦ ἔα-
ρος ἀκμάζοντα μῆλα, χολοποιά. ἄθετα τῷ νευρώδει παντὶ, ἐμπνευματωτικά.

Περὶ κυδωνίων μήλων. κεφ. ρξγ.

Τὰ δὲ κυδώνια, εὐστόμαχα. οὐρητικά. ὀπτηθέντα δὲ προσηνέστερα γίνεται. χρήσιμα κοι-
λιακοῖς καὶ δυσεντερικοῖς καὶ ἐμπυικοῖς καὶ χολερικοῖς, μάλιστα ὠμά. καὶ τὸ ἀπόβρεγμα δὲ
αὐτῶν ἁρμόζει τοῖς στόμαχον ἢ κοιλίαν ῥευματιζομένοις ἐν ποτῷ. ὁ δὲ χυλὸς τῶν ὠμῶν αὐτῶν
λαμβανόμενος, ὀρθοπνοικοὺς ὠφελεῖ. τὸ δὲ ἀφέψημα, πρόσκλυσμα δακτυλίου καὶ ὑστέ-
ρας προπτώσει. τὰ δὲ ἐν τῷ μέλιτι, καὶ αὐτὰ μὲν οὐρητικά. τὸ δὲ μέλι τὴν αὐτῶν
ἀναλαμβάνεται δύναμιν. στεγνωτικὸν γὰρ καὶ στυπτικὸν γίνεται. τὰ δὲ σὺν τῷ μέ-
λιτι ἑψόμενα, εὐστόμαχα μὲν καὶ εὔστομα. ἧττον δὲ στεγνωτικά. τὰ δὲ ὠμὰ κατα-
πλάσμασι μίσγονται πρὸς στέγνωσιν κοιλίας. στομάχου ἀνατροπὴν καὶ πύρωσιν. μα-
στοὺς φλεγμαίνοντας, σπλῆνας ἐσκιρρωμένους. κονδυλώματα. γίνεται δὲ καὶ οἶνος
ἐξ αὐτῶν κοπτομένων καὶ ἐκθλιβομένων, πρὸς διαμονὴν μισγομένου τοῖς ιϛ' ξέ-
σταις τοῦ χυλοῦ μέλιτος ξέστου ἑνός· ἐπεὶ ὀξίζει. ἁρμόζει δὲ πρὸς τὰ εἰρημένα πάντα. καὶ

χρίσμα. ἡ δὲ ἐξ αὐτῶν σκευάζεται τὸ καλούμενον μήλινον, ᾧ χρῶνται ὅπου ἂν στυπτικοῦ ἐλαίου ἀνθ᾽ ὧν μὲν ἐκλέγεσθαι. δεῖ τὰ ἀληθινά. μικρὰ δ᾽ ἐστὶ καὶ περιφερῆ καὶ εὐώδη τοῦτα. τὰ δὲ λεγόμενα στρουθία καὶ μεγάλα, ἧττόν ἐστιν εὔχρηστα. τὰ δὲ ἄνθη αὐτῶν ξηρά τε καὶ χλωρὰ καταπλάσμασιν εὔθετα πρὸς τὰ στύψεως χρείαν ἔχοντα. καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. καὶ πρὸς αἵματος ἀναγωγάς, κοιλίας τε ῥύσιν, καὶ ἐμμήνων φορὰν ἁρμόζει μετὰ οἴνου πινόμενα.

Περὶ μελιμήλων. κεφ. ρξδ.

Τὰ δὲ μελίμηλα κοιλίαν μαλάσσει, καὶ θηρία ἐκτινάσσει, κακοστόμαχα, καύσων ποιητικά. καλεῖται δὲ ὑπό τινων γλυκύμηλα.

Περὶ ἠπειρωτικῶν μήλων. κεφ. ρξε.

Τὰ δὲ ἠπειρωτικὰ λεγόμενα, ῥωμαϊστὶ δὲ ὀρβίκλατα, εὐστόμαχα, κοιλίας σταλτικά, οὔρων προκλητικά, ἀτονώτερα μέντοι τῶν κυδωνίων ἐστίν.

Περὶ ἀγριομήλων. κεφ. ρξϛ.

Τὰ δὲ ἄγρια ἔοικε τοῖς ἐαρινοῖς στύφοντα. δεῖ δὲ πρὸς τὰ στύψεως χρήζοντα, ἀωροτέροις ἅπασι χρῆσθαι.

Περὶ περσικῶν μήλων. κεφ. ρξζ.

Τὰ δὲ περσικὰ μῆλα εὐστόμαχα, εὐκοίλια τὰ πέπειρα. τὰ δὲ ὠμά, στεγνωτικὰ κοιλίας. ξηρανθέντα δὲ καὶ στεγνωτικώτερα γίνονται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν ξηρῶν λαμβανόμενον, στόμαχον καὶ κοιλίαν ῥευματιζομένην ἵστησι.

Περὶ ἀρμενιακῶν. κεφ. ρξη.

Τὰ δὲ μικρότερα καλούμενα δὲ ἀρμενιακά, ῥωμαϊστὶ δὲ πραικόκια, εὐστομαχώτερα τῶν προειρημένων ἐστίν.

Περὶ μηδικῶν. κεφ. ρξθ.

Τὰ δὲ μηδικὰ λεγόμενα ἢ περσικὰ ἢ κεδρόμηλα, ῥωμαϊστὶ δὲ κίτρια, πᾶσι γνώριμα. φυτὸν γάρ ἐστι καρποφοροῦν δι᾽ ὅλου τοῦ ἔτους ἐπαλλήλως. αὐτὸ δὲ τὸ μῆλον ἐπίμηκες, ἐρρυτιδωμένον, χρυσίζον τῇ χρόᾳ, εὐῶδες μετὰ βάρους, σπέρμα ἔχον ἀπίῳ ἐοικός. δύναμιν δὲ ἔχει ποθὲν ἐν οἴνῳ, ἀντιπράττειν θανασίμοις, κοιλίαν τε ὑπάγειν. διάκλυσμά τέ ἐστι πρὸς εὐωδίαν στόματος τὸ ἀφέψημα καὶ ὁ χυλὸς αὐτῶν. βιβρώσκεται δὲ μάλιστα ὑπὸ γυναικῶν πρὸς τὴν κίσσαν. φυλάττει δὲ καὶ ἱμάτια ἄβρωτα, συντιθέμενα κιβωτίοις.

Περὶ ἀπίου. κεφ. ρο.

Ἀπίου δὲ πολλὰ εἴδη. πάντα δὲ στύφουσιν. ὅθεν εἰς τὰ ἀποκρουστικὰ καταπλάσματα ἁρμόζουσι. τὸ δὲ ἀφέψημα αὐτῶν ξηρανθέντων, καὶ αὐτὰ λαμβανόμενα ὠμά, κοιλίαν ἱστᾶσι. βλάπτουσι δὲ ἐσθιόμενα τοὺς νήστεις.

Περὶ ἀχράδος. κεφ. ροα.

Ἡ δὲ ἀχράς, εἶδός ἐστιν ἀγρίου ἀπίου. βραδέως πεπαινομένη. δύναμιν δὲ ἔχει, στυπτικωτέραν ἀπίου. ὅθεν πρὸς τὰ αὐτὰ ἁρμόζει. στύφει δὲ καὶ τὰ φύλλα αὐτῆς. ἡ δὲ ἐκ τοῦ ξύλου αὐτῶν τέφρα, βοηθεῖ ἐνεργῶς τοῖς ὑπὸ μυκήτων πνιγομένοις. φασὶ δέ τινες ὅτι κἂν συνεψήσῃ τις ἀχράδας μύκησιν, ἀβλαβεῖς αὐτοὺς γίνεσθαι.

Περὶ μεσπίλου. κεφ. ροβ.

Μέσπιλον τὸ δένδρον, ὃ παρ᾽ ἐνίοις ἀρωνία καλεῖται, ἀκανθῶδές ἐστιν. ὅμοιον τοῖς φύλλοις πυρακάνθῃ. καρπὸν φέρον μικρῷ μήλῳ ὅμοιον, ἡδύν, ἔχοντα τρία ὀστέα ἔνδοθεν, ἀφ᾽ ὧν καὶ τρίκοκκον τινὲς αὐτὸ ὀνομάζουσι. βραδέως πεπαινόμενον. στύφει δὲ βιβρωσκόμενον. εὐστόμαχόν τέ ἐστι καὶ κοιλίας στεγνωτικόν.

Περὶ ἑτέρου μεσπίλου. κεφ. ρογ.

Μεσπίλου δὲ καὶ ἕτερόν ἐστιν εἶδος ἐν Ἰταλίᾳ γινόμενον, ὃ ἔνιοι ἐπιμηλίδα καλοῦσι.

οἱ δὲ, σητάνιον ὀνομάζουσι. δένδρον ἐστὶ μηλέᾳ ἐμφερὲς τοῖς φύλλοις ὅτι μικρότερον. ἔχει δὲ καρπὸν καὶ τοῦτο στρογγύλον. βρώσιμον. πλατὺν ἔχοντα τὸν πυθμένα. ὑποστύφοντα. πεπαινόμενον βραδέως.

Περὶ λωτοῦ. κεφ. ροδ.

Λωτὸς τὸ δένδρον, φυτόν ἐστιν εὐμέγεθες. καρπὸν δὲ φέρει μείζονα πεπέρεως γλυκύν. βαρυστόμαχον. εὐστόμαχον. κοιλίας σταλτικόν. τῶν δὲ πρισμάτων τοῦ ξύλου τὸ ἀφέψημα πινόμενον καὶ ἐγκλυζόμενον, βοηθεῖ δυσεντερικοῖς καὶ γυναιξὶ ῥοϊκαῖς. ξανθίζει δὲ καὶ τρίχας. καὶ ἐπέχει γαστέρα ῥέουσαν.

Περὶ κρανίας. κεφ. ροε.

Κρανία δένδρον ἐστὶν ἁδρόν. καρπὸν φέρον ὡς ἐλαίας. ἐπιμήκη. χλωρὸν τὸ πρῶτον. πεπαινόμενον δὲ ξανθόν. ἢ κηροειδῆ. ἐδώδιμον. στύφοντα. ἁρμόζοντα πρὸς κοιλίας ῥύσιν καὶ δυσεντερείας. συντιθέμενον καὶ εἰς ἕψημα, καὶ εἰς βρῶσιν. καὶ ἁλμεύεται ὡς ἐλαία. ὁ δὲ τῶν χλωρῶν φύλλων ἰχὼρ καιομένων, ἁρμόζει πρὸς λειχῆνας καταχριόμενος.

Περὶ οὔων. κεφ. ροϛ.

Οὔα τὰ μηλίζοντα καὶ μὴ ὑπόπυρρα, τμηθέντα καὶ ξηρανθέντα ἐν ἡλίῳ, σταλτικὰ γίνεται κοιλίας ἐσθιόμενα. καὶ τὸ ἐξ αὐτῶν δὲ ἄλευρον ἀλεσθέντων ἀντὶ ἀλφίτων λαμβανόμενον. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν πινόμενον, τὸ αὐτὸ ποιεῖ.

Περὶ κοκκυμηλέας. κεφ. ροζ.

Κοκκυμηλέα δένδρον ἐστὶ γνώριμον. οὗ ὁ καρπὸς ἐδώδιμος. κακοστόμαχος. κοιλίας μαλακτικός. τῶν δὲ συριακῶν καὶ μάλιστα τῶν ἐν Δαμασκῷ γινομένων ὁ καρπὸς ξηρανθείς, εὐστόμαχος καὶ κοιλίας σταλτικός. τὸ δὲ ἀφέψημα τῶν φύλλων ἐν οἴνῳ σκευαζόμενον καὶ ἀναγαργαριζόμενον, κιονίδα καὶ οὖλα καὶ παρίσθμια ῥευματιζόμενα στέλλει. τὰ αὐτὰ δὲ περιέχει ὁ τῶν ἀγρίων κοκκυμήλων καρπός, πέπειρος ξηρανθείς. ἑψηθεὶς δὲ μετὰ ἑψήματος, εὐστομαχώτερος καὶ σταλτικώτερος κοιλίας γίνεται. τὸ δὲ κόμμι τῆς κοκκυμηλέας, ἐστὶ κολλητικόν. λίθων θρεπτικὸν πινόμενον σὺν οἴνῳ. σὺν ὄξει δὲ ἐγχριόμενον, λειχῆνας τοὺς ἐπὶ τῶν παιδίων θεραπεύει.

Περὶ κομάρου. κεφ. ροη.

Κόμαρος δένδρον ἐστὶ παρόμοιον κυδωνίᾳ. λεπτόφυλλον. καρπὸν ἔχον ὡς κοκκύμηλα μέγεθος. ἀπύρηνον. ἀπομαίμυλα καλούμενον. πεπανθέντα δὲ ὑπόκιρρον ἢ ἐρυθρόν. ἐσθιόμενον. ἀχυρῶδες. κακοστόμαχον δὲ καὶ κεφαλαλγές.

Περὶ ἀμυγδαλῆς. κεφ. ροθ.

Ἀμυγδαλέας πικρᾶς ἡ ῥίζα ἀφεψηθεῖσα λεία, ἐφήλεις τὰς ἐν προσώπῳ ἀποκαθαίρει. καὶ αὐτὰ δὲ τὰ ἀμύγδαλα καταπλασθέντα, τὰ αὐτὰ ποιεῖ. προστιθέμενα δὲ ἄγει καταμήνια. καὶ κεφαλαλγίαις βοηθεῖ. καταπλασθέντα μετώπῳ καὶ κροτάφοις μετ᾽ ὄξους καὶ ῥοδίνου. καὶ πρὸς ἐπινυκτίδας σὺν οἴνῳ. πρὸς δὲ σηπεδόνας καὶ ἕρπητας καὶ κυνόδηκτα, σὺν μέλιτι. ἐσθιόμενα δέ ἐστιν ἀνώδυνα. κοιλίας μαλακτικά. ὑπνωτικά. οὐρητικά. καὶ πρὸς αἵματος ἀναγωγὴν μετὰ ἀμύλου λαμβανόμενα. πρὸς δὲ νεφριτικοὺς καὶ περιπνευμονικούς. σὺν ὕδατι πινόμενα ἢ ἐκλειχόμενα σὺν ῥητίνῃ τερεβινθίνῃ. δυσουροῦσι δὲ καὶ λιθιῶσι, σὺν γλυκεῖ βοηθεῖ. καὶ ἡπατικοῖς καὶ βηξὶ καὶ κώλου ἐμπνευματώσει, σὺν μέλιτι καὶ γάλακτι ἐκλειχόμενα. καρύου ποντικοῦ τὸ μέγεθος. ἔστι δὲ καὶ ἀμέθυστα προσλαμβανόμενα ὅσον ε ἢ ζ. κτείνει δὲ καὶ ἀλώπεκας βρωθέντα σύν τινι. τὸ δὲ κόμμι αὐτῆς στύφει καὶ θερμαίνει καὶ βοηθεῖ πρὸς

αἵματος ἀναγωγὴν πινόμενον. σὺν ὄξει δὲ ἐπιχριόμενα, λειχῆνας ἐπιπολαίους αἴρει. ἰᾶται καὶ βῆχα χρονίαν μετὰ κράματος ποθέν. λιθιῶντας δὲ ὠφελεῖ σὺν γλυκεῖ πινόμενον. ἡ δὲ γλυκεῖα καὶ ἐδώδιμος ἀμυγδαλῆ, κατὰ πολὺ ἥττων ἐστὶν ὡς πρὸς ἐνέργειαν τῆς πικρᾶς. καὶ αὐτὴ δὲ λεπτυντική. οὐρητική. βρωθέντα δὲ σὺν τῷ λέπει τὰ ἀμυγδάλα χλωρὰ, στομάχου πλάδον ἀποκαθίστησι.

## Περὶ πιστακίων. κεφ. ρπ.

Πιστάκια τὰ μὲν γεννώμενα ἐν συρίᾳ, ὅμοια στροβίλοις, εὐστόμαχα. ἐσθιόμενα δὲ καὶ πινόμενα ἐν οἴνῳ λεῖα, ἑρπετοδήκτοις βοηθεῖ.

## Περὶ καρύων βασιλικῶν. κεφ. ρπα.

Κάρυα βασιλικὰ ἃ ἔνιοι περσικὰ καλοῦσιν, ἐσθιόμενα, δύσπεπτα. κακοστόμαχα. χολοποιά. κεφαλαλγῆ. βήσσουσιν ἐναντία. χρήσιμα δὲ βιβρωσκόμενα πρὸς ἐμέτους νήστεις καὶ θανασίμων φαρμάκων ἐστὶν ἀντιφάρμακα προβρωθέντα καὶ ἐπιβρωθέντα, σὺν ἰσχάσι καὶ πηγάνῳ. πλείονα δὲ βρωθέντα, πλατείας ἕλμινθας ἐκτινάσσει. ἐπιπλάττεται δὲ τοῖς μαστοῖς φλεγμαίνουσι. καὶ ἀποστήμασι καὶ στρέμμασι σὺν ὀλίγῳ μέλιτι καὶ πηγάνῳ. μετὰ δὲ κρομμύου καὶ ἁλὸς καὶ μέλιτος, πρὸς κυνόδηκτα καὶ ἀνθρωπόδηκτα ποιεῖ. πυρωθέντα δὲ σὺν τῷ κελύφει, καὶ ἐπιτεθέντα τῷ ὀμφαλῷ, στρόφους παύει. τὸ δὲ λέπος κεκαυμένον καὶ τριφθὲν ἐν οἴνῳ καὶ ἐλαίῳ, παιδίοις ἐπιχρισθὲν, καλλίθριχόν ἐστι. καὶ ἀλωπεκίας δασύνει. τὰ ἔμμηνα ἵστησι τὸ ἐντὸς αὐτοῦ λεῖον κατὰ καὶ σὺν οἴνῳ προστιθέμενον. τῶν δὲ παλαιῶν καρύων τὰ ἐντὸς καταπλασθέντα, γαγγραίνας καὶ ἄνθρακας καὶ αἰγίλωπας καὶ ἀλωπεκίας μασσηθέντα καὶ ἐπιτεθέντα, ἰᾶται συντόμως. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῶν κοπτομένων καὶ ἐκθλιβομένων. τὰ δὲ χλωρὰ, ἧττον κακοστόμαχα. γλυκύτερα ὄντα. διὸ καὶ τοῖς σκορόδοις μίγνυται πρὸς τὸ τὴν δριμύτητα περιαιρεῖν. αἴρει δὲ καὶ πελιώματα καταπλασθέντα.

## Περὶ καρύων ποντικῶν. κεφ. ρπβ.

Τὰ δὲ ποντικὰ ἃ ἔνιοι λεπτοκάρυα καλοῦσιν, ἐστὶ κακοστόμαχα. καὶ αὐτὰ δὲ λεῖα σὺν μελικράτῳ πινόμενα, βῆχα παλαιὰν ἰᾶται. φρυκτὰ δὲ ἐσθιόμενα σὺν πεπέρει ὀλίγῳ κατάρρουν πεπαίνει. ὅλα δὲ καέντα λεῖα μετὰ ἀξουγγίου ἢ στέατος ἀρκείου, ἀλωπεκίας ἐπιχρισθέντα δασύνει. φασὶ δὲ ἔνιοι ὅτι μετὰ ἐλαίου τὰ κελύφη κεκαυμένα καὶ λεοτριβηθέντα, γλαυκοφθάλμων παιδίων μελαίνει τὰς κόρας ἐπιβρεχομένου τοῦ βρέγματος.

## Περὶ μορέας. κεφ. ργ.

Μορέα ἡ συκαμινέα, δένδρον ἐστὶ γνώριμον. ἧς ὁ καρπὸς λυτικὸς κοιλίας. εὔφθαρτος. κακοστόμαχος. καὶ ὁ ἐξ αὐτῆς δὲ χυλὸς τὰ αὐτὰ δρᾷ. ἑψηθεὶς δὲ ἐν χαλκώματι ἢ ἡλιασθεὶς, στυπτικώτερος γίνεται. μιγέντος δὲ αὐτῷ ὀλίγου μέλιτος, ποιεῖ πρὸς ῥεύματα καὶ νομὰς καὶ παρίσθμια φλεγμαίνοντα. ἐπιτείνεται δὲ ἡ δύναμις αὐτοῦ παραμιγείσης στυπτηρίας σχιστῆς καὶ κηκῖδος καὶ σμύρνης καὶ κρόκου. ἔτι δὲ καὶ μυρίκης καρποῦ καὶ ἴρεως καὶ λιβανωτοῦ. τὰ δὲ ἄωρα μόρα ξηρὰ κοπέντα, ἀντὶ ῥοῦ τοῖς ὄψοις μίγνυται. καὶ κοιλιακοὺς ὀνίνησιν. ὁ δὲ τῆς ῥίζης φλοιὸς συνεψηθεὶς ὕδατι καὶ ποθεὶς κοιλίαν λύει. καὶ πλατεῖαν ἕλμινθα ἐκτινάσσει. καὶ τοῖς ἀκόνιτον πεπωκόσι βοηθεῖ. τὰ δὲ φύλλα λεῖα σὺν ἐλαίῳ καταπλασθέντα, πυρίκαυτα ἰᾶται. ἑψηθέντα δὲ ἐν ὀμβρείῳ ὕδατι, σὺν ἀμπέλου καὶ συκῆς μελαίνης φύλλοις, βάπτει τρίχας. ὁ δὲ χυλὸς τῶν φύλλων, φαλαγγιοδήκτοις ἀρήγει. ποθεὶς κυάθου πλῆθος. τοῦ φλοιοῦ δὲ καὶ τῶν φύλλων τὸ ἀπόζε-

μα, διάκλυσμα εὔθετον ἐστὶν ὀδονταλγίαις. ὀπίζεται ἡ περὶ τὸν ἀμητὸν τῆς ῥίζης περιορυχθείσης καὶ ἐγκοπείσης. εὑρίσκεται δὲ τῇ ὑστεραίᾳ ἐπιπαγής τις ὀπὸς πρός τε ὀδονταλγίας ποιεῖ. καὶ φύματα διαφορεῖ καὶ κοιλίαν καθαίρει. Περὶ συκομόρου. κεφ. ρπδ.

Συκόμορον· ἔνιοι δὲ καὶ τοῦτο συκάμινον λέγουσι. καλεῖται δὲ καὶ ὁ ἀπ᾽ αὐτοῦ καρπὸς συκόμορον, διὰ τὸ ἄτονον τῆς γεύσεως. δένδρον δ᾽ ἐστὶ μέγα, ὅμοιον συκῇ. πολύχυμον σφόδρα. τοῖς φύλλοις ἐοικὸς μορέᾳ. φέρει δὲ καρπὸν τρὶς ἢ τετράκις τοῦ ἔτους. οὐκ ἀπὸ τῶν ἀκρεμόνων ὡς ἐπὶ τῆς συκῆς, ἀλλ᾽ ἀπὸ τοῦ στελέχους, ὅμοιον ἐρινεῷ. γλυκύτερον ὀλύνθων. οὐκ ἔχοντα ἢ κεγχραμίδας. μὴ δὲ πεπαινόμενον εἰ μὴ ἐπικνισθείη ὄνυχι ἢ σιδήρῳ. φύεται δὲ πλεῖστον ἐν Καρίᾳ καὶ Ῥόδῳ. καὶ ἐν τοῖς οὐ πολυπύροις τόποις. βοηθεῖ ἐν ταῖς σιτοδείαις, διὰ τὸ συνεχὲς τοῦ καρποῦ. ἔστι δὲ εὐκοίλιος ὁ καρπός. ἄτροφος. κακοστόμαχος. ὀπίζεται δὲ τὸ δένδρον πρὶν καρποφορήσειν ἔαρος, τοῦ φλοιοῦ δ᾽ ἐξ ἐπιπολῆς λιθοκλωμένου. βαθύτερον γὰρ θλασθὲν, οὐδὲν ἀνίησι. συλλέγεται δὲ σπόγγῳ ἢ ἐρίῳ τὸ δάκρυον. καὶ ξηρανθὲν καὶ ἀναπλασθὲν ἐν ἀγγείῳ ὀστρακίνῳ, ἀποτίθεται. δύναμιν δὲ ἔχει ὁ ὀπὸς μαλακτικὴν. κολλητικὴν τραυμάτων. διαφορητικὴν τῶν δυσπέπτων. πίνεται δὲ καὶ συγχρίεται πρὸς ἑρπετῶν δήγματα καὶ ἐσκιρρωμένους σπλῆνας, στομάχου τε ἀλγήματα καὶ φρικίας. ταχέως δὲ περιδινίζεται ὁ ὀπός. γίνεται δὲ καὶ ἐν Κύπρῳ εἶδος διαφέρον. πτελέᾳ ἐοικὸς, συκαμίνῳ τὰ φύλλα ἔοικε. τὸν δὲ καρπὸν κατὰ τὸ μέγεθος κοκκυμήλων. καὶ γλυκύτερον. τὰ δ᾽ ἄλλα πάντα ὅμοια τοῖς προειρημένοις.

Περὶ σύκων. κεφ. ρπε.

Σῦκα πέπειρα τὰ νέα πολλά, κακοστόμαχα. κοιλίας λυτικά. ῥᾳδίως δὲ ὁ ἐξ αὐτῶν ῥευματισμὸς ἵσταται. ἐξανθηματοποιὰ καὶ ἱδρώτων προκλητικά. δίψα δὲ καὶ σβεστικὰ θερμασίας. τὰ δὲ ξηρὰ τρόφιμα. θερμαντικά. διψητικώτερα. εὐκοίλια. ἄθετα δὲ ῥευματισμοῖς στομάχου καὶ κοιλίας. βρόγχῳ δὲ καὶ ἀρτηρίᾳ καὶ κύστει καὶ νεφροῖς εὔθετα. καὶ τοῖς ἐκ μακρονοσίας κακοχροοῦσι καὶ ἀσθματικοῖς καὶ ἐπιληπτικοῖς καὶ ὑδρωπικοῖς. ἀνακαθαίρει δὲ καὶ τὰ ἐν θώρακι ἀποζεσθέντα σὺν ὑσσώπῳ καὶ ποθέντα. ἁρμόζει δὲ καὶ παλαιοῖς βηξί. καὶ τοῖς περὶ πνεύμονα χρονίοις πάθεσι. κοιλίαν τε μαλάσσει κοπέντα μετὰ νίτρου καὶ κνίκου ἐσθιόμενα. τὸ δὲ ἀφέψημα αὐτῶν, τοῖς περὶ ἀρτηρίαν καὶ παρίσθμια φλεγμοναῖς, ἁρμόζει εἰς ἀνακογχυλισμόν(?) γαργάρισμα. καὶ εἰς τὰς ὀμμάλυσεις(?) μίσγονται. καὶ εἰς γυναικείας πυρίας μετὰ τῆλεως ἢ πτισάνης. σὺν πηγάνῳ δὲ ἀφεψημένα, στρόφων ἐστὶν ἔγκλυσμα. καταπλαττόμενα δὲ ἑφθὰ λεῖα, διαφορεῖ σκληρίας. παρωτίδας, δοθιῆνας μαλάσσει. φύγεθλα πεπαίνει. καὶ μᾶλλον σὺν ἴρεως ἢ νίτρῳ ἢ ἀσβέστῳ. καὶ ὠμὰ δὲ κοπέντα σὺν οἷς εἴρηται, τὰ αὐτὰ δρᾷ. σὺν σιδίῳ δὲ ῥοιᾶς, πτερύγια ἀνακαθαίρει. μετὰ χαλκάνθου δὲ τὰ ἐν κνήμαις ῥευματικά, δυσαλθῆ καὶ κακοήθη ἰᾶται. ἑψηθέντα δὲ ἐν οἴνῳ καὶ μιχθέντα ἀψινθίῳ καὶ κριθίνῳ ἀλεύρῳ, ὑδρωπικοὺς ὠφελεῖ καταπλασθέντα. κεκαυμένα δὲ μιχθέντα κηρωτῇ, χιμέθλας ἰᾶται. λεῖα δὲ ὠμὰ σὺν νάπυϊ ὑγρῷ ἀναληφθέντα καὶ ἐντεθέντα ἐν ὠσὶν, ἤχους καὶ κνισμοὺς θεραπεύει. ὁ δὲ ὀπὸς τῆς ἀγρίας καὶ τῆς ἡμέρου συκῆς, πηκτικός ἐστι γάλακτος ὥσπερ ἡ πυτία. λύει δὲ καὶ τὸ παγὲν ὥσπερ τὸ ὄξος. ἑλκτικός τε σωμάτων καὶ ἀναστομωτικός. κοιλίας τε λυτικὸς, καὶ ὑστέρας ἀναχαλαστικὸς, μετὰ ἀμυγδάλου λείου πινόμενος.

καὶ ἐμμήνων ἀγωγός, προστεθεὶς σὺν ὠοῦ λεκύθῳ, ἢ κηρῷ τυρρηνικῷ. ποδαγρικοῖς τε ἐν καταπλάσμασι χρήσιμος μετὰ τηλίνου ἀλεύρου καὶ ὄξους. σμήχει δὲ λέπρας καὶ λειχῆνας, ἐφήλεις, ἀλφούς, ψώρας, ἀχῶρας σὺν ἀλφίτῳ. ἤδη καὶ σκορπιοπλήκτοις, καὶ τοῖς τῆς πληγῆς ἐπισταζόμενος, καὶ ἰοβόλοις καὶ κυνοδήκτοις βοηθεῖ. καὶ ὀδονταλγοῦσιν ὠφελεῖ ἐρίῳ ἀναληφθείς. καὶ εἰς τὰ βρώματα ἐντιθέμενος καὶ μυρμηκίας αἴρει, στέατι περιπλασθέντος τῆς ἐν κύκλῳ σαρκός. τὰ αὐτὰ δὲ καὶ ὁ χυλὸς ποιεῖ τῶν ἀπὸ τῆς ἀγρίας συκῆς ἁπαλῶν κλάδων, ἡνίκα ἂν ἐπινοιῶσι. μήπω τοῦ ὀφθαλμοῦ βεβλαστηκότος. κοπτόμενοι δὲ ἐκθλίβονται. καὶ ὁ χυλὸς ξηραινόμενος ἐν σκιᾷ, ἀποτίθεται. λαμβάνεται δὲ καὶ εἰς ἑλκωτικὰς δυνάμεις ὅ,τι ὀπὸς καὶ ὁ χυλός. αἱ δὲ κράδαι βοείοις κρέασι καθεψόμεναι, εὐέψητα ταῦτα ποιοῦσι. καὶ τὸ γάλα δὲ λυτικώτερον ἐν τῇ ἑψήσει κινούμενον, ἀντὶ σπάθης αὐταῖς παρασκευάζουσι.

Περὶ ὀλύνθων. κεφ. ρπς.

Οἱ δὲ ὄλυνθοι, ὑπὸ δέ τινων ἐρινοὶ καλούμενοι, ἑφθοὶ καταπλασθέντες, πᾶσαν συστροφὴν καὶ χοιράδας ἐκμαλάσσουσιν. ὠμοὶ δὲ μυρμηκίας καὶ θύμους, σὺν νίτρῳ καταπλασθέντες καὶ ἀλεύρῳ, αἴρουσι. καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ δύναται. σὺν ὄξει δὲ καὶ ἁλσὶ καταπλασθέντες, ἀχῶρας. ἐπίτυρα καὶ ἐπινυκτίδας ἰῶνται. παρατρίβεται δὲ αὐτοῖς καὶ τὰ συκώδη καὶ τραχέα τῶν βλεφάρων. καὶ λεύκας δὲ καταπλάσσονται τοῖς τῆς μελαίνης συκῆς φύλλοις ἢ τοῖς κλάδοις. ποιεῖ καὶ πρὸς τὰ κυνόδηκτα σὺν μέλιτι. καὶ πρὸς τὰ κηρία. ἀνάγουσι δὲ οἱ ὄλυνθοι καὶ ὀστᾶ σὺν μήκωνος ἀγρίας φύλλοις. δοθιῆνάς τε σὺν κηρῷ διαλύουσι. σὺν ὀρόβῳ δὲ καὶ οἴνῳ καταπλασθέντες, πρὸς μυγαλῆς δήγματα καὶ σκολοπένδρας ἁρμόζουσι. γίνεται δὲ καὶ κονία ἀγρίας συκῆς καὶ ἡμέρου καέντων τῶν κλάδων ἐκ τῆς τέφρας. πολυβρόχοι δὲ αὐτὴν δεῖ ποιεῖν καὶ παλαιοῦν. ἁρμόζει δὲ καὶ πρὸς τὰ καυστικὰ καὶ γαγγραινούμενα. ἀνακαθαίρει γὰρ καὶ ἀναλίσκει τὰ περισσά. χρῆσθαι δὲ αὐτῇ δεῖ, σπόγγον βρέχοντας συνεχῶς καὶ ἐπιτιθέντας. ἐφ' ὧν δὲ καὶ ἐγκλύζοντας ὡς ἐπὶ δυσεντερικῶν καὶ παλαιῶν ῥευμάτων. καὶ κόλπων ὑπονόμων καὶ μεγάλων. καθαίρει γὰρ καὶ κολλᾷ καὶ σαρκοῖ, καὶ συμφύει ἐοικότως τοῖς ἐναίμοις. καὶ ποτίζεται δὲ πρὸς αἵματος ἐκθρόμβωσιν καὶ πτώματα, ῥήγματα, σπάσματα. σὺν ὕδατος κυάθῳ πρὸς φαῦτος διυλισμένη. καὶ ἐλαίου μιχθέντος ὀλίγου κοιλιακοῖς τε καὶ δυσεντερικοῖς, καθ' ἑαυτὴν κυάθου πλῆθος βοηθεῖ διδομένη. καὶ τοῖς νευρικοῖς δὲ καὶ σπάσμασι, σύγχρισμα ἁρμόδιον σὺν ἐλαίῳ, ἱδρῶτας κινοῦσα. καὶ πρὸς γύψου πόσιν καὶ φαλαγγίων δήγματα πίνεται. περιέχουσι δὲ τὰ αὐτὰ καὶ αἱ λοιπαὶ κονίαι. μάλιστα δὲ ἡ δρυίνη. στυπτικαὶ δέ εἰσι πᾶσαι.

Περὶ περσέας. κεφ. ρπζ.

Περσέα δένδρον ἐστὶν ἐν αἰγύπτῳ. καρπὸν φέρον ἐδώδιμον. εὐστόμαχον. ἐφ' οὗ καὶ τὰ λεγόμενα κρανοκόλαπτα φαλάγγια εὑρίσκεται, μάλιστα δὲ ἐν τῇ θηβαΐδι. δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα ἐπιπλαττόμενα ξηρά, αἱμορραγίαν ἱστᾶν. τοῦτο δὲ ἱστοροῦσί τινες ἐν περσίδι, ἀναιρετικὸν εἶναι. μετατεθὲν δὲ εἰς αἴγυπτον, ἀλλοιωθῆναι καὶ ἐδώδιμον γενέσθαι.

Περὶ ἰβηρίδος. κεφ. ρπη.

Ἰβηρὶς ἤτοι καρδαμαντική. ἔχει τὰ φύλλα παρόμοια καρδάμῳ. ἐν ἔαρι δὲ θαλλίστερα. μῆκος δὲ ὅσον πηχυαῖον ἢ ἔλαττον. φύεται δὲ ἐν ἀπωρήτοις τόποις. θέρους δὲ γαλακτικὸν ἄνθος προβάλλει. καὶ τότε ἐστὶ δραστικώτερον. ἔχει δὲ δύο ῥίζας παρομοίας καρδάμῳ, θερμαντικὰς καὶ καυστικάς. αὗται γὰρ ἀγαθαὶ αἱ ῥίζαι πρὸς ἰσχιαδικούς. σὺν

λίπους ὑείου περιχυμένου, ὡς ἐμπλαστρῶδες γενέσθαι κατάπλασμα μίξεις ὡρῶν τεττάρων. ἔπειτα ἐν βαλανείῳ ἐμβιβαζέσθω. καὶ ἐλαίῳ μυρτίνου τοῖς τόποις ἐπιχριέσθω.

Περὶ ἁλικακάβου. κεφ. ρπδ'.

Ἁλικάκαβος. οἱ δὲ, δόρκιον. οἱ δὲ, στρύχνον. οἱ δὲ, μανικόν. οἱ δὲ, δορύκνιον. οἱ δὲ, φυσαλίς. οἱ δὲ, καλλέαδα. ῥωμαῖοι, ἀπολινάρις μίνορ. οἱ δὲ, ἔρβα οὐλτικάνια. οἱ δὲ, ὀψάγμ. δακοὶ κυκαλίδα, ἀφροὶ κακκάβουμ. θάμνος ἐστὶ κλάδους ἔχουσα πολλοὺς, δυσθραύστους, στελεχώδεις. φύλλα πλατέα λιπαρά, ἐμφερῆ μηλοκυδωνίῳ. ἄνθος ἐρυθρόν. καρπὸν ἐν θυλακίοις μικροῖς, κροκίζοντα ὥσπερ ἐρεβίνθου. σπέρμα στρογγύλον ὥσπερ ὀρόβου ἢ ἕξ. φύεται δὲ ἐν πέτραις οὐ πόρρω θαλάσσης. ταύτης ὁ χυλὸς ἐν οἴνῳ ποθεὶς < α', ὕπνον ἄγει, ὡς τὸ ὀπὸς μήκωνος. ὁ δὲ καρπὸς οὐρητικός ἐστι. δίδοται δὲ ὑδρωπικοῖς ὡσεὶ κορύμβους ιβ'. πλείονες δὲ ποθέντες ἔκστασιν ἐργάζονται. βοηθοῦνται δὲ, μελικράτῳ πολλῷ πινόμενοι. μίσγεται δὲ καὶ ἀνωδύνοις τροχίσκοις ὁ χυλὸς αὐτῆς καὶ ὁ φλοιὸς αὐτῆς. ἑψηθὲν δὲ ἐν οἴνῳ καὶ διακρατούμενον ἐν τῷ στόματι ὀδονταλγίας παύει. ὁ δὲ χυλὸς τῆς ῥίζης μετὰ μέλιτος χρισθεὶς, ἀμβλυωπίας παραιτεῖται.

# ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ ΠΕΡῚ ὝΛΗΣ ἸΑΤΡΙΚῆΣ. ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Ν τῷ πρώτῳ βιβλίῳ φίλτατε Ἄρειε, ὄντι πρώτῳ τῶν περὶ ὕλης ἡμῖν συντεταγμένων, παραδεδώκαμεν τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν γινομένων ἐξ αὐτῶν ὀπῶν τε καὶ δακρύων καὶ καρπῶν λόγον. ἐν δὲ τούτῳ δευτέρῳ ὄντι, ἐπελευσόμεθα περί τε ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στέατος καὶ τῶν λεγομένων σιτηρίων. ἔτι δὲ λαχάνων. ὑποτάξαντες αὐτοῖς ὅσα δριμέα τῶν βοτανικῶν κέκτηται δύναμιν. διὰ τὸ συγγένειαν ἔχειν αὐτὰ ὥσπερ τὰ σκόροδα καὶ τὰ κρόμμυα. καὶ νᾶπυ. ἵνα μὴ διαζευχθῇ τῶν ὁμογενῶν ἡ δύναμις.

Περὶ ἐχίνου θαλασσίου. κεφ. ρλ'.

Ἐχῖνος θαλάττιος, εὐστόμαχος. εὐκοίλιος. οὐρητικός. οὗ τὸ ὄστρακον ὠμὸν, μίσγεται χρησίμως ὀπτηθὲν, τοῖς περὶ τὰς ψώρας ἁρμόζουσι σμήγμασι. κεκαυμένον δὲ καθαίρει τὰ ῥυπαρὰ ἕλκη, καὶ καταστέλλει τὰ ὑπερσαρκοῦντα.

Περὶ τοῦ χερσαίου ἐχίνου. κεφ. ρλα'.

Καὶ τὸ χερσαίου δὲ ἐχίνου τὸ δέρμα καέν, πρὸς ἀλωπεκίας μετὰ πίσσης ὑγρᾶς καταχριόμενον, ἁρμόζει. ἡ δὲ σὰρξ σκελετευθεῖσα καὶ πινομένη μετὰ ὀξυμέλιτος, βοηθεῖ νεφριτικοῖς, καὶ τοῖς ὑπὸ σάρκα ὕδρωψι. καὶ σπασμώδεσιν. ἐλεφαντιῶσι. καχέκταις. ξηραίνει δὲ καὶ τοὺς περὶ τὰ σπλάγχνα ῥευματισμούς. καὶ τὸ ἧπαρ δὲ αὐτοῦ ξηρανθὲν ἐπὶ ὀστράκου ἡλιοκαοῦς καὶ ἀποτεθὲν, πρὸς τὰ αὐτὰ ὁμοίως ἁρμόζει διδόμενον.

Περὶ ἱπποκάμπου. κεφ. ρλβ'.

Ἱππόκαμπος, θαλάσσιόν ἐστι ζῶον μικρόν. οὗ καέντος ἀναληφθεῖσα ἡ τέφρα πίσσῃ ὑγρᾷ, ἢ ὀξυγγίῳ, ἢ ἀμαρακίνῳ μύρῳ καὶ καταχρισθεῖσα, ἀλωπεκίας δασύνει.

### Περὶ πορφύρας. κεφά. ρϟγʹ.

Πορφύρα καεῖσα δύναμιν ἔχει ξηραντικὴν. σμηκτικὴν ὀδόντων. ὑπερσαρκωμάτων δὲ καταστατικήν. ἀνακαθαρτικὴν ἑλκῶν. ἀπουλωτικήν.

### Περὶ κηρύκων. κεφά. ρϟδʹ.

Τὰ αὐτὰ δὲ ποιοῦσι καὶ οἱ κήρυκες καέντες. εἰσὶ δὲ μᾶλλον καυστικοί. ἐὰν δέ τις ἁλῶν αὐτοὺς πληρώσας ἐν ὠμῇ χύτρᾳ καύσῃ, ἁρμόζουσι πρὸς σμῆξιν ὀδόντων καὶ κατακαύματα ἐπιπλασθέντες. ἐὰν δὲ δέῃ ἀποστρακοῦσθαι τὸ φάρμακον. μετὰ δὲ τὴν ἀπούλωσιν τοῦ τραύματος, αὐτὸ ἀποπίπτει. γίνεται δὲ καὶ ἄσβεστος ἐξ αὐτῶν ὡς ὑποδείξομεν ἐν τῷ περὶ ἀσβέστου λόγῳ.

### Περὶ ἰονίων. κεφά. ρϟεʹ.

Ἰόνια δὲ καλεῖται τὰ ἐπὶ τῶν κηρύκων καὶ πορφυρῶν μέσα. περὶ οἷς ἡ ἕλιξ ἐστὶ τοῦ ὀστράκου. καίεται δὲ ὁμοίως δύναμιν ἔχοντα καυστικωτέραν τῶν κηρύκων καὶ τῶν πορφύρας, διὰ τὸ πιέζειν αὐτῶν τὴν φύσιν. αἱ δὲ σάρκες τῶν κηρύκων, εὔστομοι καὶ εὐστόμαχοι. κοιλίαν δὲ οὐ μαλάσσουσι.

### Περὶ μυάκων. κεφά. ρϟϛʹ.

Μύακες διαφέρουσιν οἱ ποντικοί. καέντες δὲ τὸ αὐτὸ δρῶσι τοῖς κήρυξιν. ἰδιαίτερον δὲ πλυθέντες ὡς μόλιβδος, χρησιμεύουσιν εἰς τὰ ὀφθαλμικὰ σὺν μέλιτι. ἐκτήκοντες παχύτητας βλεφάρων καὶ σμήχοντες λευκώματα, καὶ τὰ ἄλλως ἐπισκοτοῦντα ταῖς κόραις. ἡ δὲ σὰρξ αὐτῶν κυνοδήκτοις ἐπιτιθεμένη ὠφελίμως.

### Περὶ τελλινῶν. κεφά. ρϟζʹ.

Τελλῖναι δὲ νεαραὶ εὐκοίλιοι. μάλιστα δὲ ὁ ἐξ αὐτῶν ζωμός. ταριχηραὶ δὲ καεῖσαι καὶ τριβεῖσαι λεῖαι καὶ μετὰ κεδρίας ἐπιστάζόμεναι, τὰς ἐκτιλθείσας τῶν βλεφάρων τρίχας οὐκ ἐῶσιν αὖθις φυῆναι.

### Περὶ χημῶν. κεφά. ρϟηʹ.

Καὶ ὁ ἐκ τῶν χημῶν δὲ καὶ τῶν ἄλλων κογχαρίων ζωμὸς, κοιλίαν κινεῖ ἑψόμενος μετὰ ὀλίγου ὕδατος. μετ᾽ οἴνου δὲ λαμβάνεται.

### Περὶ ὄνυχος. κεφά. ρϟθʹ.

Ὄνυξ ἐστὶ πῶμα κογχυλίου, ὅμοιον τῷ τῆς πορφύρας. εὑρισκόμενον ἐν τῇ ἰνδίᾳ, ἐν ταῖς ναρδοφόροις λίμναις. διὸ καὶ ἀρωματίζει νεμομένων τῶν κογχυλίων τὴν νάρδον. συλλέγεται δὲ, ἐπειδὰν ὑπὸ τῶν αὐχμῶν ἀναξηρανθῶσιν αἱ λίμναι. διαφέρει δὲ ὁ ἀπὸ τῆς ἐρυθρᾶς κομιζόμενος, ὑπόλευκος ὢν καὶ λιπαρός. μέλας δὲ ὁ βαβυλώνιος καὶ μικρότερος. ἀμφότεροι δὲ εὐώδεις, θυμιώμενοι. καστορίζοντες πως τῇ ὀσμῇ. ἐγείρουσι δὲ καὶ οὗτοι ὑποθυμιαθέντες τὰς ὑστερικῶς πνιγομένας. καὶ ἐπιληπτικούς. ποθέντες δὲ κοιλίαν μαλάσσουσιν. αὐτὸ δὲ τὸ κογχύλιον καὲν, ποιεῖ ὅσα καὶ ἡ πορφύρα καὶ ὁ κῆρυξ.

### Περὶ κοχλίου χερσαίου. κεφά. σʹ.

Κοχλίας χερσαῖος εὐστόμαχος. δυσφθαρτος. ἄριστος δὲ ὅ, τε ἐν σαρδόνι καὶ λιβύῃ καὶ ἀστυπαλίᾳ καὶ σικελίᾳ καὶ χίῳ γινόμενος. καὶ ὁ ἐν ταῖς κατὰ λιγυρίαν ἄλπεσι πωματίας καλούμενος. καὶ ὁ θαλάσσιος δὲ εὐστόμαχος καὶ εὐέκκριτος. ὁ δὲ ποτάμιος βρομώδης, καὶ ὁ ταῖς ἀκάνθαις καὶ τοῖς θαμνίσκοις προσκεκολλημένος ἀγρίοις. ὅν τινες σέσιλον καλοῦσι. ταρακτικός ἐστι κοιλίας καὶ στομάχου. ἐμετοποιός. δύναται δὲ πάντων τὰ ὄστρακα κεκαυμένα θερμαίνειν καὶ καίειν. σμήχειν λέπρας. ἀλφούς. ὀδόντας. οὐλὰς δὲ τὰς ἐν ὀφθαλμοῖς καὶ λευκώματα καὶ ἐφήλεις. καὶ ἀμβλυωπίας, μετὰ τῆς σαρκὸς ὅλοι καέντες καὶ λεανθέντες καὶ ἐγχριόμενοι σὺν μέλιτι ἀποκαθαίρουσιν. ὠμοὶ δὲ σὺν τοῖς κελύφεσι καταπλασθέντες, ἐξικμάζουσι τὰ ὑδρωπικὰ οἰδήματα. καὶ οὐκ ἀφίστανται πρὶν ἂν ἐκικμασθῆναι τὸ ὑγρόν. καὶ τὰ δὲ χει-

κὰς

κὰς δὲ φλεγμονὰς πραΰνουσι. καὶ σκόλοπας ἕλκουσιν ὁμοίως καταπλασθέντες. καὶ ἔμμηνα ἄγουσι λεῖοι προστιθέμενοι. αἱ δὲ σάρκες αὐτῶν λεῖαι σὺν σμύρνῃ καὶ λιβανωτῷ καταπλασθεῖσαι, τραύματα καὶ μάλιστα τὰ κατὰ τὰ νεῦρα κολλῶσι. καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας σὺν ὄξει λεανθέντες ἐπέχουσι. ζῶσα δὲ ἡ σὰρξ καταποθεῖσα τοῦ λιβυκοῦ μάλιστα, ἀλγηδόνας στομάχου παύει. μετὰ δὲ τοῦ ὀστράκου ὅλος τριβεὶς καὶ μετ' οἴνου καὶ σμύρνης ποθεὶς ὀλίγος, κωλικοὺς θεραπεύει καὶ κύστεως ἀλγήματα. ἀνακολλᾷ δὲ τρίχας ὁ χερσαῖος. ἐάν τις βελόνην κατὰ τῆς σαρκὸς αὐτοῦ φέρων τῷ προϊσταμένῳ γλοιώδει προσάπτηται τῆς τριχός.

Περὶ καρκίνων χερσαίων. κεφ. σα΄.

Καρκίνων ποταμίων καέντων, ἡ τέφρα κοχλιαρίων δυοῖν πλῆθος σὺν γεντιανῆς ῥίζης κοχλιαρίῳ ἑνί. καὶ οἴνῳ ποθεῖσα ἐπὶ ἡμέρας γ΄, βοηθεῖ λυσσοδήκτοις ἐν ποτῷ. σὺν δὲ μέλιτι ἑφθῷ, ῥαγάδας τὰς ἐν ποσὶ καὶ τὰς ἐν δακτυλίῳ καὶ χιμέθλας καὶ καρκινώματα περιρρηγνύει. λεῖοι δὲ ὠμοὶ σὺν γάλακτι ὀνείῳ ποθέντες, βοηθοῦσι δήγμασιν ἑρπετῶν, φαλαγγίων, σκορπίων πληγαῖς. ἑφθοὶ δὲ σὺν ζωμῷ ἐσθιόμενοι, φθισικοὺς ὠφελοῦσι. καὶ τοὺς λαγωὸν θαλάσσιον πεπωκότας. τριφθέντες δὲ μετ' ὠκίμου καὶ προστεθέντες, σκορπίους κτείνουσι. δύνανται δὲ τὰ αὐτὰ καὶ οἱ θαλάσσιοι, πλὴν ἧττον ἐνεργοῦσι.

Περὶ σκορπίου χερσαίου. κεφ. σβ΄.

Σκορπίος χερσαῖος ὠμὸς λεῖος ἐπιτεθείς, βοήθημα τῆς ἰδίας πληγῆς γίνεται. εὑρίσκεται δὲ καὶ ὀπτηθεὶς πρὸς τὸ αὐτό.

Περὶ σκορπίου θαλασσίου. κεφ. σγ΄.

Τοῦ δὲ θαλασσίου σκορπίου ἡ χολὴ ἁρμόζει πρὸς τὰς ἐν ὀφθαλμοῖς ὑποχύσεις καὶ λευκώματα καὶ ἀμβλυωπίας.

Περὶ δράκοντος θαλασσίου. κεφ. σδ΄.

Δράκων θαλάσσιος ἀνασχισθεὶς καὶ ἐπιτεθείς, ἴαμά ἐστι πρὸς τὴν ἐκ τῆς ἀκάνθης αὐτοῦ πληγήν.

Περὶ σκολοπένδρας. κεφ. σε΄.

Σκολόπενδρα θαλασσία ἑψηθεῖσα ἐν ἐλαίῳ καὶ καταχρισθεῖσα, ψιλοῖ τρίχας. ψαυσθεῖσα δὲ κνησμοὺς ἐργάζεται.

Περὶ νάρκης. κεφ. σϛ΄.

Νάρκη θαλασσία ἐπιτεθεῖσα ἐπὶ χρονίων ἀλγημάτων τῶν περὶ κεφαλήν, πραΰνει τὸ σφοδρὸν τοῦ ἀλγήματος. καὶ ἕδραν δὲ ἐκστρεφομένην ἢ προπίπτουσαν, στέλλει προστεθεῖσα.

Περὶ σαρκὸς ἐχίδνης. κεφ. σζ΄.

Ἐχίδνης σὰρξ ἑψηθεῖσα καὶ ἐσθιομένη, ὀξυδερκεῖς ποιεῖ τὰς ὄψεις. καὶ πρὸς τὰ νευρικὰ ἁρμόζει. καὶ τὰς αὐξομένας χοιράδας ἵστησι. δεῖ δὲ ἐκδείραντας αὐτήν, ἀποκόπτειν κεφαλὴν καὶ τὴν οὐράν, διὰ τὸ ἐν αὐτοῖς ἄσαρκον. μυθώδης γὰρ ἡ πρὸς τὸ μέτρον ἀποκοπὴ τῶν ἄκρων. τὸ δὲ λοιπὸν πλύναντας καὶ τεμαχίσαντας, ἕψειν μετὰ ἐλαίου καὶ οἴνου καὶ ἁλῶν ὀλίγων καὶ ἀνήθου. φασὶ δὲ τοὺς προσφερομένους φθεῖρας γεννᾶν. ὅπερ ἐστὶ ψεῦδος. προσιστοροῦσι δὲ ἔνιοι καὶ μακροβίους γίνεσθαι τοὺς ἐσθίοντας αὐτάς. κατασκευάζονται δὲ καὶ ἅλες ἐξ αὐτῶν πρὸς τὰ αὐτά, πλὴν οὐχ ὁμοίως ἐνεργοῦσι. καθίεται δὲ ἔχιδνα ζῶσα εἰς καινὴν χύτραν καὶ μετ' αὐτῆς ἁλῶν ἰσχάδων τετριμμένων ἀνὰ ξέστας ε΄ μετὰ μέλιτος κυάθων ϛ΄. περιχρίεται πηλῷ τὸ πῶμα τῆς χύτρας. καὶ ὀπτᾶται ἐν καμίνῳ, ἄχρις οὗ ἀνθρακωθῶσιν οἱ ἅλες. εἶτα μετὰ δὲ τοῦτο λεοτριβηθέντες, ἀποτίθενται. ἐνίοτε μιγνυμένου πρὸς εὐστομαχίαν αὐτοῖς, νάρδου στάχυος ἢ φύλλου ἢ μαλαβάθρου κρα-χος.

Περὶ ὄφεως γήρως. κεφ. ση'.

Γῆρας ὄφεως ἑψηθὲν ἐν οἴνῳ, βοήθημά ἐστιν ὠταλγίας ἐγχεόμενον, καὶ ὀδονταλγίας διακλυζόμενον. μίσγεται δὲ αὐτὸ καὶ εἰς ὀφθαλμικὰς δυνάμεις. μάλιστα δὲ τὸ τῆς ἔχεως.

Περὶ λαγωοῦ θαλαττίου. κεφ. σθ'.

Λαγωὸς θαλάσσιος ἔοικε μὲν μικρᾷ τευθίδι. δύναται δὲ λεῖος καταπλασθεὶς καθ' ἑαυτὸν μὲν καὶ μετὰ ἀκαλήφης τρίχας ψιλοῦν.

Περὶ λαγωοῦ χερσαίου. κεφ. σι'.

Τοῦ δὲ χερσαίου λαγωοῦ ὁ ἐγκέφαλος, ὀπτὸς βιβρωσκόμενος ὠφελεῖ τρόμους τοὺς κατὰ πάθος γινομένους. καὶ ὀδοντιάσεις ἐπὶ παίδων παρατριβόμενος ἢ ἐσθιόμενος. ἡ δὲ κεφαλὴ αὐτοῦ καεῖσα καὶ καταχρισθεῖσα μετὰ στέατος ἀρκείου ἢ ὄξους, ἀλωπεκίας θεραπεύει. ἡ δὲ πιτύα ποθεῖσα μετὰ ἡμέρας τρεῖς, μετὰ τὴν ἄφεδρον, ἀτόκιος εἶναι ἱστορεῖται. ἐπέχει δὲ καὶ τὴν ἐκ μήτρας ῥύσιν. καὶ κοιλίας. ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς. καὶ πρὸς τὰ θανάσιμα μετ' ὄξους πινομένη. μάλιστα δὲ πρὸς γάλακτος θρόμβωσιν καὶ ἐχιδνῶν δήγματα. τὸ δὲ αἷμα αὐτοῦ θερμὸν καταχριόμενον, ἐφηλίδας καὶ ἀλφοὺς καὶ φακοὺς θεραπεύει.

Περὶ τρυγόνος θαλασσίας. κεφ. σια'.

Τρυγόνος θαλασσίας τὸ κέντρον, ὃ διὰ τῆς οὐρᾶς αὐτῆς πέφυκεν ἀνεστραμμένον ταῖς φολίσιν, ὀδόντας πονοῦντας πραΰνει. θρύπτει γὰρ καὶ ἐκβάλλει.

Περὶ σηπίας. κεφ. σιβ'.

Σηπίας ἑψηθείσης τὸ μέλαν βιβρωσκόμενον δύσπεπτον. κοιλίας μαλακτικόν. τὸ δὲ ἀπὸ τῆς ὄστρακον σχηματισθὲν εἰς κολλύρια, ἁρμόζει πρὸς παράτριψιν τραχέων βλεφάρων. καεὶν δὲ ἐν τῷ ἰδίῳ ὀστράκῳ, ἄχρις οὗ τὸ πλακῶδες αὐτοῦ ἀποστῇ, σμήχει λεῖον ἀλφούς. πίτυρα. ὀδόντας. ἐφήλεις. μίσγεται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ πλυθέν. ποιεῖ δὲ καὶ πρὸς λευκώματα κτηνῶν ἐμφυσώμενον. καὶ πτερύγια τὰ ἐν ὀφθαλμοῖς τήκει. σὺν ἁλσὶ λεῖον προσαγόμενον.

Περὶ τρίγλης. κεφ. σιγ'.

Τρίγλα συνεχῶς ἐσθιομένη ἀμβλυωπίας δοκεῖ κατασκευαστικὴ ὑπάρχειν. ὠμὴ δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, θαλασσίου δράκοντος καὶ σκορπίου καὶ ἀράχνης δήγματα ἰᾶται.

Περὶ ὄρχεως ἱπποποτάμου. κεφ. σιδ'.

Ὄρχις ἱπποποτάμου ξηρανθεὶς καὶ λεανθεὶς, πίνεται μετ' οἴνου πρὸς ἑρπετῶν δήγματα.

Περὶ τῶν τοῦ κάστορος ὄρχεων. κεφ. σιε'.

Κάστορος ὄρχις. ζῶον ἐστὶν ἀμφίβιον. τὸ πλεῖστον ἐν ὕδασι, σὺν ἰχθύσι, καὶ καρκίνοις τρεφόμενον. ποιεῖ μὲν καὶ πρὸς ἑρπετά. ἔστι δὲ καὶ πταρμικός. καὶ καθόλου ποικίλην ἔχει τὴν χρῆσιν. ποθεὶς γοῦν μετὰ γλήχωνος < πλῆθος δυοῖν, ἔμμηνα κινεῖ καὶ ἔμβρυα. καὶ δεύτερα ἐκβάλλει. πίνεται δὲ σὺν ὄξει. καὶ πρὸς ἐμπνευματώσεις. στρόφους λυγμούς. θανάσιμα φάρμακα. ἰξίας. ἀνακαλεῖται δὲ καὶ τοὺς ληθαργικούς. καὶ τοὺς ὁπωσδήποτε καταφερομένους, ἐμβρεχόμενος σὺν ὄξει καὶ ῥοδίνῳ ἢ ὀσφραινόμενος ἢ ὑποθυμιώμενος. τὰ αὐτὰ ποιεῖ. ἁρμόζει δὲ καὶ τρόμοις καὶ σπασμοῖς. καὶ πᾶσι τοῖς νευρικοῖς πινόμενος καὶ συγχριόμενος. καὶ καθόλου θερμαντικὴν ἔχει τὴν δύναμιν. ἐκλέγου δὲ ἀεὶ τοὺς συνεζευγμένους ὄρχεις ἐκ μιᾶς ἀρχῆς. ἀδύνατον γὰρ δύο φύσεις ἐζευγμένας ἐν ἑνὶ ὑμένι εὑρεῖν. καὶ τὰ ἐντὸς ἔχον κηρῶδες. βαρύοσμον. βρομῶδες. δριμὺ. δηκτικόν. εὔθρυπτον. διαφρασσόμενόν τισι συνεχέσι φυσικοῖς ὑμέσι. δολοῦσι δέ τινες αὐτὸ, ἀμμωνιακὸν ἢ κόμμι συμπεφυρμένον αἵματι καὶ καστορίῳ, ἐγχέοντες εἰς φύσας καὶ ξηραίνοντες. μάταιον δὲ ἱστορεῖται ὅτι διωκόμενον τὸ ζῶον ἀποσπᾷ τοὺς διδύμους καὶ ῥίπτει. ἀδύνατον γάρ ἐστιν

ἅψασθαι

ἄψασθαι αὐτῶν προσώπῳ ὄντων ὡς πρὸ ὑός. δεῖ δὲ ὀβελόν τις τὸ δέρμα κομίσασθαι σὺν τῷ περιέχοντι ὑμένι τὸ ὑγρὸν, ὂν μελιτῶδες. καὶ οὕτω ξηράναντας ποτίζειν.

### Περὶ γαλῆς κατοικιδίου. κεφ. σις'.

Γαλῆ κατοικίδιος περιφλεχθεῖσα καὶ δίχα τῶν ἐντὸς σκελετευθεῖσα δι' ἁλὸς καὶ ξηρανθεῖσα ἐν σκιᾷ, παντὸς ἑρπετοῦ ἐνεργέστερόν ἐστι βοήθημα, ποθεῖσα μετὰ οἴνου < β'. ἔστι τοξικοῦ ἀντιφάρμακον ὁμοίως ληφθεῖσα. ἡ κοιλία αὐτῆς κορίῳ πληρωθεῖσα καὶ σκελετευθεῖσα, θηριοδήκτοις καὶ ἐπιληπτικοῖς βοηθεῖ πινομένη. ὅλη δὲ καεῖσα ἐν χύτρᾳ, ποδαγρικοὺς ὠφελεῖ. τῆς τέφρας καταχριομένης μετ' ὄξους. τὸ δὲ αἷμα αὐτῆς καταχριόμενον, χοιράσι βοηθεῖ. ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς.

### Περὶ βατράχων. σιζ'.

Βάτραχοι ἀντιφάρμακόν εἰσιν ἑρπετῶν πάντων, ζωμευθέντες ἐν ἁλσὶ καὶ ἐλαίῳ. τοῦ ζωμοῦ λαμβανομένου ὁμοίως. καὶ πρὸς χρονίους τῶν τενόντων ἀποστάσεις. καυθέντες δὲ καὶ ἐπιπασθέντες, αἱμοῤῥαγίας στέλλουσι, καὶ ἀλωπεκίας θεραπεύουσι σὺν πίσσῃ ὑγρᾷ καταχριόμενοι. τῶν δὲ χλωρῶν βατράχων τὸ αἷμα ἐπιστεζόμενον, κωλύει τὰς ἐκτιλθείσας ἀπὸ τῶν βλεφάρων τρίχας φύεσθαι. ὠφελοῦσι καὶ ὀδονταλγίας συνεψόμενοι ὕδατι καὶ ὄξει καὶ διακλυζόμενοι.

### Περὶ αἰλούρου. σιη'.

Αἴλουρος νεαρὸς βιβρωσκόμενος, τρόφιμός ἐστι καὶ εὐκοίλιος. ταριχηρὸς δὲ ἄτροφος. ἀρτηρίας δὲ καθαίρει καὶ εὐηχίας παρασκευάζει. καταπλασθεῖσα ἡ σὰρξ τοῦ ταριχηροῦ, σκόλοπας ἀνάγει. καὶ ἡ ἐξ αὐτοῦ δὲ ἅλμη ἁρμόζει ἐν ἀρχῇ δυσεντερικοῖς εἰς ἐγκάθισμα. κατέχουσα τοὺς ῥευματισμοὺς εἰς τὴν ἐπιφάνειαν. καὶ ἐγκλυζομένη δὲ ἰσχιαδικοὺς θεραπεύει.

### Περὶ σμαρίδος. κεφ. σιθ'.

Σμαρίδος ταριχηρᾶς ἡ κεφαλὴ καεῖσα, ἕλκη στέλλει ὑπερσαρκοῦντα. καὶ νομὰς ἵστησι. ἥλους. καὶ θύμους ἀναλίσκει. σκορπιοπλήκτοις τε καὶ κυνοπλήκτοις ἡ σὰρξ ἁρμόζει καθάπερ πᾶς τάριχος.

### Περὶ μαινίδος. σκ'.

Καὶ τῆς μαινίδος δὲ κεφαλὴ καεῖσα λεία, τὰς ἐν δακτύλῳ τετυλωμένας ῥαγάδας καταπλασθεῖσα ἀφίστησι. τὸ δὲ γάρον αὐτῆς τὰς ἐν σώματι σηπεδόνας διακλυζόμενον παύει.

### Περὶ κωβιοῦ. κεφ. σκα'.

Κωβιὸν πρόσφατον ἐὰν ἐμβαλὼν εἰς ὑείαν κοιλίαν καταῤῥάψῃς, καθεψήσῃς τε μεθ' ὕδατος ξεστῶν ιβ' ἄχρι δυοῖν ξεστῶν, καὶ διηθήσας καὶ ἐξαιθριάσας ποτίσῃς, κοιλίαν ἀταράχως κάτω ὑπάξει. καταπλασθεὶς δὲ καὶ τοὺς ὑπὸ κυνῶν δηχθέντας καὶ ἑρπετῶν ὠφελεῖ.

### Περὶ ὠμοταρίχου. κεφ. σκβ'.

Ὁ δὲ ὠμοτάριχος λεγόμενος, σάρξ ἐστι θύννου τεταριχευμένου. βοηθεῖ δὲ λαμβανόμενος τοῖς ὑπὸ ἐχίδνης τῆς καλουμένης πρηστῆρος δηχθεῖσι. δεῖ δὲ ὡς ὅτι πλεῖστον προσφέροντας οἶνον, ἀναγκάζειν πίνειν πολὺν καὶ ἐμεῖν. ἔστι τοῖς δριμυφαγίας μάλιστα ἁρμόζει. καταπλάσσεται δὲ καὶ ἐπὶ κυνοδήκτων ὠφελίμως.

### Περὶ γάρου.

Γάρον δὲ πᾶν τὸ ἐκ ταριχηρῶν ἰχθύων καὶ κρεῶν καταπλαττόμενον, νομὰς ἵστησι καὶ κυνοδήκτους ἰᾶται. ἐνίεται δὲ καὶ τοῖς δυσεντερικοῖς καὶ ἰσχιαδικοῖς, ἐφ' ὧν μὲν ἵνα τὰ ἡλκωμένα ἐπικαύσῃ, ἐφ' ὧν δὲ ἵνα τὰ ἀνέλκωτα ἐρεθίσῃ.

### Περὶ ζωμοῦ τῶν νεαρῶν ἰχθύων. κεφα. σκγ'.

Ζωμὸς δὲ ὁ ἐκ τῶν νεαρῶν ἰχθύων κοιλίας ὑπακτικός, ποτὲ μὲν καθ' ἑαυτὸν πινόμενος, ποτὲ δὲ μετ' οἴνου. ἰδίως δὲ σκευάζεται πρὸς ταῦτα ὁ ἀπὸ τῶν φυκίων καὶ σκορπίων καὶ ἰου

λίθων καὶ πριονίων καὶ τῶν ἄλλων τῶν ξυλίνων ἀπαλῶν καὶ ἀβρώμων λιπῶς μεθ᾽ ὕδατος καὶ ἐλαίου καὶ ἀνήθου. Περὶ κόρεων. κεφα. σκδ΄.

Κόρεις οἱ ἀπὸ κλίνης ἐντιθέμενοι βρώμασι μετὰ κυάμων τὸν ἀριθμὸν ζ΄, καὶ καταπινόμενοι πρὸ τῆς ἐπισημασίας, ὠφελοῦσι τοὺς τεταρταΐζοντας· καὶ ἀσπιδοδήκτοις δὲ δίχα τῶν κυάμων καταποθέντες. ὑστερικῶς δὲ πνιγομένας ἀνακαλοῦνται ὀσφραινόμενοι. σὺν οἴνῳ δὲ ἢ ὄξει ποθέντες βδέλλας ἐξάγουσι. δυσουρίαν τε παύουσιν ἐντιθέμενοι τῷ οὐρητικῷ πόρῳ λεῖοι. Περὶ κουβαρίδων. κεφ. σκε΄.

Ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας, ζῷά εἰσι πολύποδα· σφαιρούμενοι κατὰ τὰς ἐπαφὰς τῶν χειρῶν. οὗτοι ποθέντες σὺν οἴνῳ βοηθοῦσι δυσουρίᾳ τε καὶ ἰκτέρῳ. διαχρισθέντες δὲ μετὰ μέλιτος, συναγχικοὺς ὠφελοῦσι. καὶ πρὸς ὠταλγίαν δὲ λεῖοι σὺν ῥοδίνῳ θερμανθέντες ἐν κελύφῳ καὶ ῥόας ἐνσταγέντες, ἁρμόζουσιν. Περὶ σίλφης. κεφ. σκϛ΄.

Σίλφης τῆς ἐν τοῖς ἀρτοκοπείοις εὑρισκομένης, τὰ ἐντὸς τριβόμενα σὺν ἐλαίῳ ἢ ἑψόμενα καὶ ἐνσταζόμενα, ὠταλγίας παύει. Περὶ πνεύμονος θαλασσίου. κεφ. σκζ΄.

Πνεύμων θαλάσσιος πρόσφατος λειανθεὶς, ποδαγριῶντας καὶ χιμετλιῶντας, ὠφελεῖ καταπλασσόμενος. Περὶ χοιρίου πνεύμονος.

Ὁ δὲ χοίρειος καὶ ἄρνειος καὶ ἄρκειος πνεύμων, τὰ ἐκ τῶν ὑποδημάτων παρατρίμματα ἐπιτιθέμενοι, ἀφλέγμαντα τηροῦσιν. Περὶ πνεύμονος ἀλώπεκος. κεφα. σκη΄.

Καὶ ὁ τῆς ἀλώπεκος πνεύμων ξηρανθεὶς καὶ ποθεὶς, ἀσθματικοὺς ὀνίνησι. καὶ τὸ στέαρ δὲ αὐτῆς τακὲν καὶ ἐγχυθὲν, ὠτὸς πόνον παύει. Περὶ ἥπατος ὀνείου. κεφα σκθ΄.

Ἧπαρ ὄνειον ἐσθιόμενον ὀπτὸν, ἐπιληπτικοὺς ὠφελεῖ· νήστεις δὲ λαμβανέτωσαν.

Περὶ αἰδοίου ἄρρενος ἐλάφου. κεφα σλ΄.

Αἰδοῖον ἄρρενος ἐλάφου σὺν οἴνῳ ποθὲν λεῖον, τοῖς ὑπὸ ἐχιδνῶν δηχθεῖσι βοηθεῖ.

Περὶ ὀνύχων ὄνων. κεφα. σλα΄.

Ὄνυχες ὄνων καέντες καὶ ποθέντες ἐπὶ ἡμέρας ἱκανὰς πλῆθος κοχλιαρίων δυοῖν, ἱστοροῦνται ἐπιληπτικοὺς ὠφελεῖν. ἐλαίῳ δὲ φυραθέντες χοιράδας διαφοροῦσιν. ἐπιπλασθέντες δὲ, χιμέθλας θεραπεύουσι. Περὶ λειχήνων ἵππων. κεφα. σλβ΄.

Λειχῆνες ἵππων, εἰσὶ δὲ τύλοι κατὰ περιγραφὴν ἐντετυλωμένοι παρὰ τοῖς γόνασι καὶ παρὰ ταῖς ὁπλαῖς, ποθέντες λεῖοι μετ᾽ ὄξους, ἐπιληψίας ἱστορεῖται θεραπεύειν. Περὶ αἰγῶν ὀνύχων.

Οἱ δὲ τῶν αἰγῶν ὄνυχες καέντες, ἀλωπεκίας καταχριόμενοι σὺν ὄξει θεραπεύουσι.

Περὶ ἥπατος αἰγός. κεφα. σλγ΄.

Τοῦ δὲ ἥπατος τῆς αἰγὸς ὀπτωμένου, ὁ ἀπορρέων ἰχὼρ ἐγχριόμενος, νυκτάλωψιν ἁρμόζει. καὶ τὴν ἀτμίδα δὲ τοῦ ἑψομένου αὐτοῦ δέχονται, ἀνεωγόσι τοῖς ὀφθαλμοῖς ὠφελοῦνται. ἁρμόζει δὲ καὶ ἐσθιόμενον ὀπτὸν πρὸς τὰ αὐτά. φασὶ δὲ καὶ ἐπιληπτικοὺς ἐλέγχεσθαι φαγόντας μάλιστα τὸ τράγειον ἧπαρ.

Περὶ ἥπατος κάπρου. κεφα. σλδ΄.

Τὸ δὲ τοῦ κάπρου ἧπαρ νεαρὸν καὶ ξηρὸν λεῖον σὺν οἴνῳ πινόμενον, ἑρπετῶν καὶ κυνῶν δήγμασιν ὠφελεῖ. Περὶ κυνὸς λυσσῶντος. κεφα. σλε΄.

Κυνὸς λυσσῶντος ἧπαρ ὀπτὸν βιβρωσκόμενον ὑπὸ τῶν δηχθέντων ὑπ᾽ αὐτοῦ, ἀπεριπτώτους ὑδροφοβίας τηρεῖν πιστεύεται. χρῶνται δὲ εἰς προφυλακὴν καὶ τῷ κυνόδοντι τοῦ δακόντος ἐπιδοῦντες εἰς κυστίδα καὶ περιάπτοντες τῷ βραχίονι.

# ΔΕΥΤΕΡΟΝ.

Περὶ καττυμάτων. κεφα. σλϛ'.

Τὰ δὲ ἀπὸ τῶν καττυμάτων παλαιὰ δέρματα, κεκαυμένα καὶ λεῖα καταπλασσόμενα, πυρίκαυστα καὶ παρατρίμματα καὶ τὰ ἐξ ὑποδημάτων θλίμματα, θεραπεύει.

Περὶ ἥπατος αἰθυίας. κεφα. σλζ'.

Αἰθυίας ἧπαρ σκελετευθὲν καὶ ποθὲν μεθ' ὑδρομέλιτος κοχλιαρίων δυοῖν πλῆθος, ἐκβάλλει δεύτερα.

Περὶ ἀλεκτορίδων. κεφα. σλη'.

Ἀλεκτορίδες ἀνασχισθεῖσαι καὶ ἐπιτεθεῖσαι ἔνθερμοι, τοῖς ἑρπετῶν δήγμασι βοηθοῦσι. δεῖ δὲ συνεχῶς ἀλλάσσειν.

Περὶ ἐγκεφάλου ἀλεκτορίδος. κεφ. σλθ'.

Ὁ δὲ ἐγκέφαλος αὐτῶν ἐν πόματι θηριοδήκτοις σὺν οἴνῳ δίδοται. καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας ἐπέχει. τοῦ δὲ ἄρρενος τὸ κατὰ τὰ ἐντὸς ὑποκείμενον τῇ κοιλίᾳ κερατῶδες, ἀποδερόμενον δὲ ἐν ταῖς ἑψήσεσι ξηρανθὲν, ἁρμόζει στομαχικοῖς, λεῖον μετ' οἴνου πινόμενον. Ὁ δὲ τῶν παλαιῶν ἀλεκτρυόνων ζωμὸς, δίδοται πρὸς κάθαρσιν κοιλίας. ἐξελόντας δὲ τὰ ἐντὸς, δεῖ ἀντεμβάλλειν ἅλας. καὶ καταρράψαντας ἕψειν μετὰ ὕδατος ξεστῶν κ'. καὶ ταῦτα εἰς κοτύλας γ'. δίδοται δὲ πᾶν ἐξαιθριασθέν. ἔνιοι δὲ συνέψουσι κράμβην θαλασσίαν. ἢ λινόζωστιν. ἢ κνῆκον. ἢ πολυπόδιον. ἄγει δὲ πάχος ὠμὸν. γλοιώδη. μέλαν. ἁρμόζει δὲ πυρετοῖς χρονίοις. ἄσθμασιν. ἀρθριτικοῖς. ἐμπνευματουμένοις στομάχοις. ἡ δὲ κοιλία τούτων ταριχευθεῖσα καὶ ξηρανθεῖσα ἐν σκιᾷ, ἐπὶ ταῖς ὑπερκαθάρσεσι ταῖς ἀπὸ φαρμάκων κενωτικῶν, ὅσον γ' λαμβανομένη, βοήθημά ἐστιν ἄριστον. ἵστησι γὰρ παραχρῆμα τὴν κένωσιν. δεῖ δὲ τρίμμα ποιεῖν καὶ σὺν οἴνῳ μετὰ ὕδατος καὶ διδόναι.

Περὶ ᾠοῦ. κεφ. σμ'.

Ὠὸν τὸ ἁπαλὸν τροφιμώτερον τοῦ ῥοφητοῦ. καὶ τοῦ ἁπαλοῦ τὸ σκληρόν. ἡ δὲ λέκυθος αὐτοῦ χρησίμη, πρὸς ὀφθαλμῶν περιωδυνίας. ὀπτηθεῖσα σὺν κρόκῳ καὶ ῥοδίνῳ. πρός τε τὰς περὶ δακτύλιον φλεγμονὰς καὶ κονδυλώματα, σὺν μελιλώτῳ. μετὰ ῥοὸς δὲ ἢ κηκῖδος τηγανισθεῖσα, καὶ βρωθεῖσα ἵστησι κοιλίαν. καὶ καθ' ἑαυτὴν δὲ προσψηχθεῖσα.

Περὶ λευκοῦ τοῦ ᾠοῦ. κεφ. σμα'.

Τὸ δὲ λευκὸν αὐτοῦ ὠμὸν ὂν ψύχει. ἐμπλάττει. παρηγορεῖ ἐγχυματισθὲν ἐπὶ ὀφθαλμῶν φλεγμαινόντων. κατακαύματά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι παραχρῆμα ἐπιχρισθέν. πρόσωπά τε ἀντιπίκαυστα τηρεῖ. ἀνακόλλημα δέ ἐστι ῥευματιζομένων σὺν λιβανωτῷ κατὰ τὸ μέτωπον κείμενον. φλεγμονὰς τὰς ὀφθαλμῶν πραΰνει ἐρίῳ ἀναληφθὲν μιγέντος αὐτῷ ῥοδίνου καὶ οἴνου καὶ μέλιτος. ὠμὸν δὲ ῥοφηθὲν, αἱμορροΐδος δήγμασι βοηθεῖ. ἀκροχλιαρὸν δὲ πρὸς κύστεως δηγμοὺς καὶ ἑλκώσεις νεφρῶν. καὶ τραχυσμοὺς τραχείας ἀρτηρίας. καὶ αἵματος ἀναγωγὰς καὶ καταρροίας καὶ θώρακος ῥευματισμοὺς ἁρμόζει.

Περὶ τεττίγων. κεφ. σμβ'.

Τέττιγες ὀπτοὶ ἐσθιόμενοι, τοῖς περὶ τὴν κύστιν ἀλγήμασι βοηθοῦσι.

Περὶ ἀκρίδων.

Ἀκρίδες ὑποθυμιώμεναι, δυσουρίας μάλιστα τὰς ἐπὶ γυναικῶν ὠφελοῦσι. τὴν ἢ σάρκα ἀγχέαν ἔχουσι. ἡ δὲ λεγομένη ἀκρὶς ἀσίρακος ἢ ὄνος, ἄπτερός ἐστι καὶ μεγαλό-

κωλος. πρόσφατος. ξηρανθεῖσα δὲ σφόδρα σκορπιοδήκτοις ὠφελεῖ πινομένη σὺν οἴνῳ. χρῶνται δὲ αὐτῇ κατακόρως οἱ κατὰ λιβύην λίβυες.

Περὶ φίνιδος. κεφά. σμγ'.

Φίνις τὸ ὄρνεον ὃ ῥωμαῖοι καλοῦσιν ἀσσύφραγον, τούτου ἡ κοιλία κατ' ὀλίγον ποτιζομένη, λίθους οὐρεῖσθαι ποιεῖν ἱστορεῖται.

Περὶ κορυδαλλοῦ. κεφά. σμδ'.

Κορυδαλλὸς ὀρνίθιόν ἐστι μικρόν, ἔχον κατὰ τῆς κορυφῆς ὑπεροχὴν ὥσπερ ταῶνος. οὗτος βρωθεὶς ὀπτός, κοιλιακοὺς ὠφελεῖ.

Περὶ χελιδόνος. κεφά. σμε'.

Χελιδόνος νεοσσοὺς τῆς ἐκ τῆς πρώτης νεοσσοποιΐας, αὐξομένης τῆς σελήνης ἀνατεμών, εὑρήσεις ἐν τῇ γαστρὶ λιθάρια, ἐξ ὧν δύο λαβών, ἓν ποικίλον καὶ τὸ ἕτερον καθαρόν, πρὸ τοῦ ἐπιψαῦσαι τῆς γῆς ἐνδύσας εἰς δέρμα δαμάλεως ἢ ἐλάφου, καὶ περιάψας βραχίονι ἢ τραχήλῳ, ἐπιληπτικοὺς ὠφελήσεις. πολλάκις δὲ καὶ παντελῶς ἀποκαταστήσεις. βιβρωσκόμεναι δὲ ὥσπερ αἱ συκαλίδες, ὀξυωπίας εἰσὶ φάρμακον. καὶ ἡ ἀπὸ τῶν δὲ τέφρα καὶ ἡ τῶν μητέρων καεισῶν ἐν χύτρᾳ μετὰ μέλιτος χρισθεῖσα, ὀξυδορκίαν ποιεῖ. ἁρμόζει δὲ καὶ συνάγχαις διαχριομένη. καὶ πρὸς σταφυλῆς καὶ παρισθμίων φλεγμονάς. σκελετευθεῖσαι δὲ αὗται καὶ οἱ νεοσσοί, συναγχικοὺς ὠφελοῦσι πινόμεναι μεθ' ὕδατος πλῆθος. < α'.

Περὶ ἐλέφαντος. κεφά. σμς'.

Ἐλέφαντος ὀδόντος ῥίνισμα, παρωνυχίας καταπλασθὲν θεραπεύει. δύναμιν δὲ ἔχει στυπτικήν.

Περὶ ἀστραγάλου ὑός. κεφά. σμζ'.

Ἀστράγαλος ὑὸς καεὶς μέχρις ἂν ἐκ μέλανος γένηται λευκός, καὶ λεῖος ποθείς, ἐμπνευματώσεις κώλου καὶ στρόφους χρονίους ἰᾶται.

Περὶ ἐλάφου κέρατος. κεφά. σμη'.

Ἐλάφου κέρας κεκαυμένον καὶ πεπλυμένον, ἁρμόζει πινόμενον πλῆθος δυοῖν κοχλιαρίων αἱμοπτυϊκοῖς. δυσεντερικοῖς. κοιλιακοῖς. ἰκτερικοῖς. κύστεως ἀλγήμασι μετὰ τραγακάνθης. ῥοϊκαῖς δὲ γυναιξὶ μετὰ ὑγροῦ τοῦ πρὸς τὸ πάθος ἁρμόζοντος. καίεται δὲ ἐν καμίνῳ καταβληθὲν καὶ κοπὲν εἰς ὠμὴν χύτραν περιπεπλασμένην πηλῷ, ἄχρις ἂν λευκὸν γένηται. πλύνεται δὲ ὡς καδμία. τὸ δὲ τοιοῦτον ἁρμόζει πρὸς τὰ ἐν ὀφθαλμοῖς ἕλκη καὶ ῥεύματα. καὶ ὀδόντας παρατριβόμενον σμήχει. ὠμὸν δὲ θυμιαθέν, ἑρπετὰ διώκει. ἀποζεσθὲν δὲ μετ' ὄξους καὶ διακλυζόμενον, παρηγορεῖ γομφιάσεις.

Περὶ καμπῶν. κεφά. σμθ'.

Κάμπαι αἱ ἐπὶ τῶν λαχάνων γινόμεναι, περιχριόμεναι σὺν ἐλαίῳ, ἀδήκτους ἀπὸ τῶν ἰοβόλων φυλάττειν λέγονται.

Περὶ κανθαρίδων. κεφά. σν'.

Κανθαρίδες εἰς ἀπόθεσιν εὔθετοι αἱ ἀπὸ τοῦ σίτου. ἃς βαλὼν εἰς ἀκονίτον ἀγγεῖον, καὶ τὸ στόμα περιδήσας ὀθονίῳ ἀραιῷ καθαρῷ, περικατάστρεψον ἀτμῷ ζέοντος ὄξους δριμυτάτου. καὶ ἕως ἂν πνιγῶσι κράτει. εἶτα διαπείρας λίνῳ ἀπόθεσο. ἐνεργέσταται δέ εἰσιν αἱ ποικίλαι. καὶ μηλίνας ἐγκαρσίους ζώνας ἔχουσαι ἐν τοῖς πτεροῖς. ἐπιμήκεις τὸ σῶμα. ἁδραί. ἐμπίμελοι, ὡς αἱ σίλφαι. ἄτονοι δέ εἰσιν αἱ μονόχρωμοι.

Περὶ βουπρήστου. κεφά. σνα'.

Ὡσαύτως δὲ ἀποτίθενται καὶ αἱ βουπρήστιδες, εἶδος οὖσαι κανθαρίδων. καὶ αἱ πιτυοκάμπαι. αὗται δ' εἰσὶν [illegible], θερμοσποδιᾷ φωγνύμεναι, ἐπὶ βραχὺ ἀποτίθενται. δύναμις δὲ αὐτῶν κοινή, σηπτική. ἑλκωτική. θερμή. ἑλκτική. ὅθεν μίσγονται φαρ

μάκοις

μάκοις τοῖς τῶν καρκινωδῶν καὶ λέπρας καὶ ἀλφοὺς ἀγρίους θεραπεύουσιν. ἄγουσι δὲ καὶ ἔμμηνα πεσσοῖς μαλακτικοῖς μιγεῖσαι. ἔνιοι δὲ ἱστόρησαν τὰς κανθαρίδας καὶ ὑδρωπικοῖς βοηθεῖν. μισγομένας ἀντιδότοις ὡς οὔρησιν κινούσας. οἱ δὲ, τὰ πτερὰ αὐτῶν καὶ τοὺς πόδας τοῖς πιοῦσιν αὐτὰς ἀντιφάρμακον ἀνέγραψαν.

Περὶ σαλαμάνδρας. κεφ. σξ.

Σαλαμάνδρα, εἶδός ἐστι σαύρας, ἔστι δὲ νωχελές. ποικίλον. μάτην πιστευθεῖσα μὴ καίεσθαι. δύναμιν δὲ ἔχει σηπτικήν. ἑλκωτικήν. θερμαντικήν, μίσγονται δὲ σηπτικοῖς καὶ λεπρικοῖς ὡς ἡ κανθαρίς. καὶ ἀντίθεται ὁμοίως. ψιλοῖ δὲ καὶ τρίχας τακεῖσα μετ' ἐλαίου. φυλάσσεται δὲ καὶ ἐν μέλιτι ἐξεντερισθεῖσα. τῶν ποδῶν καὶ τῆς κεφαλῆς ἀφαιρεθέντων εἰς τὴν αὐτὴν χρῆσιν.

Περὶ ἀράχνης. κεφ. σξα.

Ἀράχνη τὸ ζῶον, ὃ λύκον ἔνιοι καλοῦσι, συμμαλαχθεῖσα σπληνίῳ. καὶ ἐμπλασθεῖσα εἰς ὀθόνιον, προστεθεῖσα μετώπῳ ἢ κροτάφοις, τριταϊκὰς περιόδους ὑγιάζει. τὸ δὲ ὕφος αὐτῆς ἐπιτεθὲν αἷμα ἵστησι. καὶ ἀφλεγμάντα τηρεῖ τὰ ἐπιπόλαια τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἕτερον εἶδος ἀράχνης, κατασκευάζον τὸν ὑμένα λευκὸν λεπτὸν καὶ πυκνόν. ὃ ἱστορεῖται ἐνδούμενον εἰς κυτίδα, καὶ περιαπτόμενον βραχίονι, τεταρταϊκὰς περιόδους θεραπεύειν. συνεψηθὲν δὲ ῥοδίνῳ ὠταλγίαις βοηθεῖ ἐγχεόμενον. Περὶ σαύρας. κεφ. σξβ.

Σαύρας ἡ κεφαλὴ λεία ἐπιτεθεῖσα, σκόλοπας ἐξάγει καὶ πάντα τὰ ἐμπεπηγότα. αἴρει δὲ καὶ μυρμηκίας. καὶ ἀκροχορδόνας καὶ ἴονθους. τὸ δὲ ἧπαρ αὐτῆς ἐντεθὲν τοῖς τῶν ὀδόντων βρώμασιν, ἀπονίαν ποιεῖ. ὅλη δὲ ἀνασχισθεῖσα, καὶ ἐπιτεθεῖσα σκορπιοπλήκτοις κουφίζει.

Περὶ σηπός. κεφ. σξγ.

Σὴψ ἣν ἔνιοι σαύραν καλοῦσι χαλκιδικήν, ἐν οἴνῳ ποθεῖσα, τοὺς ὑπ' αὐτῆς δηχθέντας ἰᾶται.

Περὶ σκίγκου.

Σκίγκος ὁ μέν τίς ἐστιν αἰγύπτιος, ὁ δὲ, ἰνδικός. ἄλλος ἐν τῇ ἐρυθρᾷ γινόμενος. ἕτερος δὲ ἐν τῇ λυβίᾳ τῇ μαυρουσίᾳ εὑρίσκεται. ἔστι δὲ κροκόδειλος χερσαῖος. ἰδιογενής. ταριχευόμενος ἐν καρδάμῳ. φασὶ δὲ δύναμιν ἔχειν ποθὲν τὸ περὶ τοὺς νεφροὺς αὐτοῦ μέρος, ὅσον < πλῆθος μετ' οἴνου, ὁρμητικὴν πρὸς τὰ ἀφροδίσια. ἀποσβέννυσθαι δὲ τὴν ἐπίτασιν τῆς προθυμίας, φακοῦ ἀφεψήματι μετὰ μέλιτος πινομένῳ ἢ θρίδακος σπέρματι μεθ' ὕδατος. μίσγονται δὲ καὶ ἀντιδότοις. Περὶ τῶν τῆς γῆς ἐντέρων. κεφ. σξδ.

Γῆς ἔντερα λεῖα ἐπιτιθέμενα, νεύρων ἀποκοπὰς κολλᾷ. λύει δὲ καὶ τριταίους, ἑψηθέντα δὲ σὺν χηνείῳ στέατι, διαθέσεις ὤτων ἐγχυματιζόμενα θεραπεύει. συνεψηθέντα δὲ ἐλαίῳ τε ἐγχεόμενα εἰς τὸ ἀντικείμενον οὖς, ὀδονταλγίαις βοηθεῖ. ἄγει δὲ καὶ οὖρα λεῖα ποθέντα σὺν γλυκεῖ.

Περὶ μυογαλῆς. κεφ. σξε.

Μυογαλῆ ἀνασχισθεῖσα ἐπιτεθεῖσα, ἄκος ἐστὶ τοῦ ἰδίου δήγματος. Περὶ μυῶν. κεφ. σξς.

Μύας τοὺς κατοικιδίους ἀνασχισθέντας, σκορπιοπλήκτοις ὠφελίμως ἐπιτίθεσθαι ὁμολογεῖται. βρωθέντας δὲ ὀπτοὺς ὑπὸ παιδίων, ἀναξηραίνει τὸ ἐν τοῖς στόμασιν αὐτῶν σίελον.

Περὶ γάλακτος. κεφ. σξζ.

Γάλα κοινῶς μὲν πᾶν, εὔχυμον. τρόφιμον. μαλακτικὸν κοιλίας. φυσητικὸν στομάχου καὶ ἐντέρων. ὑδαρέστερον μέντοι τὸ ἐαρινὸν τοῦ θερινοῦ. καὶ τὸ ἀπὸ χλωρᾶς νομῆς μᾶλλον καὶ μαλακτικὸν κοιλίας. ἔστι δὲ καλὸν γάλα, τὸ λευκὸν καὶ ὁμαλὸν τῇ παχύτητι. καὶ συστρεφόμενον ἐπειδὰν ἐπισταχθῇ ὄνυχι. τὸ δὲ αἴγειον ἧττον κοιλίας ἅπτεται διὰ τὸ τὰς αἶγας τὸ πολὺ

(ον στυφοῦ-

σῃ νομῇ χελιδόνος· δρυῒ καὶ ἐλαίῳ· καὶ θαλλίᾳ. καὶ τερμίνθῳ. ὅθεν καὶ εὐστόμαχον τυγχάνει. τὸ δὲ προβάτειον ἐστὶ παχύτερον καὶ γλυκὺ. καὶ πάνυ λιπαρόν. οὐχ οὕτω δὲ εὐστόμαχον. τὸ μέν τοι βόειον καὶ ὄνειον καὶ ἵππειον, εὐκοιλιώτερα καὶ ταρακτικά. πᾶν δὲ γάλα κοιλίας καὶ στομάχου ἀναστρεπτικὸν, ὅπου ἐστὶ νομὴ σκαμμωνία. ἢ ἐλλέβορος. ἢ λινόζωστις. ἢ κληματίς. ὡς καὶ ἐν τοῖς οὐεστίνοις ὄρεσιν ὑφ᾽ ἡμῶν ἱστόρηται. αἱ γὰρ αἶγες νεμόμεναι τοῦ λευκοῦ ἐλλεβόρου τὰ φύλλα, κατὰ τὴν πρώτην ἐκβλάστησιν αὐτῶν, αὐταὶ ἐμοῦσι. καὶ τὸ γάλα ἀναστρεπτικὸν στομάχου καὶ ναυτίας ποιεῖται. ἑψηθὲν δὲ πᾶν γάλα στεγνωτικὸν γίνεται κοιλίας καὶ μάλιστα τὸ διαπύροις κόχλαξιν ἐξικμασθέν· καὶ δὴ ταῖς ἐντὸς ἑλκώσεσι βοηθεῖ· μάλιστα δὲ βρόγχου· πνεύμονος. ἐντέρων· νεφρῶν· κύστεως. καὶ πρὸς τοὺς διὰ τὰ ἐπιφανείας κνησμούς. ἐξανθήματα καὶ κακοχυμίας, δίδοται νεαρὸν μετὰ μέλιτος ὠμοῦ καὶ ὕδατος συγκραθέντος. ὀλίγου. μισγομένων καὶ ἁλῶν. ἀφυσότερον δὲ γίνεται ἀποζεθὲν ἅπαξ. τὰ δὲ τῆς κοιλίας μετὰ ἑλκώσεως ῥεύματα, ἄχρι σ' ἡμίσεος τοῖς κόχλαξιν ἑψηθὲν ὠφελεῖ.

Περὶ ὀρροῦ γάλακτος. κεφα. σξη'.

Ἔχει δὲ πᾶν γάλα παραπεπλεγμένον τὸν ὀρρόν. ὃς σχιζόμενος πρὸς κάθαρσιν εὐθετώτερος γίνεται. διδόμενος ἐφ᾽ ὧν δίχα δριμύτητος ἔκκρισιν βουλόμεθα ποιῆσαι ὡς ἐπὶ μελαγχολικῶν· ἐπιληπτικῶν· λέπρας. ἐλεφαντιάσεως. καὶ ἐξανθημάτων τῶν περὶ ὅλον τὸ σῶμα.

Περὶ σχιστοῦ γάλακτος. κεφα. σξθ'.

Σχίζεται δὲ πᾶν γάλα ζεννύμενον ἐν καινῇ χύτρᾳ κεραμίᾳ καὶ κινούμενον κλάδῳ συκῆς νεοτμήτῳ. καὶ μετὰ τὸ ζέσαι δὶς ἢ τρὶς ἐπιρραίνεται ὀξυμέλιτος κύαθος, πρὸς ἑκάστην κοτύλην τοῦ γάλακτος. οὕτω γὰρ διορίζεται ὁ ὀρρὸς τοῦ τυρώδους. δεήσει δὲ πρὸς τὸ μὴ ὑπερζέειν τὸ γάλα, ἐν τῇ ἑψήσει σπόγγῳ ἐκ ψυχροῦ συνεχῶς ἀποψᾶν τὸ χεῖλος τῆς χύτρας. καὶ ξέστην ἀργυροῦν πλήρη ὕδατος ψυχροῦ καθιέναι. ποτίζεται δὲ ὁ ὀρρὸς ἐκ διαστήματος ἀπὸ κοτύλης ἄχρι πέντε κοτυλῶν. ἐν δὲ τοῖς μεταξὺ διαστήμασι περιπατείτωσαν οἱ πίνοντες. ποιεῖ δὲ τὸ πρόσφατον γάλα καὶ πρὸς τοὺς ἀπὸ τῶν θανασίμων φαρμάκων δηγμοὺς καὶ πυρώσεις, ὡς κανθαρίδας ἢ πιτυοκάμπας, ἢ σαλαμάνδρας, ἢ βουπρήστεως ἢ ὑοσκυάμου. ἢ δορυκνίου, ἢ ἀκονίτου, ἢ ἐφημέρου. πρὸς δὲ ταῦτα μάλιστα τὸ βόειον συμφέρει ἰδίως ἁρμόζον. διακλύζεται δὲ καὶ πρὸς ἑλκώσεις στόματος καὶ παρισθμίων εἰς ἀναγαργάρισμα. ἰδίως δὲ τὸ ὄνειον διακλυζόμενον, οὖλα καὶ ὀδόντας κρατύνει. τοὺς δὲ τῆς κοιλίας μετὰ ἑλκώσεως ῥευματισμοὺς καὶ τεινεσμοὺς προβάτειον ἢ βόειον ἢ αἴγειον ἵστησιν ἑψηθὲν διὰ κοχλάκων. ἐγκλύζεται δὲ καὶ καθ᾽ αὑτὸ καὶ μετὰ πτισάνης ἢ χόνδρου χυλοῦ. ἱκανῶς πραΰνον τὴν τῶν ἐντέρων δῆξιν. ἐγκλύζεται δὲ καὶ μήτρα ἑλκουμένη.

Περὶ γυναικείου γάλακτος. κεφα. σο'.

Τὸ δὲ τῆς γυναικὸς γάλα γλυκύτατόν ἐστι καὶ τροφιμώτατον. ὠφελεῖ δὲ θηλαζόμενον, στομάχου δῆξιν καὶ φθίσιν. ἁρμόζει δὲ καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν. μιγὲν δὲ λιβανωτῷ, λείῳ ἐνστάζεται τοῖς ἐκ πληγῆς αἱμαχθεῖσιν ὀφθαλμοῖς. καὶ ποδαγρικοὺς ὠφελεῖ. σὺν μηκωνείῳ καὶ κηρωτῇ καταχριόμενον. ἀφυρὸν δὲ πᾶν γάλα σπληνικοῖς ἡπατικοῖς.

πικοῖς. σκοτωματικοῖς. ἐπιληπτικοῖς. τοῖς τὸ νευρῶδες πάσχουσι. πυρέσσουσι. κεφαλαλγοῦσι. εἰ μή ποτε καθάρσεως ἕνεκά τις προσφέρῃ τὸ χλιαρὸν ὡς ὑποδέδεικται. ἱστοροῦσι δέ τινες τὸ τῆς πρωτοτόκου κυνὸς γάλα, ψιλοῦν τρίχας καταχρισθὲν, καὶ θανασίμων φαρμάκων ἀντιφάρμακον ποθέν. καὶ τεθνηκότων ἐκβρύων ἐκβόλιον.

Περὶ τυροῦ νεαροῦ. κεφά. σοά.

Τυρὸς νεαρὸς δίχα ἁλῶν ἐσθιόμενος τρόφιμος. εὐστόμαχος. εὐανάδοτος. σαρκῶν ποιητικός. κοιλίας μετρίως μαλακτικός. διαφέρων αὐτοῦ αὐτὸς παρὰ τὴν τοῦ γάλακτος φύσιν, ἀφ᾽ οὗ σκευάζεται. ἑψηθεὶς δὲ καὶ ἐκθλιβεὶς, εἶτα ὀπτηθεὶς, σταλτικὸς γίνεται κοιλίας. ὠφελεῖ δὲ καταπλασσόμενος ὀφθαλμῶν φλεγμονὰς καὶ ὑπώπια. ὁ δὲ ἐναλὴς, εὐτροφώτερος ἐσθιόμενος. καὶ πρὸς καθαίρεσιν σαρκὸς ἐπιτήδειος. κακοστόμαχος. λυπῶν κοιλίαν καὶ ἔντερα. ὁ δὲ παλαιότερος, κοιλίας σταλτικός. καὶ ὁ ὀξ αὐτοῦ ὀρρὸς, κυνῶν τροφιμώτατος.

Περὶ ἱππάκης. κεφά. σοβ.

Ἡ δὲ καλουμένη ἱππάκη, τυρός ἐστιν ἵππειος. βρωμώδης καὶ πολύτροφος. ἀνάλογον τῷ βοείῳ. ἔνιοι δὲ ἱππάκην ἐκάλεσαν τὴν ἵππειον πιτύαν.

Περὶ βουτύρου καὶ τῆς ἐξ αὐτοῦ λιγνύος. κεφά. σογ.

Βούτυρον σκευάζεται καλὸν ἐκ τοῦ λιπαρωτάτου γάλακτος. τοιοῦτον δέ ἐστι τὸ προβάτειον. γίνεται δὲ καὶ ἐκ τοῦ αἰγείου ἐν ἀγγείοις κινουμένου τοῦ γάλακτος. καὶ χωριζομένου τοῦ λίπους. ἔχεται δὲ δυνάμεως μαλακτικῆς. ἐλαιώδους. ὅθεν κοιλίας τε ἐκλύει πλέον ποθέν. ἔστι πρὸς τὰ θανάσιμα μὴ παρόντος ἐλαίου χρήσιμον. μιχθὲν δὲ μέλιτι καὶ παρατριφθὲν, ὀδοντιάσεις ὠφελεῖ. καὶ τοὺς τῶν οὔλων ὀδαξισμοὺς ἐπὶ παίδων καὶ ἄφθας. ἔξωθεν δὲ καταπλασσόμενον, εὔτροφον καὶ ἀψεδρανίωτον τηρεῖ τὸ σῶμα. ποιεῖ δὲ καὶ πρὸς φλεγμονὰς καὶ σκληρίας ὑστέρας τὸ μὴ δυσῶδες μὴ δὲ παλαιόν. πρός τε δυσεντερίας καὶ πρὸς κώλου ἑλκώσεις ἐγκλυζόμενον. πυοποιοῖς τε μίσγεται χρησίμως. καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὰ νεῦρα καὶ μήνιγγας καὶ κύστιν καὶ τράχηλον τραυμάτων. τὸ δ᾽ αὐτὸ πληροῖ καὶ καθαίρει καὶ σαρκοῖ, καὶ τοὺς ὑπὸ ἀσπίδος δηχθέντας ἐπιτιθέμενον ὠφελεῖ. μίσγεται δὲ καὶ προσθήμασιν ἀντὶ ἐλαίου τὸ νεαρόν. καὶ ἐν τοῖς πέμμασιν, στέατος.

Συνάγεται δὲ καὶ λιγνὺς ἐκ τοῦ βουτύρου τὸν τρόπον τοῦτον. εἰς λύχνον καινὸν ἐγχέας τὸ βούτυρον ἅψον. καὶ πωμάσας ἀγγείῳ κεραμεῷ σωληνοειδεῖ κατὰ τὰ ἄνωθεν, τρήματα δὲ ἐκ τῶν ὑπὸ πόδας ἔχοντι ὥσπερ οἱ κλίβανοι, ἔα καίεσθαι. ὅταν δὲ ἀναλωθῇ τὸ πρῶτον βούτυρον, ἄλλο ἐπίχει καὶ ποίει τὸ αὐτὸ ἕως ἂν ὅσον πλῆθος βούλει αἰθαλώσῃς. εἶτα ἀπόσυρε πτερῷ καὶ χρῶ. δύναμιν δὲ ἔχει εἰς τὰ ὀφθαλμικὰ ξηραίνειν καὶ ἀποστύφειν, ἐφίστησι δὲ τὰ ῥεύματα. καὶ τὰ ἕλκη ἀπουλοῖ ταχέως.

Περὶ ἐρίων. κεφά. σοδ.

Ἔρια ῥυπαρὰ ἄριστα τὰ ἁπαλά. καὶ τὰ ἀπὸ τοῦ τραχήλου καὶ τῶν μηρῶν. ἁρμόζοντα ἐναργῶς πρὸς τραύματα. θλάσματα. ἀποσύρματα. πελιώματα, ὀστῶν κατάγματα

βρεχόμενα ὄξει καὶ ἐλαίῳ ἢ οἴνῳ. δεκτικὰ γάρ ἐστι τῶν ἐμβρεγμάτων καὶ μαλακτικὰ διὰ τὸν οἴσυπον. ποιεῖ καὶ πρὸς κεφαλαλγίας καὶ στομάχου πόνους καὶ παντὸς ἄλλου τόπου, σὺν ὄξει καὶ ῥοδίνῳ ἐπιτιθέμενον.

Περὶ ἐρίων κεκαυμένων. κεφα. σοε.

Τὰ δὲ κεκαυμένα ἔρια, δύναμιν ἔχει ἐσχαρωτικήν· ὑπερσαρκωμάτων σταλτικήν· ἀπουλωτικὴν ἑλκῶν. καίεται δὲ καθαρὰ διαξανθέντα ἐν ὠμῇ χύτρᾳ ὥσπερ τὰ λοιπά. τὸν αὐτὸν τρόπον καὶ κροκύδες καίονται θαλασσίας πορφύρας. τινὲς δὲ σὺν τῷ ῥύπῳ διαξάναντες τὰ ἔρια καὶ μέλιτι δεύσαντες, καίουσιν ὡσαύτως. ἄλλοι δὲ διαθέντες ὀβελίσκους ἐπὶ πλατυστόμου κεραμεοῦ ἀγγείου διεστῶτας ἀπ' ἀλλήλων καὶ ἐπιθέντες σχίδακας δᾳδίων ἰσχνάς, καὶ ἐπάνω θέντες τὰ ἔρια διεξασμένα καὶ βεβρεγμένα ἐλαίῳ οὕτως ὥστε μὴ ἀποστάζειν, καὶ πάλιν σχίδακας καὶ ἔρια ἐναλλὰξ τιθέντες, ἐκ τῶν δᾳδίων κούφως ὑφάπτουσι. καέντα δὲ αἴρουσι. καὶ εἴ τι λίπος ἢ πίττα ἐκ τῶν δᾳδίων ὑπερρεῖ, συναναιροῦνται καὶ ἀποτίθενται. πλύνεται δὲ εἰς τὰ ὀφθαλμικά. ἐν κεραμέῳ κρατῆρι ὕδατος ἐπιχεομένου. καὶ καταθρασσομένου εὐτόνως ταῖς χερσί. καὶ μετὰ τὸ ἀποκαταστῆναι ἀποχεομένου τοῦ ὑγροῦ, καὶ ἄλλου ἐπιχεομένου καὶ πάλιν ἀναταρασσομένου. καὶ τοῦτο γίνεται ἄχρις ἂν προσαπτόμενον τῇ γλώττῃ μὴ δάκνῃ· ποσῶς δὲ στύφῃ.

Περὶ οἰσύπου. κεφα. σοϛ'.

Οἴσυπος δὲ λέγεται τὸ ἐκ τῶν οἰσυπηρῶν ἐρίων λίπος. ὃ κατασκευάσεις οὕτως. λαβὼν ἔρια μαλακὰ οἰσυπηρὰ ἔκπλυνον. ἐσμηχισμένα θερμῷ ὕδατι. ἅμα ἐκθλίβων πᾶσαν τὴν ῥυπαρίαν, ἣν βαλὼν εἰς κρατῆρα πλατύστομον καὶ ἐπιχέας ὕδωρ ἀνάχει. ἀρυτῆρι ταράσσων ῥαγδαίως ἕως ἂν ἀφρίσῃ. ἢ ξύλῳ ἀνατάρασσε εὐτόνως, μέχρις ἂν ὁ πολὺς ἀφρὸς καὶ ῥυπαρὸς συλλεγῇ. εἶτα καταρραίνε θαλάσσῃ. καὶ ὅτε καταστῇ τὸ ἐπινηχόμενον λίπος, ἀναλάμβανε εἰς ἕτερον κεραμεοῦν ἀγγεῖον. ἐπιχέας τε ὕδωρ εἰς τὸν κρατῆρα, πάλιν τάρασσε καὶ καταρραίνε τῇ θαλάσσῃ τὸν ἀφρόν. καὶ ἀναλάμβανε. καὶ τὸ αὐτὸ ποίει ἄχρις ἂν μηκέτι ἀφρὸς ἐφίσταται δαπανηθέντος τοῦ λίπους. τὸν μέντοι ἀνῃρημένον οἴσυπον τῇ χειρὶ μαλάξας, παραχρῆμα αἴρου εἴ τινα ἔχει ἀκαθαρσίαν. στραγγίζων τὸ πρῶτον ὕδωρ καὶ ἄλλο ἐπιχέων. καὶ κινῶν τῇ χειρί. ἄχρις ἂν προσαπτόμενος τῇ γλώττῃ μὴ δάκνῃ ποσῶς δὲ στύφῃ. λιπαρός τε καὶ λευκὸς φανῇ. οὕτω δὴ ἀποτίθεσο εἰς ἀγγεῖον κεραμεοῦν. ἐν ἡλίῳ δὲ θερμῷ γινέσθω πάντα. ἔνιοι δὲ διηθήσαντες τὸ λίπος, πλύνουσιν ἐν ὕδατι ψυχρῷ ταῖς χερσὶν ἀνατρίβοντες, ὡς τὴν κηρωτὴν οἱ μυρεψοί. γίνεται δὲ ὁ τοιοῦτος λευκότερος. οἱ δὲ πλύναντες τὰ ἔρια καὶ ἐκθλίψαντες τὸν ῥύπον, ἕψουσι μεθ' ὕδατος ἐν λέβητι πυρὶ κούφῳ. καὶ τὸ ἐφιστάμενον λίπος ἀφαιροῦντες, πλύνουσιν ὕδατι ὥσπερ εἴρηται. καὶ διυλίσαντες εἰς λοπάδιον κεραμεοῦν ἔχον ὕδωρ θερμόν, λινῷ τε ῥάκει περιπωμάσαντες, τιθέασιν ἐν ἡλίῳ. μέχρις ἂν αὐτάρκως παχὺς καὶ λευκὸς γένηται. ἔνιοι δὲ διὰ δύο ἡμερῶν ἀποχέοντες τὸ πρῶτον ὕδωρ, ἄλλο ἐπιχέουσιν. ἔστι δὲ βελτίων ὁ ἀστρούθιστος καὶ λεῖος. ὄζων ἐρίων οἰσυπηρῶν. ἀνατριβόμενός τε μεθ' ὕδατος ψυχροῦ ἐν μύακι λευκαινόμενος. οὐδὲν ἔχων ἐν ἑαυτῷ σκληρὸν ἢ συνεστηκός, ὥσπερ ὁ δολιζόμενος κηρωτῇ ἢ στέατι. δύναμιν δὲ ἔχει θερμαντικήν.

πτικήν· πληρωτικὴν ἑλκῶν. μαλακτικὴν μάλιστα τῶν περὶ δακτύλιον καὶ ὑστέρας σὺν μελιλώτῳ καὶ βουτύρῳ. καὶ ἔμβρυα καὶ ἔμμηνα ἐν ἐρίῳ προστιθέμενος ἄγει, πρός τε τὰ ἐν ὠσὶ καὶ ἐν αἰδοίῳ σὺν χηνείῳ στέατι. ποιεῖ δὲ καὶ εἰς περιβεβρωμένους κανθούς. καὶ ψωρώδεις τὰ βλέφαρα τετυλωμένα καὶ τριχορροοῦντα. καίεται δὲ ἐπὶ ὀστράκου καινοῦ μέχρις ἂν τεφρωθὲν ἀποβάλῃ τὸ λίπος. συνάγεται ἡ λιγνὺς δὲ αὐτοῦ ὡς ὑπεδείξαμεν ἁρμόζουσα πρὸς τὰ ὀφθαλμικά.

## Περὶ πυτίας λαγωοῦ. κεφ. σοζ.

Πυτία λαγωοῦ ἁρμόζει σὺν οἴνῳ ὁλκὴ τριωβόλου πρὸς θηριοδήκτους καὶ κοιλιακοὺς καὶ δυσεντερικούς. καὶ πρὸς ῥοϊκὰς γυναῖκας. πρός τε αἵματος θρόμβωσιν καὶ ἀναγωγὰς τὰς ἐκ θώρακος. προστιθεμένη τε μετὰ κάθαρσιν τῇ μήτρᾳ μετὰ βουτύρου σύλληψιν ποιεῖ. πινομένη δὲ φθείρει ἔμβρυα. μετὰ δὲ τὴν ἄφεδρον ἀτόκιός ἐστιν. ἡ δὲ τοῦ ἵππου ὑπὸ ἐνίων ἱππάκη καλουμένη, ἰδίως ἁρμόζει ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν. ἐρίφου δὲ καὶ ἀρνὸς καὶ νεβροῦ καὶ δορκάδος καὶ πλατυκέρωτος καὶ δόρκου καὶ ἐλάφου καὶ μόσχου καὶ βουβάλου, ὁμοίαν ἔχουσι δύναμιν. ἁρμόζουσι πρὸς ἀκονίτου πόσιν σὺν οἴνῳ λαμβανόμεναι. καὶ πρὸς γάλακτος θρόμβωσιν μετ᾽ ὄξους. ἡ δὲ τοῦ νεβροῦ ἰδίως μετὰ τὰς καθάρσεις προστεθεῖσα ἐπὶ τρεῖς ἡμέρας, ἀτόκιόν ἐστιν. ἡ δὲ τῆς φώκης ἔοικε κατὰ τὴν δύναμιν καστορίῳ. δοκεῖ δὲ ἁρμόζειν μάλιστα ἐπιληπτικοῖς καὶ ὑστερικαῖς πνιγὶ πιεζομέναις. δοκιμάζεται δὲ εἰ ἔστι φώκης, τὸν τρόπον τοῦτον. λαβὼν πυτίαν ζώου τινός, μάλιστα δὲ ἀρνός, καὶ ἐπιχέας ὕδωρ, ἔασον βραχὺν χρόνον. εἶτα μετὰ ταῦτα ἐπίχει τὸ ἀπόβρεγμα κατὰ τῆς πυτίας τῆς φώκης. ἡ γὰρ ἀληθινὴ διαλύεται ταχέως· ἡ δὲ μὴ τοιαύτη, διαμένει ὁμοία. λαμβάνεται δὲ ἡ τῆς φώκης πυτία μήπω δυναμένων συνέχεσθαι τῶν σκύμνων. κοινῶς δὲ πᾶσα πυτία πήγνυσι μὲν τὰ διαλελυμένα. λύει δὲ τὰ συνεστῶτα.

## Περὶ στέατος. κεφ. σοη.

Στέαρ πρὸς μὲν τὰ περὶ μήτραν ἁρμόζει τὸ νεαρὸν χήνειον ἢ ὀρνίθειον. καὶ δίχα ἁλῶν τεταριχευμένον. πολέμιον δὲ ὑστέραις τὸ ἡλισμένον καὶ τὸ τῷ χρόνῳ μεταβεβληκὸς εἰς δριμύτητα. πρόσφατον δὲ λαβὼν τι τούτων καὶ ἐξυμενίσας, ἔμβαλε εἰς λοπάδα καινὴν κεραμέαν, δὶς τοσοῦτον χωροῦσαν ἢ ὅσον ἐστὶ τὸ μέλλον θεραπεύεσθαι. εἶτα θὲς εἰς ὀξύτατον ἥλιον τὸ ἀγγεῖον κεκαλυμμένον ἐπιμελῶς, τὸ ἀποτηκόμενον ἀπήθει εἰς ἕτερον ἀγγεῖον ὀστράκινον, ἕως ἂν πᾶν διαπονήσῃ. τοῦτο δὲ εἰς κατάψυχρον ἀποτίθεσο τόπον καὶ χρῶ. τινὲς δὲ ἀντὶ ἡλίου ὑπὸ ὕδατος θερμοῦ ἐπιρρέοντος τὴν λοπάδα. ἢ ἐπὶ λεπτῆς καὶ μαλακῆς ἀνθρακιᾶς. ἔστι δὲ καὶ ἄλλος τρόπος θεραπείας τοιοῦτος. μετὰ τὸ ἐξυμενισθῆναι τὸ στέαρ λεαίνεται. καὶ εἰς λοπάδα ἐμβληθὲν τήκεται. ἁλὸς ὀλίγου καὶ λεπτοῦ προσεμπλασθέντος. εἶτα διὰ ῥάκους λινοῦ διυλισθὲν ἀποτίθεται. ἁρμόζει δὲ τὸ τοιοῦτον εἰς τὰ ἄκοπα. ὕειον δὲ καὶ ἀρνεῖον θεραπεύεται οὕτως. λαβὼν τὸ πρόσφατον καὶ καταπίμελον, οἷόν ἐστι τὸ νεφριαῖον, εἰς ὕδωρ δαψιλὲς ὄμβριον ὡς ὅτι ψυχρότατον ἐξυμένισον, καὶ τρίβε ταῖς χερσὶν ἐπιμελῶς ἀνατρίβων αὐτὸ καὶ οἱονεὶ ἀναψύχων. εἶτα ἑτέρῳ ὕδατι πολλάκις ἀποκλύσας, δὸς εἰς χύτραν κεραμέαν τὸ διπλάσιον χωροῦσαν. ἐπιχέας τε ὕδωρ ὡς ὑπερέχειν τοῦ στέατος, θὲς ἐπὶ κούφης ἀνθρακιᾶς καὶ κίνει σπάθῃ. ὅταν δὲ τακῇ, διηθήσας αὐτὸ διήθησον εἰς ὕδωρ καὶ ἐάσας ψυγῆναι. πάλιν ἐξεραγγισμένον ἐπιμελῶς, ἀπόδος εἰς τὴν χύτραν προαποπλυμένην,

(ἐπιχέας τὸ ὕδωρ τῆς ζορ

πράως. καὶ καθελὼν, μικρόν τε ἐάσας τὴν τρύγα ὑποστῆναι, κατάχει εἰς θυίαν νενο-
τισμένην σπόγγῳ. ὅταν δὲ παγῇ, ἀνελόμενος καὶ τὴν ἐν τῷ πυθμένι πρὸς ἀκαθαρσίαν ἀ-
φελὼν, τῆξον ἐκ δευτέρου χωρὶς ὕδατος. καὶ κατεράσας εἰς θυίαν, καθαρείως τε ἔμ-
βαλε εἰς κεραμεοῦν ἀγγεῖον καὶ πωμάσας ἀπόθου, εἰς κατάψυχρον τόπον. τρά-
γειον δὲ καὶ προβάτειον, ἔτι δὲ καὶ ἐλάφειον, θεραπευτέον οὕτω. λαβὼν οἷον προείρη-
ται στέαρ οἱουτινοσοῦν αὐτῶν καὶ πλύνας, ὀξυμηνίσας τε ὡς προείρηται ἐπὶ τοῦ ὑείου,
δὸς εἰς θυίαν μαλάττειν. καὶ τρίβε κατὰ λίαν ὕδωρ ἐπιχέων. ἄχρις ἂν μήτε αἱμά-
λωψ ἐκκρίνηται, μήτε λίπος ἐπιπολάζῃ. λαμπρόν τε γένηται. λοιπὸν ἐμβαλὼν αὐτὸ
εἰς κεραμέαν χύτραν, καὶ προσεπιβαλὼν ὕδωρ ὥστε ὑπερέχειν, θὲς ἐπὶ κούφης ἀνθρα-
κιᾶς καὶ κίνει. ὅταν δὲ τακῇ ἅπαν, κατεράσας αὐτὸ εἰς ὕδωρ καὶ ψύξας, πλύνας
τε τὴν χύτραν ἐκ δευτέρου τῆκε. καὶ τὰ αὐτὰ τοῖς προειρημένοις ποίει. τὸ δὲ τρίτον χω-
ρὶς ὕδατος τήξας, εἰς νενοτισμένην θυίαν ἀπήθησον. καὶ ψυγὲν ἀποτίθεσο ὡς ἐλέχθη ἐπὶ
τοῦ ὑείου. καὶ τοῦ βοείου δὲ στέατος ὀξυμηνιστέον τὸ νεφρίδιον καὶ θαλάττῃ πελαγίᾳ πλυ-
τέον, εἶτα εἰς ὅλμον ἐμβλητέον καὶ κοπτέον ἐπιμελῶς, ἐπιρραινομένης τῆς θαλάτ-
της. ὅταν δὲ διαλυθῇ ἅπαν, ἐμβλητέον αὐτὸ εἰς χύτραν κεραμέαν. καὶ θάλασσαν ἐπι-
χυτέον ὅσον ὑπερέχειν μὴ ἔλαττον σπιθαμῆς. ἑψητέον τε ἄχρις αὐτὸ ἰδίαν ὀσμὴν ἀποβά-
λῃ. εἶτα πρὸς μίαν μνᾶν ἀττικὴν τοῦ στέατος, κηροῦ τυρρηνικοῦ ὁλκὰς τέτταρας
ἐμβλητέον καὶ διηθητέον. ἀφαιρετέον δὲ τὴν προσκαθημένην ἐν τῷ πυθμένι ἀκα-
θαρσίαν. καὶ εἰς λοπάδα καινὴν ἀποθετέον. εἴς τε ἥλιον καθημέραν κομιστέον περιε-
στεγασμένον, ὅπως ἀπολευκανθῇ, καὶ δυσωδίαν ἀποβάλῃ. τὸ δὲ ταύρειον θεραπευτέ-
ον οὕτω. λαβὼν καὶ τοῦδε τὸ πρόσφατον καὶ νεφρίδιον ἔκπλυνον ποταμίῳ ῥεύματι.
ὀξυμηνίσας τε δὸς εἰς χύτραν κεραμέαν καινὴν, ἅλας ὀλίγον προσεμπάσας. καὶ τῆκε.
εἶτα εἰς ὕδωρ διαυγὲς ἀπηθήσας ὅταν ἀρχὴν λαμβάνῃ πήξεως, ταῖς χερσὶ πάλιν ἐκ τρί-
βων σφοδρῶς πλῦνον. τοῦ μὲν ἀπεχομένου ὕδατος, τοῦ δὲ ἐπιχεομένου. ἄχρις ἂν πλυθῇ κα-
λῶς. καὶ πάλιν εἰς χύτραν ἐμβαλὼν ἕψε μετ᾽ οἴνου ἴσου εὐώδους. ὡς δ᾽ ἂν ζέσῃ δὶς, ἄρας ἀπὸ
τοῦ πυρὸς τὴν χύτραν, ἔασον νυκτερεῦσαι τὸ στέαρ ἐνθάδε. τῇ δὲ ἐχομένῃ ἐάν τι τῆς δυσωδίας
ὑπολείπηται, ἀνελόμενος τὸ προειρημένον εἰς ἑτέραν χύτραν καινὴν, προσεπίχει οἴνου εὐώ-
δους. καὶ τὰ αὐτὰ τοῖς προειρημένοις ποίει. ἕως ἂν ἅπασαν τὴν δυσωδίαν ἀποβάλῃ. τί-
θεται δὲ καὶ χωρὶς ἁλῶν ἐπ᾽ ἐνίαις διαθέσεσιν ἐν αἷς οὗτοι ἐναντιοῦνται. γίνεται μέντοι
τὸ οὕτω σκευασθὲν οὐκ ἄγαν λευκόν. ὡσαύτως δὲ καὶ παρδάλειον σκευαστέον καὶ λε-
όντειον. ἀρωματιστέον δὲ στέαρ μόσχειον καὶ ταύρειον. ἔτι δὲ ἐλάφειον. καὶ μυελὸν τὸν
δὲ τοῦ ζώου τὸν τρόπον τοῦτον. ὀξυμηνίσας τὸ μέλλον εὐωδιάζεσθαι καὶ πλύνας ὡς
προείρηται καὶ ζέσας οἴνῳ ἀθαλάσσῳ τε καὶ εὐώδει, εἶτα ἀνελόμενος καὶ ἐννυκτερεῦ-
σαι ἀφείς, ἕτερον οἶνον ἐκ τοῦ αὐτοῦ γένους ἐπιχέων, τοσοῦτον τὸ πλῆθος ὅσος ἦν ὁ ἔμ-
προσθεν δοθείς, καὶ τήξας ἀφυλίσας τε ἐπιμελῶς πρὸς κοτύλας ἐννέα τοῦ στέατος
ἔμβαλε σχοίνου ἀραβικῆς ὁλκὰς ζ. ἐὰν δὲ εὐωδέστερον ποιῆσαι ἐθέλῃς, τοῦ αὐτοῦ ὁλ-
κὰς μ. προσαποδοὺς δὲ καὶ φοίνικος καὶ κασίας καὶ καλάμου τὰς ἴσας ὁλ-
κάς. ἀσπαλάθου τε καὶ ξυλοβαλσάμου ἀνὰ ὁλκὴν μίαν. μίξον δὲ καὶ κινναμώ-
μου καὶ καρδαμώμου καὶ νάρδου ἀνὰ οὐγγίαν μίαν. πάντα δὲ ἔστω ὁλοσχερέστερα κε-
κομμένα. εἶτα ἐπίχει οἶνον εὐώδη. καὶ ὑπερθεὶς ἐπ᾽ ἀνθράκων πεπωματισμένον τὸ ἀγ-

γεῖον

γεῖον. καὶ σύζεσον τρίς. ἄρας τε ἀπὸ τοῦ πυρὸς ἔασον νυκτερεῦσαι αὐτό. τῇ δ' ἐχομένῃ ἀπόχει τὸν οἶνον καὶ ἄλλον ἐπιδοὺς τοῦ αὐτοῦ γένους, σύζεσον ὁμοίως ἕως τρὶς ἀφεψήσας. πρωὶ δὲ ἀνελόμενος τὸ στέαρ, ἀπόχει τὸν οἶνον. ἐκπλύνας τε τὸ ἀγγεῖον καὶ καθάρας τὸ πρὸς τῷ πυθμένι καὶ τήξας, διυλίσας τε αὐτὸ ἀπόθου καὶ χρῶ. ἀρωματίζεται δὲ καὶ τὸ τεθεραπευμένον τὸν αὐτὸν τρόπον. προσυφίσταται δὲ τὰ προειρημένα στέατα πρὸς τὸ ῥᾳδίως δέξασθαι τὴν τῶν ἀρωμάτων δύναμιν οὕτω. λαβὼν αὐτῶν ὅτι ἂν βούλοιο, ζέσον ἅμα οἴνῳ συγκαθεὶς μυρσίνης κλάδον. ἕρπυλλόν τε καὶ κύπειρον, ἔτι δὲ ἀσπάλαθον ὁλοσχερέστερον κοπέντα. τινὲς δὲ ἑνὶ τούτων ἀρκοῦνται τῇ χρήσει. ὅταν δὲ εἰς τρίτον ἀναζέσῃ, ἀνελόμενος πράως καὶ διὰ ὀθόνης ὑλίσας, ἀρωμάτιζε ὡς δεδήλωται. ἔτι δὲ καὶ οὕτω προσυφίστανται στέατα. κόψας ὅ,τι ἂν αὐτῶν ἐθέλῃς, πρόσφατον δὲ καὶ ἀμιγὲς αἵματος, τούτ' ἄλλα ἔχον ἃ πολλάκις εἴρηται, ἔμβαλε εἰς λοπάδα καινήν. ἐπιχέας τε οἶνον λευκὸν εὐώδη παλαιόν, ὡς ὑπερέχειν δακτύλους ὀκτώ, σύζεσον ἐλαφρῷ χρώμενος πυρὶ ἕως τὴν σύμφυτον ὀσμὴν ἀποβάλῃ καὶ μᾶλλον οἰνίζῃ. εἶτα καθελὼν τὸ ἀγγεῖον καὶ ψύξας, ἀνελοῦ στέατος μνᾶς β'. καὶ βαλὼν εἰς λοπάδα προσεπιδοὺς τε τοῦ αὐτοῦ οἴνου κοτύλας δ'. καὶ λωτίνου καρποῦ, οὗ τὰ ξύλα οἱ αὐλοποιοὶ παραλαμβάνουσι κεκομμένου, μνᾶς δ', ἕψε πυρὶ κούφῳ διηνεκῶς κινῶν. ὅταν δὲ τὴν στεατώδη ἀποφορὰν ἀποβάλῃ πᾶσαν, διυλίσας αὐτὸ ψῦχε. καὶ λαβὼν ἀσπαλάθου κεκομμένου μνᾶν μίαν, ἀμαρακίνου δὲ ἄνθους μνᾶς τέτταρας, οἴνῳ φύρασον παλαιῷ. καὶ ἔασον μίαν νύκτα πιεῖν. τῇ δὲ ἐχομένῃ εἰς χύτραν κεραμίαν τριχοινικιαίαν καινήν, καθεὶς αὐτὰ καὶ τὸ στέαρ. προσεπιδοὺς δὲ καὶ χοὸς ἥμισυ οἴνου. καὶ σύζεσον ἅπαντα ὁμοῦ. ἕως ἂν τὴν δύναμιν καὶ τὴν ὀσμὴν τῶν σμημάτων ἀναλάβῃ τὸ στέαρ. καθελὼν αὐτὸ καὶ διυλίσας, τῆξον καὶ ἀπόθου. ἐὰν δὲ εὐωδέστερον ποιῆσαι θέλῃς, μίσγε σμύρνης φλιπυρωτάτης ὁλκὰς η'. οἴνῳ δεδευμένας πολυετεῖ. τὸ δὲ ὀρνίθειον καὶ χήνειον στέαρ οὕτως ἂν εὐωδιασθῇ. λαβὼν οἱουτινοσοῦν αὐτῶν τεθεραπευμένου κοτύλας δ'. καὶ καθεὶς εἰς ὀστρακίνην χύτραν, πρόσμιξον ἐρυσισκήπτρου καὶ ξυλοβαλσάμου. ἔτι δὲ φοίνικος ἐλάτης καὶ καλάμου ὁλοσχερῶς κεκομμένου ἀνὰ < ιβ'. ἐπιδοὺς τε οἴνου Λεσβίου παλαιοῦ κυάθον α', ἐπ' ἀνθρακιᾶς σύζεσον τρίς. εἶτα ἀνελόμενος ἀπὸ τοῦ πυρὸς τὸ ἀγγεῖον, καὶ ἐάσας ψυχῆναι τὰ ἐν αὐτῷ ἡμέραν μίαν καὶ νύκτα, τῇ ἐχομένῃ τῆξον αὐτὰ καὶ διὰ ῥάκους λινοῦ καὶ καθαροῦ ὕλισον εἰς καθαρὸν ἀγγεῖον. ὅταν δὲ παγῇ ἀνελόμενος κέγχρῳ τὸ προειρημένον εἰς κεραμεοῦν ἀγγεῖον βάλε καινόν. καὶ πωμάσας στεγανῶς, ἀπόθου ἐν κατα ψυχρῷ τόπῳ. χειμῶνος δὲ ταῦτα δραστέον. ἐν γὰρ θέρει οὐ πήγνυνται. τινὲς δὲ πρὸς τὴν σύστασιν αὐτῶν καὶ τὴν πῆξιν, βραχὺ κηροῦ τυρρηνικοῦ μίσγουσι. τῷ δ' αὐτῷ τρόπῳ ἀρωματίζεται καὶ τὸ ὕειον. ἀρνειόν τε καὶ τὰ ὅμοια. σαμψυχίζεται δὲ στέαρ οὕτω. λαβὼν τοῦ καλῶς τεθεραπευμένου ὕσσον μνᾶν μίαν, ἔστω δὲ μᾶλλον ταύρειον, καὶ σαμψύχου ἀρίμου πεπλασμένου, ἐπιμελῶς μνᾶν μίαν ἥμισυ, μίξον καὶ μαγίδας ἀνάπλασον, ἐπιρραίνων δαψιλέστερον οἶνον. εἶτα ἀποθέμενος αὐτὰς εἰς ἀγγεῖον καὶ σκεπάσας, ἔασον νυκτερεῦσαι. πρωὶ δὲ εἰς κεραμέαν χύτραν ἐμβαλών, καὶ ὕδωρ ἐπιχέας, ἕψε κούφως. ὅταν δὲ τὴν ἰδίαν ὀσμὴν ἀποβάλῃ τὸ στέαρ, διυλίσας αὐτὸ καὶ ἐάσας μεῖναι ὅλην τὴν νύκτα πεπωμασμένον καλῶς, τῇ ἐπιούσῃ ἀνελόμενος τὸν τροχίσκον, καὶ

(προσαποψύξας τὴν ἐν τῷ

πυθμένι ῥυπαρίαν, μίξον πάλιν σαμψύχου κεκομμένου ὡς εἴρηται ἄλλην μνᾶν μίαν ἥμισυ, καὶ ὡσαύτως ἀναπλάσαι μαγίδας. ποιοῦ καὶ τὰ ἄλλα ἃ προείρηται. ἐπὶ πᾶσι δὲ ἑψήσας καὶ διυλίσας, ἀφελών τε, εἴ τις ἐν τῷ πυθμένι ῥυπαρία ὑπάρχει, ἀπόθου ἐν ἀγγείῳ καταψύχρῳ τόπῳ. εἰ δὲ ἀθεράπευτον στέαρ ἢ χήνειον ἢ ὀρνίθειον ἢ μόσχειον θέλοις ἄσηπτον διατηρῆσαι, οὕτω ποίει τοῦτο. λαβὼν πρόσφατον ὁποῖον ἂν βούλοιο, ἐκπλύνον ἐπιμελῶς, καὶ διαψύξας ἐπὶ κοσκίνου ἐν σκιᾷ μετὰ τὸ ξηρανθῆναι, ἔμβαλε εἰς ὀθόνην καθαράν· καὶ ταῖς χερσὶν ἐκπίεσον βιαίως. εἶτα λίνῳ διείρας κρέμασον ἐν τόπῳ σκιερῷ· μετὰ δὲ ἡμέρας πολλὰς καινῷ ἀποδήσας χάρτῃ, ἀπόθεσο ἐν καταψύχρῳ τόπῳ. ἄσηπτα διαμένει καὶ ἐν μέλιτι ἀποτεθέντα. δύναμιν δὲ ἔχει τὰ στέατα πάντα θερμαντικήν· μαλακτικήν. ἀρωματικήν. τὸ μέντοι ταύρειον στύφει ποσῶς. καὶ τὸ βόειον. καὶ τὸ μόσχειον. καὶ τὸ λεόντειον δὲ ἀναλογεῖ τούτοις. φασὶ δὲ αὐτὸ καὶ ἀντιφάρμακον τοῖς ἐπιβουλεύουσιν εἶναι. τὸ δὲ ἐλεφάντειον καὶ ἐλάφειον, ἑρπετὰ διώκει καταχριόμενον. τὸ δὲ αἴγειον στυπτικώτερον. ὅθεν δυσεντερικοῖς δίδοται σὺν ἀλφίτῳ καὶ ῥοῒ καὶ τυρῷ καθεψόμενον. ἐγκλύζεταί τε μετὰ τοῦ πτισάνης χυλοῦ. εὐθετεῖ δὲ φθισικοῖς ἐν ῥοφήμασιν ὁ ἐξ αὐτοῦ ζωμός. καὶ τοῖς κανθαρίδας πεπωκόσιν ὠφελίμως δίδοται. τὸ δὲ τράγειον διαλυτικώτερον ὄν, βοηθεῖ ποδαγρικοῖς. φυραθὲν σὺν αἰγὸς σπυράθοις καὶ κρόκῳ καὶ ἐπιτιθέμενον. καὶ τὸ προβάτειον δὲ ἀναλογεῖ τούτῳ. ὕειον δὲ ἀναλογεῖ τοῖς περὶ ὑστέρας καὶ ἕδρας. ὃ καὶ πυρικαύτοις ἁρμόζει. τὸ δὲ ταριχηρὸν ὕειον ὡς ὅτι παλαιότατον, θερμαντικὸν καὶ μαλακτικόν, οἴνῳ δὲ πλυθὲν ἁρμόζει πλευριτικοῖς. σὺν τέφρᾳ ἢ ἀσβέστῳ ἀναληφθέν. καὶ πρὸς οἰδήματα καὶ φλεγμονὰς καὶ σύριγγας. τὸ δὲ ὄνειόν φασιν οὐλὰς ὁμοχρόους ποιεῖν. χήνειον δὲ καὶ ὀρνίθειον πρὸς τὰ γυναικεῖα. ἐπὶ ῥαγάδας χειλῶν καὶ προσώπων ἐπιμέλαν καὶ ὠταλγίας ἁρμόζει. τὸ δὲ ἄρκειον δοκεῖ τριχοφυὲς εἶναι ἀλωπεκιῶν. καὶ χιμεθλιῶσιν ἁρμόζει. τὸ δὲ τῆς ἀλώπεκος στέαρ πρὸς ὠταλγίας. τὸ δὲ τῶν ποταμίων ἰχθύων ὀξυδερκὲς ἐγχριόμενον, ἀποτακὲν ἐν ἡλίῳ καὶ μέλιτι μιχθέν. τὸ δὲ τῆς ἐχίδνης πρὸς ἀμβλυωπίας. ἔτι δὲ ὑποχύσεις ἐνεργεῖ. μιγὲν κεδρίᾳ καὶ μέλιτι ἀττικῷ. καὶ ἐλαίῳ παλαιῷ ἴσοις. ἐκτιλθείσας δὲ τὰς ἐν μασχάλῃ τρίχας, πρὸς τὰς ῥίζας καταχρισθὲν καθ᾿ ἑαυτὸ πρόσφατον, δυστήλους ποιεῖ.

Περὶ μυελῶν. σοβ΄.

Μυελῶν δὲ κράτιστος ἐστὶν ἐλάφειος. εἶτα μόσχειος. καὶ μετὰ τοῦτον ταύρειος. εἶτα αἴγειος καὶ προβάτειος. συνίσταται δὲ θέρους τοῦ συνεγγίζοντος τῷ φθινοπώρῳ. ἐν δὲ τοῖς ἄλλοις καιροῖς, αἱμαλωπὴς καὶ οἱονεὶ σὰρξ εὕρυπτος ἐν τοῖς ὀστέοις εὑρίσκεται. ἔστι δὲ δύσγνωστος ἐὰν μή τις αὐτὸν ὀστεΐσας ἴδῃ καὶ ἀπόθηται. ἅπαντες δὲ εἰσὶ μαλακτικοί. ἀραιωτικοί. θεραπευτικοί. πληρωτικοὶ ἑλκῶν. ὁ δὲ ἐλάφειος περιχρισθεὶς καὶ θηρία διώκει. θεραπεύεται ὁ πρόσφατος μαλαχθεὶς ὡς στέαρ παραχεόμενον ὕδατι ἐκλεπομένον τῶν ὀστέων. εἶτα διὰ ὀθόνης ὑλισθεὶς καὶ ὡσαύτως πλυθεὶς, ἄχρις ἂν τὸ ὕδωρ καθαρὸν γένηται. ἔπειτα σὺν δὲ πλώματι τακεὶς, ἐπαναλειφθείσης τῆς ἐπινηχομένης ῥυπαρίας, καὶ διυλισθεὶς εἰς θυίαν μετὰ τὸ παγῆναι, ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ. ἀπεξυσμένης ἐπιμελῶς τῆς ὑποστάθμης. εἰ δὲ ἀθεράπευτον ἀποτίθεσθαι βούλει, ποίει πάντα ὡς ἐπὶ τοῦ ὀρνιθείου καὶ χηνείου στέατος ὑπεδείξαμεν.

Περὶ χολῆς πάσης. κεφά. σογ΄.

Χολὴ πᾶσα ἀποτίθεται τούτῳ τῷ τρόπῳ. λαβὼν τὴν πρόσφατον καὶ ἀποδήσας τὸ στόμα

αὐτῆς

αὐτῆς λίνῳ, καθεὶς εἰς ὕδωρ ζέον· διαλιπὼν, χρόνον τοσοῦτον, ὅσον αὐτῆς τριῶν σταδίων δρόμον ἀνύσαι. εἶτα ἐξελὼν, ξήραινε ἐν τόπῳ σκιερῷ καὶ ἀνοτίσῳ. τὰς δὲ εἰς τὰ ὀφθαλμικὰ λίνῳ ἀποδήσας, βάλε εἰς βυκίον ὑελοῦν ἔχον μέλι. καὶ τὴν ἀρχὴν τοῦ λίνου περιδήσας τῷ στόματι τοῦ βυκίου, πωμάσας ἀπόθου. εἰσὶ δὲ πᾶσαι αἱ χολαὶ δριμεῖαι θερμαντικαὶ τῷ μᾶλλόν τε καὶ ἧττον κατὰ δύναμιν ἀλλήλων διαφέρουσαι. δοκοῦσι δὲ ἐπιτετάσθαι ἥ,τε τοῦ θαλασσίου σκορπίου καὶ ἰχθύος τοῦ λεγομένου καλλιωνύμου. χελώνης τε θαλασσίας καὶ ὑαίνης. ἔτι δὲ πέρδικος καὶ ἀετοῦ. καὶ ἀλεκτορίδος λευκῆς. καὶ αἰγὸς ἀγρίας. ἰδίως ἁρμόζουσαι πρὸς ἀρχομένας ὑποχύσεις καὶ ἀχλῦς. ἀργῆμά τε καὶ τραχέα βλέφαρα. ἡ δὲ τοῦ προβάτου καὶ τοῦ τράγου καὶ τοῦ συὸς, ἔτι δὲ ἄρκτου, ἐμπρακτικωτάτη ἐστὶν ἡ ταυρεία. πᾶσαι δὲ προθυμίαν πρὸς διαχώρησιν ἐργάζονται. καὶ μᾶλλον παιδίων, ἐάν τις κηρωνίδα βάψας προσθέῃ τῷ δακτύλῳ. ἡ δὲ ταυρεία ἰδίως ἐπὶ συναγχικῶν διαχρίεται σὺν μέλιτι. ἀποθεραπεύει τε τὰς ἐν δακτύλῳ μέχρις οὐλῆς. πυορροοῦντά τε ὦτα. καὶ τὰς ἐπὶ ὤτων ῥήξεις σὺν γάλακτι αἰγείῳ ἢ γυναικείῳ, ἐνσταζομένη. πρὸς δὲ συριγμοὺς σὺν πράσου χυλῷ. ἔστι τοῖς τραυματικοῖς ἐμπλάστροις μιγνυμένη, καὶ θηριακοῖς περιχρίστοις. καὶ πρὸς φαγεδαινικὰ ἕλκη καὶ ὀδύνας αἰδοίου. καὶ ὄρχεων σὺν μέλιτι. πρὸς δὲ λέπρας καὶ πίτυρα, σὺν νίτρῳ ἢ γῇ κιμωλίᾳ σμῆγμα κράτιστον. καὶ ἡ προβατεία δὲ πρὸς αὐτὰ καὶ ἡ ἀρκεία. ἐνδεέστεραι δὲ τυγχάνουσιν. ἐκλειχομένη δὲ ἡ ἀρκεία ἐπιληπτικοὺς ὠφελεῖ. ἡ δὲ τῆς χελώνης πρὸς συνάγχας καὶ τὰς ἐπὶ τῶν παίδων νομὰς ἐν στόματι. καὶ ἐπιληπτικοῖς ἐντεθεῖσα ταῖς ῥισίν. αἰγὸς δὲ ἀγρίας ἰδίως νυκτάλωπας θεραπεύει ἐγχριθεῖσα. καὶ ἡ τοῦ τράγου δὲ τὸ αὐτὸ ποιεῖ. θύμιά τε αἴρει. καὶ τὰς ἐπὶ τῶν ἐλεφαντιώντων ὑπεροχὰς καταχριομένη, καταστέλλει. ἡ δὲ ὑεία πρὸς τὰ ἐν ὠσὶν ἕλκη καὶ πρὸς τὰ λοιπὰ πάντα ὠφελίμως παραλαμβάνεται.

## Περὶ αἱμάτων. κεʹ. σπα.

Αἷμα χηνὸς καὶ ἐλάφου καὶ ἐρίφου, ἀντιδότοις χρησίμως μίγνυται. φάσσης δὲ καὶ τρυγόνος καὶ περιστερᾶς καὶ πέρδικος, εἰς προσφάτους ὀφθαλμῶν τρώσεις καὶ ὑποσφάγματα αἵματος καὶ νυκτάλωπας ἐγχρίεται. ἰδίως δὲ τὸ τῆς περιστερᾶς, αἱμορραγίας τὰς ἐκ μηνίγγων ἐπέχει. τὸ δὲ τράγειον καὶ αἰγὸς καὶ ἐλάφου καὶ λαγωοῦ, ὀπτὸν ἀπὸ τηγάνου λαμβανόμενον, δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐφίστησι. μετ' οἴνου δὲ ποθὲν πρὸς τοξικὰ ποιεῖ. τὸ δὲ τῶν λαγωῶν θερμὸν καταχριόμενον, ἐφηλίδας καὶ φακοὺς θεραπεύει. καὶ τὸ ἀπὸ τῶν κυνῶν ἢ ποθὲν, λυσσοδήκτοις καὶ τοξικὸν πεπωκόσιν ἁρμόζει. τὸ δὲ τῆς χερσαίας χελώνης ποθὲν, ἐπιληπτικοῖς ἱστορεῖται ἁρμόζειν. θαλασσίας δὲ χελώνης σὺν οἴνῳ καὶ πυτίᾳ λαγωοῦ καὶ κυμίνῳ πινόμενον, ἁρμόζει πρὸς θηριοδήγματα καὶ φρύνου πόσιν. ταύρου δὲ αἷμα διαφορεῖ καὶ μαλάσσει σκληρίας καταπλασσόμενον μετὰ ἀλφίτων. τὸ δὲ τῶν ὀχευτῶν ἵππων σηπτικοῖς μίγνυται. τὸ δὲ τοῦ χαμαιλέοντος, τρίχας ψιλοῦν ἐπὶ τῶν βλεφάρων πεπίστευται. καὶ τὸ τῶν χλωρῶν βατράχων ὁμοίως. γυναικὸς δὲ τὸ ἐπιμήνιον περιαλειφόμενον καὶ ὑπερβαινόμενον, ἀσυλλήπτους δοκεῖ ποιεῖν γυναῖκας. ποδαγρικὰς δὲ γυναῖκας καὶ ἐρυσιπέλατα κουφίζειν καταχριόμενον.

## Περὶ ἀποπάτων. κεʹ. σπβ.

Ἀπόπατος βοὸς νομάδος πρόσφατος ἐπιτεθεὶς, φλεγμονὰς τὰς ἐκ τραυμάτων πραΰνει. ἐνειλεῖται δὲ φύλλοις καὶ θερμαίνεται ἐπὶ θερμοσποδιᾶς. καὶ οὕτως ἐπιτίθεται.

καὶ ἰσχιάδος δὲ πυρίας πραϋντικὴ ἡ τοιαύτη ἐπίθεσις. σὺν ὄξει δὲ καταπλασθεῖσα, σκληρίας καὶ χοιράδας διαλύει καὶ φύματα. ἰδίως δὲ ἄρρενος βοὸς βόλβιτον ὑστέρας προπεπτωκυίας ὑποθυμιώμενον, ἀποκαθίστησι. διώκει δὲ καὶ κώνωπας θυμιαθέν. αἰγῶν δὲ ἡ σπύραθος μάλιστα ὀρείων, πινόμεναι σὺν οἴνῳ, ἴκτερον ἀποκαθαίρουσι. σὺν ἀρώματι δὲ ποθεῖσαι ἔμμηνα κινοῦσι, καὶ ἔμβρυα ἐκβάλλουσι. ξηραὶ δὲ λεῖαι σὺν λιβανωτῷ προστεθεῖσαι ἐν ἐρίῳ, γυναικείου ῥοῦν ἐπέχουσι. καὶ τὰς ἄλλας αἱμορραγίας σὺν ὄξει στέλλουσι. καεῖσαι δὲ ἀλωπεκίας θεραπεύουσι, μετ' ὄξους ἢ ὀξυμέλιτος καταχριόμεναι. σὺν ὀξυμέλιτι δὲ ἢ καταπλασσόμεναι, ποδαγρικοὺς ὠφελοῦσιν. ἑψηθεῖσαι δὲ μετ' ὄξους ἢ οἴνου, ἐπιτίθενται πρὸς ἑρπετῶν δήγματα καὶ ἕρπητας, καὶ ἐρυσιπέλατα καὶ παρωτίδας. καὶ ἐπὶ ἰσχιαδικῶν δὲ ἡ δι' αὐτῶν καῦσις ὠφελίμως παραλαμβάνεται τοῦτον τὸν τρόπον. ἐπὶ τοῦ μεταξὺ μέρους τοῦ ἀντίχειρος, συνεγγίζον δὲ τῷ καρπῷ κοῖλον, προϋποθεὶς ἔριον ἐλαίῳ βεβρεγμένον, ἐπιτίθει κατὰ μίαν τῶν σπυράθων πυρίων, ἄχρις ἂν ἡ αἴσθησις διὰ τοῦ βραχίονος ἐπὶ τὸ ἰσχίον ἔλθῃ καὶ παύσῃ. καλεῖται δὲ ἡ τοιαύτη καῦσις ἀραβική. ἡ προβάτων δὲ ἄφοδος σὺν ὄξει καταπλασθεῖσα, ἐπινυκτίδας, ἥλους, θύμους, ἀκροχορδόνας ἰᾶται. πυρίκαυτα δὲ κηρωτῇ ῥοδίνῃ ληφθεῖσα. ὑὸς δὲ ἀγρίου ξηρὰ μεθ' ὕδατος ἢ οἴνου ποθεῖσα, αἷμα τὸ ἀναγωγὴν ἴσχει. καὶ χρόνιον ἄλγημα πλευρᾶς πραΰνει. ῥήγματα δὲ καὶ σπάσματα μετ' ὄξους πινομένη. στρέμματα δὲ θεραπεύει ἀναληφθεῖσα κηρωτῇ ῥοδίνῃ. ὄνων δὲ καὶ ἡ τῶν ἵππων, αἱμορραγίας ἵστησιν. ὠμή τε καὶ κεκαυμένη ὄξει μιγεῖσα. ἡ δὲ τοῦ ὄνου ἀγέλης ὄντος χορτοφάγου, ξηρὰ χυλισθεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα, σκορπιοπλήκτοις σφόδρα βοηθεῖ. περιστερᾶς δὲ, θερμαντικωτέρα καὶ καυστικωτέρα· χρησίμως ὠμηλύσει μιγνυμένη. σὺν ὄξει δὲ χοιράδας διαφορεῖ. ἄνθρακάς τε περιρρήγνυσι σὺν μέλιτι καὶ λινοσπέρμῳ καὶ ἐλαίῳ λεανθεῖσα. πυρίκαυτά τε θεραπεύει. καὶ ἡ τῶν ἀλεκτορίδων δὲ ταυτὰ ποιεῖ. ἐνδεέστεροι μέντοι. πλὴν ἰδίως πρὸς μύκητας θανασίμους καὶ κώλου ἀλγήματα ἁρμόζει μετ' ὄξους ἢ οἴνου πινομένη. πελαργοῦ δὲ σὺν ὕδατι ποθεῖσα, ἐπιληπτικοῖς ἁρμόζειν πιστεύεται. γυπὸς ὑποθυμιαθεῖσα, ἔμβρυα ἐκτινάσσειν παραδέδοται. μυῶν, λεῖα σὺν ὄξει ἀλωπεκίας καταχριομένη θεραπεύει. σὺν λιβανωτῷ δὲ καὶ οἰνομέλιτι πινομένη, λίθους ἐκκρίνει. προστιθέμενα δὲ παιδίοις τὰ μυόχοδα κοιλίαν πρὸς ἔκκρισιν ἐρεθίζει. κυνὸς δὲ ἡ ἐν τοῖς κυνοκαύμασι ληφθεῖσα, ξηρὰ πινομένη μεθ' ὕδατος ἢ οἴνου, κοιλίαν ἵστησιν. ἡ δὲ τῶν ἀνθρώπων πρόσφατος καταπλασθεῖσα, ἀφλέγμαντα μετὰ τὸ περικολλᾶν φυλάττει τὰ τραύματα. ξηρὰ δὲ μετὰ μέλιτος διαχριομένη ἐπὶ συναγχικῶν, βοηθεῖν παραδέδοται. ἡ δὲ τοῦ χερσαίου κροκοδείλου, ἁρμόζει ἐπὶ τῶν γυναικῶν, πρὸς εὐχροιαν καὶ στίλβωσιν τῶν προσώπων. καλλίστη δὲ ἐστὶν ἡ λευκοτάτη καὶ εὔθρυπτος, κούφη τε ὥσπερ ἄμυλον. ταχέως τε χυλουμένη ὑπὸ ὑγροῦ. διατριβεῖσά τε ὑπόξινος καὶ ζυμίζουσα τὴν ὀσμήν. δολίζουσι δὲ αὐτὴν, ψᾶρας ὀρύζῃ τρέφοντες, καὶ τὴν ἄφοδον ὁμοίαν οὖσαν πωλοῦντες. οἱ δὲ, ἄμυλον ἢ κιμωλίαν φυρῶντες, καὶ χρώζοντες ἐπ' ὀλίγον, διὰ ἀραιοῦ κοσκίνου, εἰς ὀλίγον ἀπηθοῦσι. καὶ ξηράναντες ὡς σκωλήκια πωλοῦσιν ἀντὶ ταύτης. ἀνθρώπων δὲ ξηρὰ σὺν μέλιτι φυραθεῖσα καὶ ἐπιτεθεῖσα τῷ λάρυγγι, ὡς καὶ ἡ τοῦ κυνὸς, συναγχικοῖς βοηθεῖν ἀναντιρρήτως εὕρομεν.

Περὶ οὖ

Περὶ οὔρων. κεφ. σπγ.

Οὖρον ἀνθρώπου τὸ ἴδιον ποθὲν, πρὸς ἐχίδνης δήγματα ἁρμόζει. καὶ πρὸς θανάσιμα καὶ ἀρχομένους ὕδρωπας. καὶ πρὸς δῆξιν τῶν θαλασσίων ἐχίδνῶν. καὶ σκορπίου θαλασσίου καὶ δράκοντος ἐπαντλούμενον. τὸ δὲ κυνὸς ἐπάντλημα, κυνοδήκτοις. καὶ πρὸς λέπρας καὶ κνησμοὺς σμῆγμα σὺν νίτρῳ. τὸ παλαιὸν σμηκτικώτερον ἀχώρων. πιτύρων. ψωρῶν. ἐκζεσμάτων. νομάς τε ἐπέχει. καὶ τὰς ἐν αἰδοίοις ἐγκλυζόμενον, καὶ ὦτα πυορροοῦντα στεγνοῖ. ἐκβάλλει δὲ καὶ τοὺς ἐν αὐτοῖς σκώληκας ἑψόμενον ἐν σιδίοις ῥόας. τὸ δὲ τοῦ ἀφθόρου παιδὸς καταρροφούμενον, ὀρθοπνοίαις ἁρμόζει. ἑψηθὲν δὲ ἐν χαλκῷ σὺν μέλιτι, οὐλὰς καὶ ἄργεμα καὶ ἀχλῦς ἀποσμήχει. κατασκευάζεται δὲ δι' αὐτοῦ καὶ τοῦ κυπρίου χαλκοῦ ἁρμόζουσα ἡ τοῦ χρυσίου κόλλα. ἡ δὲ ὑπόστασις τοῦ οὔρου καταχρισθεῖσα, ἐρυσιπέλατα παύει. ἀναζεσθεῖσα δὲ σὺν κυπρίνῳ καὶ προστεθεῖσα, ὀδύνας ὑστέρας παρηγορεῖ. ὑστερικῶς πνιγομένας κουφίζει. βλέφαρά τε ἀποσμήχει καὶ οὐλὰς τὰς ἐν ὀφθαλμοῖς ἀποκαθαίρει. τὸ δὲ ταύρειον σὺν σμύρνῃ λεανθὲν καὶ ἐνσταχθὲν, ὠταλγίας παρηγορεῖ. τὸ συάγριον δὲ τὴν αὐτὴν ἔχει τὴν δύναμιν. ἰδιαίτερον δὲ τοὺς ἐν κύστει λίθους θρύπτει καὶ ἐκκρίνει πινόμενον. αἰγὸς δὲ ὑδρωπικοῖς ἐπιτήδειον πινόμενον μετὰ νάρδου στάχυος καθ' ἑκάστην ἡμέραν σὺν ὕδατι κυάθων πλῆθος β΄. ἄγει οὖρα κατὰ κοιλίαν. ἰᾶται δὲ καὶ ὠταλγίας ἐνσταζόμενον. ὄνου δὲ παραδίδοται νεφριτικοὺς ὑγιάζειν. τὸ δὲ λυγκὸς ὃ δὴ λυγκούριον καλεῖται, ἅμα τῷ ἐξουρηθῆναι λιθοῦσθαι πεπίστευται. διὸ καὶ ματαίαν ἔχει τὴν ἱστορίαν. ἔστι γὰρ τὸ καλούμενον ὑπό τινων ἤλεκτρον. πτερυγοφόρον. ὃ ποθὲν σὺν ὕδατι, στομάχῳ καὶ ῥευματιζομένῃ κοιλίᾳ ἁρμόζει. ὄνου δὲ οὖρον παραδίδοται πινόμενον νεφριτικοὺς ὑγιάζειν.

Περὶ μέλιτος. κεφ. σπδ.

Μέλι πρωτεύει τὸ ἀττικόν. καὶ τούτου τὸ ὑμήττιον καλούμενον. εἶτα τὸ ἀπὸ τῶν κυκλάδων νήσων. καὶ τὸ ἀπὸ τῆς σικελίας σιμβλίον καλούμενον. ἔστι δὲ δοκιμώτερον τὸ γλυκύτερον καὶ δριμύ. εὐωδέστερον. ὑπόξανθον. οὐχ ὑγρόν. ἔλκιμον δὲ καὶ εὔτονον. καὶ ἐν τῷ ἑλκυσθῆναι ἀνατρέχον ὡς ἐπὶ τὸν δάκτυλον. δύναμιν δὲ ἔχει, σμηκτικήν. ἀναστομωτικήν. ὑγρῶν προκλητικήν. ὅθεν ἁρμόζει ἕλκεσι ῥυπαροῖς καὶ κόλποις ἐγκλυζόμενον. ἑψηθὲν δὲ καὶ ἐπιτεθὲν, παρακολλᾷ τὰ ἀφεστῶτα σώματα. λειχῆνάς τε θεραπεύει ἑψόμενον μετὰ στυπτηρίας ὑγρᾶς καὶ καταχριόμενον. ἤχους τε τοὺς ἐν ὠσὶ καὶ ἀλγήματα σὺν ἁλσὶν ὀρυκτοῖς λείοις ἐνσταζόμενον χλιαροῖς. καὶ φθεῖρας καὶ κόνιδας φθείρει καταχριόμενον. λειποδέρμους τε τοὺς μὴ ἐκ περιτομῆς, ἀποκαθίστησι. μαλασσομένης τῆς πόσθης τῷ μέλιτι, μάλιστα ἀπὸ βαλανείου ἐφ' ἡμέρας λ΄. ἀποκαθαίρει δὲ καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις. καὶ τὰ περὶ βρόγχον καὶ παρίσθμια καὶ συνάγχας διαχριόμενον καὶ ἀναγαργαριζόμενον θεραπεύει. κινεῖ δὲ καὶ οὖρα, καὶ βηξὶν ἁρμόζει. καὶ τοῖς ὑπὸ ἑρπετῶν δηχθεῖσι. καὶ πρὸς μήκωνος πόσιν μετὰ ῥοδίνου θερμὸν λαμβανόμενον. καὶ πρὸς μύκητας καὶ λυσσοδήκτοις ἐκλειχόμενον ἢ πινόμενον. ἔστι μέντοι τὸ ὠμὸν, φυσῶδες κοιλίας. καὶ βηχὸς ἐρεθιστικόν. ὅθεν ἐξηφρισμένῳ δεῖ χρῆσθαι. πρωτεύει δὲ τὸ ἐαρινόν. εἶτα τὸ θερινόν. τὸ δὲ χειμερινὸν παχύτερον ὂν χεῖρον. καὶ ξηραισθεσμοὺς ποιοῦν. τὸ δὲ ἐν σαρδωνίᾳ γινόμενον μέλι, πικρὸν διὰ τὴν τοῦ ἀψινθίου νομήν. ἁρμόζει δὲ πρὸς ἐφηλίδας καὶ σπίλους τοὺς ἐν προσώ-

πω καταχρισθέν. γίνεται δὲ καὶ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ κατά τινας καιροὺς δια-
πινῶν ἀνθῶν ἰδιοτροπίαν μέλι, ὃ τοὺς φαγόντας ἐξίστησι μετὰ ἐφιδρώσεως. βοη-
θοῦνται δὲ πήγανον ἐσθίοντες καὶ τάριχος, καὶ οἰνόμελι πίνοντες, ὁσάκις ἂν ἐμέσω-
σι τὰ αὐτὰ προσφερόμενοι. ἔστι δὲ δριμύ, καὶ πταρμοὺς κατὰ τὴν ὄσφρησιν κινοῦν.
θεραπεύει ἔφηλιν καταχρισθὲν μετὰ κόστου, μετὰ δὲ ἁλὸς πελιώματα αἴρει. κα-
λεῖται δέ τι καὶ σάκχαρον, εἶδος ὂν μέλιτος ἐν Ἰνδίᾳ πεπηγότος καὶ τῇ εὐδαίμονι Ἀ-
ραβίᾳ, εὑρισκόμενον ἐπὶ τῶν καλάμων, ὅμοιον τῇ συστάσει ἁλσί, καὶ θραυόμενον ὑπὸ
τοῖς ὀδοῦσι καθάπερ οἱ ἅλες. ἔστι δὲ εὐκοίλιον, εὐστόμαχον, διεθὲν ὕδατι καὶ ποθέν, ὠ-
φελοῦν κύστιν κεκακωμένην καὶ νεφρούς. καθαίρει δὲ καὶ τὰ τὰς κόρας ἐπισκοτοῦντα
ἐγχριόμενον.

## Περὶ κηροῦ. κε. σπγ.

Κηρὸς ἄριστός ἐστιν ὁ ὑπόκιρρος καὶ ὑπολίπαρος, εὐώδης τε καὶ ποσὴν μέλιτος ἀποφο-
ρὰν ἔχων, ἔτι δὲ καθαρὸς καὶ γένει Ποντικὸς ἢ Κρητικός. ὁ δὲ ἔκλευκος, τῇ φύσει δὲ λι-
παρός, δεύτερος. λευκαστέον δὲ κηρὸν οὕτω. κατακνήσας αὐτοῦ τὸ λευκὸν καὶ καθα-
ρόν, ἔμβαλε εἰς χύτραν καινήν, ἐπιχέας θαλάσσης πελαγίας τὸ αὔταρκες, ἔτι δὲ βραχὺ
νίτρου προσεμπάσσας. ὅτε δὲ ἀναζέσει δὶς ἢ τρίς, καθελὼν τὴν χύτραν καὶ ἐάσας ψυ-
χθῆναι, ἀφελοῦ τὸν τροχίσκον, καὶ ἀποξύσας εἴ τις περὶ αὐτὸν ὑπάρχει ῥυπαρία, ἕψε ἐκ δευ-
τέρου ἄλλοθεν θαλάσσης ἐπιδούς. ἀναζέσαντος δὲ πάλιν τοῦ κηροῦ ὡς δεδήλωται, ἀφελοῦ
τὸ ἀγγεῖον ἀπὸ τοῦ πυρός, καὶ λαβὼν καινοῦ χυτριδίου τὸν πυθμένα, προενενοτισμένον ὕ-
δατι ψυχρῷ, καθεὶς πράως εἰς τὸν κηρόν, ἀκροθιγῶς ἐμβάπτων, πρὸς τὸ ἐλάχιστόν τι αὐ-
τοῦ ἀφέλκεσθαι καὶ θᾶττον πήγνυσθαι. ἀφελόμενος δὲ τὸν πρῶτον κυκλίσκον ἀφαι-
ροῦ, καὶ ἐκ δευτέρου καθεὶς τὸν πυθμένα ψυχρῷ ὕδατι, καὶ τὸ αὐτὸ ποίει, ἕως ἂν ἅπαν-
τα ἀναλώσῃς. λοιπὸν οὖν διείρας τὰ κυκλίσκια διεστῶτα ἀπ' ἀλλήλων κρέμασον.
ἡμέρας μὲν εἰς ἥλιον συνεχῶς ἐπινοτίζων αὐτά, νυκτὸς δὲ ὑπὸ τὴν σελήνην τίθει, ἕως
ἂν λευκὰ γένηται. εἰ δὲ ἄγαν τις θέλει λευκὸν ποιῆσαι, ὁ αὐτὸς ἐνεργείτω, ἑψέτω δὲ
πλεονάκις. τινὲς δὲ ἀντὶ πελαγίας θαλάσσης, ἐν ἅλμῃ δριμυτάτῃ ἕψουσι τὸν προει-
ρημένον τρόπον, ἅπαξ ἢ δίς. ἔπειτα ἀναιροῦνται λαγηνίῳ λεπτῷ, καὶ περιφερεῖ. λαβὼν ἐν
ἑαυτῷ ἔχοντι ἔπειτα κυκλίσκια, ἀποδόντες πυκνῶς ἐπιθέντες ἡλιάζουσιν, ἕως ἂν λευκαί-
ται γένηται. παραινοῦσι δὲ ἔαρος ἐπιχειροῦντας ἔρχεσθαι, ὅτε καὶ ὁ ἥλιος τῇ σφοδρότητι ἀ-
νίεται, καὶ νοτίδα παρέχει, πρὸς τὸ μὴ τήκεσθαι. δύναμιν δὲ ἔχει πᾶς κηρὸς θερμαντι-
κήν, μαλακτικήν, πληρωτικὴν μετρίως. μίγνυται δὲ καὶ ἐν ῥοφήμασιν ἐπὶ τῶν δυσεν-
τερικῶν. καταπινόμενος δὲ μεγέθη κεγχριαῖα δέκα, οὐκ ἐᾷ τυροῦσθαι ἐπὶ τῶν τιθευου-
σῶν τὸ γάλα.

## Περὶ προπόλεως. κε. σπδ.

Πρόπολιν παραληπτέον τὴν ξανθὴν καὶ εὐώδη καὶ στυρακίζουσαν, μαλακήν τε ἐν τῷ ὑπερ-
ξήρῳ, καὶ μαστίχης τρόπον ἑλκομένην. ἔστι δὲ θερμαντικὴ ἄγαν καὶ ἐπισπαστική, καὶ σκολό-
πων ἑλκυστική. ἀρήγει δὲ καὶ βηξὶ παλαιαῖς ὑποθυμιωμένη. αἴρει δὲ καὶ λειχῆνας ἐπιτι-
θεμένη. εὑρίσκεται δὲ περὶ τοῖς στόμασι τῶν σμηνίων φύσει κηρώδης.

## Περὶ πυρῶν. κε. σπε.

Πυροὶ πρὸς ὑγείας χρῆσιν ἄριστοι οἱ πρόσφατοι καὶ τελείως ἠκμακότες, τῇ χρόᾳ μηλί-
ζοντες. ἔπειτα μετὰ τούτους οἱ τριμηνιαῖοι λεγόμενοι, ἢ ὑπό τινων σιτάνιοι. ὠμοὶ οὖν βρωθέν-
τες, ἕλμινθας στρογγύλας γεννῶσι. μασηθέντες δὲ καὶ καταπλασθέντες, ὠφελοῦσι

κινωδήκτοις. ὁ δὲ ἐκ τῆς σεμιδάλεως αὐτῶν γινόμενος ἄρτος, εὐτροφώτερός ἐστι τοῦ συγκομιστοῦ. ὁ δὲ ἐκ τῶν σιτανίων ἀλεύρων, κουφότερος καὶ εὐαναδοτος. τὸ δὲ ἐξ αὐτῶν ἄλευρον σὺν ὑοσκυάμου χυλῷ, καταπλάσσεται πρὸς νεύρων ῥευματισμούς· καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων. σὺν ὄξει μέλιτι δὲ φακοὺς αἴρει. τὰ δὲ πίτυρα σὺν ὄξει δριμεῖ ἑψηθέντα, μαζοὺς σπαργῶντας παύει. καὶ ἐχεοδήκτοις ἁρμόζει. καὶ στρεφομένοις. ἡ δὲ ἐκ τῶν ἀλεύρων ζύμη θερμαντικὴ οὖσα καὶ ἐπισπαστική, ἰδίως τὰ ἐν πέλμασι λεπτύνει. καὶ τὰ ἄλλα φύματα καὶ δοθιῆνας σὺν ἁλσὶν ἐκπέσσει καὶ ἀναστομοῖ. τὸ δὲ τῶν σιτανίων πυρῶν ἄλευρον, ἰοβόλοις ἁρμόζει καταπλαττόμενον ἐν ὄξει ἢ οἴνῳ. ἑψηθὲν δὲ τρόπον κόλλης καὶ ἐκλειχόμενον, αἱμοπτοϊκοὺς ὠφελεῖ. καὶ πρὸς βῆχας καὶ ἀρτηρίας τραχυσμούς, σὺν ἡδυόσμῳ καὶ βουτύρῳ ἑψηθὲν ποιεῖ. καὶ ἡ ἐξ αὐτῶν τῶν πυρῶν γύρις ἑψηθεῖσα σὺν μελικράτῳ, ἢ ὑδρελαίῳ, πᾶσαν διαφορεῖ φλεγμονήν. καὶ ὁ ἄρτος σὺν μελικράτῳ ἑφθὸς καὶ ὠμὸς καταπλασσόμενος, πᾶσαν φλεγμονὴν παραμυθεῖται μαλακτικώτερος ὑπάρχων· καὶ περιψύχων. μιγεὶς πόαις ἢ χυλοῖς τισίν. ὁ δὲ παλαιὸς καὶ ξηρὸς καθ' ἑαυτὸν, μιγεὶς τισὶν, ἵστησι κοιλίας ῥεούσας. ἅλμῃ δὲ βραχεὶς ὁ πρόσφατος καὶ καταπλασθεὶς, παλαιοὺς λειχῆνας ἰᾶται. κόλλα δὲ ἡ γινομένη ἐκ τῆς σεμιδάλεως καὶ γύρεως πρὸς τὴν τῶν βιβλίων κόλλησιν, ἁρμόζει ἐπὶ αἱμοπτοϊκῶν ὑγροτέρα καὶ χλιαρὰ καταρροφουμένη, κοχλιαρίου πλῆθος.

## Περὶ κριθῆς. κεφ. σπϛ.

Κριθὴ δὲ ἀρίστη ἡ λευκὴ καὶ καθαρά. ἀτροφωτέρα δὲ πυροῦ. τοῦ μέντοι γινομένου ἐξ αὐτῆς ἀλφίτου ἡ πτισάνη, τροφιμωτέρα διὰ τὴν ἐν τῇ ἑψήσει χύλωσιν. ποιεῖ δὲ ἡ πρὸς τὰς δριμύτητας καὶ τὰς περὶ ἀρτηρίαν τραχύτητας καὶ ἑλκώσεις. πρὸς ἃς καὶ ἡ πυρίνη πτισάνη ἁρμόζει τροφιμωτέρα καὶ οὐρητικωτέρα οὖσα. κατασκευαζομένη δὲ καὶ γάλα συνεψηθεῖσα μαράθρου σπέρματι. καὶ ῥοφουμένη. ἔστι δὲ οὐρητικὴ, σμηκτική, φυσώδης, κακοστόμαχος. συμπεπτικὴ οἰδημάτων. διαφορεῖ δὲ τὸ ἄλευρον αὐτῆς μετὰ σύκων καὶ μελικράτου ἑψηθὲν, οἰδήματα καὶ φλεγμονάς. συμπέσσει δὲ καὶ τὰς σκληρίας μετὰ πίσσης καὶ ῥητίνης καὶ περιστερᾶς κόπρου. σὺν μελιλώτῳ δὲ καὶ κωδείαις ἀνωδυνίαν παρέχει τοῖς πλευρὰν ἀλγοῦσι. καταπλάσσεται δὲ καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων. μετὰ λινοσπέρμου καὶ τήλεως καὶ πηγάνου. μετὰ δὲ πίσσης ὑγρᾶς καὶ κηροῦ καὶ οὔρου παιδὸς ἀφθόρου καὶ ἐλαίου, χοιράδας ἐκπέττει. σὺν μυρσίνῃ δὲ ἢ οἴνῳ ἢ ἀχράσιν ἢ βάτῳ ἢ σιδίοις, κοιλίας ῥεύματα ἵστησι. σὺν κυδωνίῳ δὲ ἢ ὄξει, ποδαγρικὰς φλεγμονὰς ὠφελεῖ. ἑψηθὲν δὲ μετὰ ὄξους δριμέως ὃν τρόπον ἀμηλύσις, καὶ θερμὸν ἐπιτιθέμενον), λέπρας ὑγιάζει. χυλωθὲν δὲ τὸ ἄλευρον σὺν ὕδατι καὶ ἑψηθὲν σὺν πίσσῃ καὶ ἐλαίῳ, πυοποιόν ἐστι. σὺν ὄξει δὲ ἢ χυλωθὲν καὶ ἑψηθὲν μετὰ πίσσης, πρὸς τὰ τῶν ἄρθρων ῥεύματα ἁρμόζει. τὸ δὲ ἐξ αὐτῶν ἄλευρον κοιλίας σταλτικόν. καὶ φλεγμονῶν πραϋντικόν.

## Περὶ ζύθου. κεφ. σπζ.

Ζῦθος σκευάζεται ἐκ τῆς κριθῆς. ἔστι δὲ διουρητικός. καὶ νεφρῶν καὶ νεύρων ἁπτικός. καὶ μάλιστα μηνίγγων κακωτικός. πνευματωτικός τε καὶ γεννητικὸς κακοχυμιῶν. καὶ ἐλεφαντιάσεως ποιητικός. εὐεργὴς δὲ καὶ ὁ ἐλέφας γίνεται βρεχόμενος αὐτῷ.

## Περὶ κουρμιθι. κεφ. σπζ.

Καὶ τὸ καλούμενον δὲ κοῦρμι, σκευαζόμενον δὲ ἐκ τῆς κριθῆς. ᾧ καὶ ἀντὶ οἴνου πόματι πολλάκις χρῶνται, κεφαλαλγές ἐστι καὶ κακόχυμον. καὶ τῶν νεύρων βλαπτικόν. σκευάζεται δὲ καὶ ἐκ πυρῶν τοιαῦτα πόματα, ὡς ἐν τῇ πρὸς ἑσπέραν ἰβηρίᾳ καὶ βρεταννίᾳ.

Περὶ ζειᾶς. κεφ. σκη.

Ζειὰ δισσή, ἡ μὲν γὰρ ἁπλῆ, ἡ δὲ, δίκοκκος καλεῖται. ἐν δυσὶν ἐλύτροις ἔχουσα συνεζευγμένον τὸ σπέρμα. ἔστι δὲ τροφιμωτέρα μὲν κριθῆς. εὔστομος. ἀτροφωτέρα δὲ πυρῶν ἀρτοποιουμένη.

Περὶ κρίμνου. κεφ. σκθ.

Κρίμνον. ἁδρότερόν ἐστι τῇ κατεργασίᾳ τοῦ ἀλεύρου. γινόμενον ἔκ τε ζειᾶς καὶ πυροῦ. ἐξ οὗ ὁ πόλτος γίνεται. ἔστι δὲ ἱκανῶς τρόφιμον καὶ εὐκατέργαστον. σταλτικώτερον δὲ κοιλίας τὸ ἀπὸ τῆς ζειᾶς μάλιστα προφωχθείσης.

Περὶ ὀλύρας. κεφ. σλ.

Καὶ ἡ ὄλυρα δὲ ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τῇ ζειᾷ. ἀτροφωτέρα δὲ ἠρέμα ποσὸν ἐκείνης. ἀρτοποιεῖται δὲ καὶ αὐτή. καὶ κρίμνον ἐξ αὐτῆς ὡσαύτως γίνεται.

Περὶ ἀθήρας. κεφ. σλα.

Ἀθήρα δὲ ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὸν ζειᾶς, σκευάζεται. ἔστι δὲ ῥόφημα ὥσπερ πολτάριον ὑγρόν. παιδίοις ἁρμόδιον. ποιεῖ δὲ καὶ εἰς τὰ καταπλάσματα.

Περὶ τράγου. κεφ. σλβ.

Τράγος. τὸ σχῆμα μὲν παραπλησίως τῷ χόνδρῳ ἔοικεν. ἀτροφώτερος δὲ παρὰ πολὺ ζειᾶς. διὰ τὸ πολὺ ἔχειν τὸ ἀχυρῶδες. διὸ καὶ δυσκατέργαστός ἐστι. καὶ κοιλίας μαλακτικός.

Περὶ βρόμου. κεφ. σλγ.

Βρῶμος καλαμός ἐστι πυροῖς ὅμοιος ἐν τοῖς φύλλοις. γόνασι δὲ διειλημμένος. καρπὸν δὲ ἔχει ἐπ' ἄκρῳ ὥσπερ ἀκρίδια δίκωλα. ἐν οἷς τὸ σπέρμα χρήσιμον εἰς καταπλάσματα ὡς ἡ κριθή. καὶ πόλτος δὲ ἐξ αὐτοῦ γίνεται σταλτικὸς κοιλίας. ὁ δὲ ἐξ αὐτοῦ χυλὸς ῥοφούμενος, βήσσουσιν ἁρμόζει.

Περὶ ὀρύζης. κεφ. σλδ.

Ὄρυζα τῶν σιτηρῶν ἐστιν εἶδος. φυομένη ἐν ἑλώδεσι τόποις καὶ ὑγροῖς. τρόφιμος δὲ μετρίως καὶ κοιλίας σταλτική.

Περὶ χόνδρου. κεφ. σλε.

Ὁ δὲ χόνδρος γίνεται μὲν ἐκ τῆς καλουμένης δικόκκου ζέας. τροφιμώτερος δὲ ὀρύζης σταλτικώτερος κοιλίας. εὐστομαχώτερος δὲ μᾶλλον. αἴρει δὲ καὶ λέπρας σὺν ὄξει ἑψηθεὶς καὶ καταχρισθείς. καὶ λεπροὺς ὄνυχας ἀφίστησι. καὶ αἰγίλωπα ἀρχόμενα θεραπεύει. ἐγκλυσμάτι τὸ ἀφέψημα αὐτοῦ χῖς μετὰ ἀλγήματος δυσεντερικοῖς εὔθετον.

Περὶ κέγχρου. κεφ. σλς.

Κέγχρος. ῥωμαῖοι μίλιουμ. ἀτροφωτέρα τῶν λοιπῶν σιτηρῶν ἀρτοποιηθεῖσα. πολτὸς δὲ σκευασθεῖσα κοιλίαν ἵστησιν. οὖρά τε κινεῖ. φωχθεῖσα δὲ καὶ ἐμβληθεῖσα εἰς σάκκους πυριωμένη, στρόφοις καὶ τῶν ἄλλων ἀλγημάτων ἐστὶ βοήθημα.

Περὶ ἐλύμου. κεφ. σλζ.

Ἔλυμος. οἱ δὲ, μελίνην. ῥωμαῖοι πάνικουμ. τῶν σιτηρῶν ἐστι σπερμάτων. κέγχρῳ ὁμοία. ὡσαύτως σιτοποιουμένη καὶ πρὸς τὰ αὐτὰ ἁρμόζουσα. ἀτροφωτέρα μέντοι τῆς κέγχρου. καὶ ἧττον σταλτική.

Περὶ σησάμου. σλη.

Σήσαμον κακοστόμαχον. καὶ δυσωδίας στόματος ποιητικόν. ὁπόταν διαβρωσκόμενον ἐμμένῃ μεταξὺ τῶν ὀδόντων. καταπλασθὲν δὲ διαφορεῖ τὰς ἐν νεύροις παχύτητας. καὶ τὰ ὦτα θλάσματα, καὶ φλεγμονὰς καὶ πυρίκαυτα. καὶ κώλων ἀλγήματα. καὶ κεράστου δῆγμα θεραπεύει. σὺν ῥοδίνῳ δὲ κεφαλῆς ἀλγήματα ἐξ ἐγκαύσεως γινόμενα παραμυθεῖται. ἡ δὲ πόα ἀφεψηθεῖσα ἐν οἴνῳ τὰ αὐτὰ ποιεῖ. μάλιστα δὲ φλεγμοναῖς ὀφθαλμῶν καὶ περιωδυνίαις ἁρμόζει. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτοῦ ᾧ οἱ αἰγύπτιοι χρῶνται.

Περὶ αἴρας. κεφ. σλθ.

Αἶρα. οἱ δὲ, θύαρος. ῥωμαῖοι λόλιουμ. αἶρα ἡ γινομένη ἐν τοῖς πυροῖς ἀλεσθεῖσα, δύναμιν ἔχει περὶ χαρακτικὴν νομῶν καὶ σηπεδόνων καὶ γαγγραινῶν. μετὰ ῥαφανίνων καὶ ἁ-

λῶν

λῶν καταπλασσομένη δὲ λειχῆνας ἀγρίους καὶ λέπρας σὺν θείῳ ἀπύρῳ καὶ ὄξει θεραπεύει. σὺν κόπρῳ δὲ περιστερᾶς τὸ λινόσπερμον ἑψομένη ἐν οἴνῳ χοιράδας διαλύει. καὶ τὰ δύσπεπτα ῥεύματα. ἰσχιαδικούς τε σὺν μελικράτῳ ἑψηθεῖσα καὶ καταπλασσομένη ὠφελεῖ. συναλείφεται δὲ ἢ σμύρνῃ ἢ κρόκῳ ἢ λιβανωτῷ ὑποθυμιωμένη συνεργεῖ ταῖς συλλήψεσιν.

## Περὶ ἀμύλου. κεφ. σϟθ.

Ἄμυλον ὠνόμασται, διὰ τὸ χωρὶς μύλου κατασκευάζεσθαι. ἄριστον δέ ἐστι τὸ σκευαζόμενον ἐκ πυροῦ σητανίου κρητικὸν δὲ ἢ αἰγύπτιον. σκευάζεται δὲ ἐκ πυροῦ σητανίου καθαροῦ, βρεχομένου πεντάκις τῆς ἡμέρας, εἰ δυνατὸν δὲ καὶ τῆς νυκτός. ὅταν δὲ μαλακὸς γένηται, δεῖ πράως τὸ ὕδωρ ἐκχεῖν χωρὶς τοῦ κινεῖν. ἵνα μὴ συνεκκλύζηται τὸ νόσιμον. ἐπὰν δὲ τελέως μαλακώτατος γένηται, ἀποχέας τὸ ὕδωρ τρίβειν τοῖς ποσίν, εἶτα ὕδωρ ἐπιχέοντας τρίβειν. εἶτα ἀναιρεῖσθαι τὸ ἐφιστάμενον πίτυρον ἰθμῷ. καὶ τὸ λοιπὸν διηθήσαντας ἐμβαλεῖν εἰς ὑλιστῆρα. διυλίσαντάς τε εὐθέως ψύχειν ἐπὶ κεραμίδων καινῶν ἐν ἡλίῳ ὀξυτάτῳ. ἐπίκμον γὰρ ἐὰν ἐπ' ὀλίγον μένῃ, ὀξίζει. ποιεῖ δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ κοιλότητας καὶ φλυκταίνας. ἵστησι δὲ καὶ αἷμα τὸ ἀναγωγὸν πινόμενον. καὶ τὰς περὶ ἀρτηρίαν πραΰνει. μίσγνυται δὲ καὶ γάλακτι καὶ προσφήμασι. σκευάζεται δὲ καὶ ἐκ ζειᾶς βραχείσης καὶ πλυθείσης πρὸς μίαν ἢ δευτέραν ἡμέραν. καὶ σταιτὸς τρόπον ἀποθλιβείσης διὰ τῶν χειρῶν καὶ ξηρανθείσης ἐν ὀξυτάτῳ ἡλίῳ ὡς προείρηται. τὸ δὲ τοιοῦτον ἄθετον μὲν πρὸς ἰατρικὴν χρῆσιν. πρὸς δὲ τὰ λοιπὰ εὔθετον.

## Περὶ τήλεως ἀλεύρου. κεφ. τ.

Τῆλις. οἱ δὲ τήλεως καρπός. οἱ δὲ, βούκερως. οἱ δὲ, αἰγόκερως. οἱ δὲ, κεραῖτις. οἱ δὲ, λωτόν. ῥωμαῖοι φαινουμ γραικουμ. αἰγύπτιοι ἴτασιν. καὶ τὸ ἐκ τῆς τήλεως ἄλευρον μαλακτικὴν καὶ διαχυτικὴν ἔχει δύναμιν. καταπλασσόμενον δὲ λεῖον σὺν μελικράτῳ ἑφθῷ, ποιεῖ πρὸς φλεγμονὰς τὰς ἐντὸς καὶ ἐκτός. σὺν νίτρῳ δὲ καὶ ὄξει λεῖον καταπλασθέν, σπλῆνα μειοῖ. τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκάθισμα εἰς τὰ γυναικεῖα. ὅσα κατὰ φλεγμονὰς ἢ μύσιν συνίσταται. σμήχει δὲ καὶ τρίχας καὶ πίτυρα. καὶ ἀχῶρας τὸ ἀπόθλιμμα αὐτῆς ἐν ὕδατι ἑψηθείσης. σὺν στέατι δὲ χηνείῳ προστίθεται ἀντὶ πεσσοῦ. μαλάσσον καὶ ἀνευρῦνον τοὺς περὶ τὴν ὑστέραν τόπους. χλωρὰ δὲ μετὰ ὄξους ἀγνοῦσι τόποις καὶ ἑλκωμένοις ἁρμόζει. τὸ δὲ ἀφέψημα αὐτῆς πρὸς τεινεσμοὺς καὶ δυσώδη ὑποχωρήματα δυσεντερικά. τὸ δὲ ἀπ' αὐτῆς ἔλαιον μετὰ μυρσίνης, σμήχει τρίχας. οὐλάς τε τὰς ἐν αἰδοίοις.

## Περὶ λίνου. κεφ. τα.

Λίνον. οἱ δὲ, λινοκαλαμίς. οἱ δὲ, ἀγνόν, οἱ δὲ, λίνον ἄγριον. ῥωμαῖοι λινομυρούμ. οἱ δὲ, λίνουμ ἀγρέστεμ. ἄφροι ζεραφοῦς. γνώριμον. δύναμιν δὲ ἔχει τὸ σπέρμα τὴν αὐτὴν τῇ τήλει. διαφορεῖ καὶ μαλάσσει πᾶσαν φλεγμονὴν ἐντός τε καὶ ἐκτός, σὺν μέλιτι καὶ ἐλαίῳ καὶ ὕδατι ὀλίγῳ ἑψηθέν. ἢ ἑφθὸν μέλιτι ἀναληφθέν. αἴρει δὲ καὶ ἐφήλεις ὠμὸν καὶ ἴονθους. καταπλασθὲν σὺν νίτρῳ καὶ συκίνῃ κονίᾳ. καὶ παρωτίδας καὶ σκληρίας διαφορεῖ. ἕρπητάς τε σὺν οἴνῳ ἑψηθὲν καὶ κηρία ἐκκαθαίρει. ὄνυχάς τε λεπροὺς ἀφίστησι σὺν καρδάμῳ ἴσῳ καὶ μέλιτι. ἀνάγει τὰ ἐκ θώρακος σὺν μέλιτι ἀντὶ ἐκλεικτοῦ ληφθέν. καὶ βῆχας παρηγορεῖ. παρορμᾷ δὲ καὶ πρὸς ἀφροδίσια, ληφθὲν μέλιτι καὶ πεπέρει ἀντὶ κοπτῆς πολὺ λαμβανόμενον. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ ἐνίεται πρὸς ἔντερον καὶ ὑστέρας δηγμούς. καὶ ἐκκομιδὴν περιττωμάτων καὶ φλεγμονὰς τὰς ἐν μήτρᾳ εἰς ἐγκά-

θημα, ὥσπερ τὸ ἀπὸ τελείως εὐχερές ἐστι.

Περὶ ἐρεβίνθου. κεφ. τβ.

Ἐρέβινθος ὁ ἥμερος, εὐκοίλιος, οὐρητικός, πνευμάτων γεννητικός, εὐχροίας ποιητικός, καταμηνίων ἀγωγὸς καὶ ἐμβρύων, καὶ γάλακτος γεννητικός. καταπλάσσεται δὲ μάλιστα σὺν ὀρόβοις ἑφθὸς πρὸς ὄρχεων φλεγμονὰς καὶ μυρμηκίας. πρός τε ψώρας καὶ ἀχῶρας καὶ λειχῆνας, καὶ τὰ καρκινώδη ἕλκη καὶ κακοήθη σὺν κριθῇ καὶ μέλιτι. καλεῖται δέ τι ἕτερον αὐτοῦ εἶδος κριός· ἀμφότεροι δέ εἰσιν οὐρητικοί. διδόμενοι πρὸς ἴκτερον καὶ ὕδρωπα τοῦ ἀφεψήματος αὐτῶν σὺν λιβανωτίδι. βλάπτουσι δὲ τὴν κύστιν ἡλκωμένην καὶ νεφρούς. πρὸς δὲ μυρμηκίας καὶ ἀκροχορδόνας νουμηνίας οὔσης, ἔνιοι ἑκάστης ἐξοχῆς ἐρεβίνθῳ ψαύοντες ἄλλῳ καὶ ἄλλῳ, εἰς ὀθόνην ἀποδήσαντες αὐτοὺς, εἶτα ῥίπτειν εἰς τοὐπίσω κελεύουσιν, ὡς ἀποπιπτουσῶν τῶν ἀκροχορδόνων. γίνεται δὲ καὶ ἄγριος ἐρέβινθος ὅμοιος τοῖς φύλλοις τῷ ἡμέρῳ, ὀσμῇ δριμύς, τῷ καρπῷ διαφέρων· ποιῶν πρὸς ἃ καὶ ὁ ἥμερος.

Περὶ κυάμου ἑλληνικοῦ. κεφ. τγ.

Κύαμος ἑλληνικὸς πνευματώδης, φυσώδης, δύσπεπτος, δυσόνειρος, βηχὶ δὲ σύμφορος, καὶ σαρκῶν γεννητικὸς, μέσος θερμοῦ καὶ ψυχροῦ. ἑψηθεὶς δὲ σὺν ὀξυκράτῳ, καὶ σὺν τῷ λέπει ἐσθιόμενος, δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐπέχει. καὶ πρὸς ἐμέτους δὲ εὔθετος βρωθείς. γίνεται δὲ ἀφυσότερος τοῦ πρώτου ὕδατος κατὰ τὴν ἕψησιν ἀποχεομένου. ὁ δὲ χλωρὸς καὶ κακοστομαχώτερος καὶ φυσωδέστερος. τὸ δὲ ἄλευρον τοῦ κυάμου καταπλασθὲν καθ' ἑαυτό τε καὶ σὺν ἀλφίτῳ, τὰς ἐκ πληγῆς φλεγμονὰς πραΰνει. καὶ οὐλὰς ὁμοχρόους ποιεῖ, καὶ μαστοὺς χονδριοῦντας καὶ φλεγμαίνοντας ὠφελεῖ. γάλα τε σβέννυσι. σὺν μέλιτι δὲ καὶ τηλίνῳ ἀλεύρῳ δοθιῆνας καὶ παρωτίδας καὶ ὑπώπια διαφορεῖ. σὺν ῥόδῳ τε καὶ λιβάνῳ καὶ τῷ τοῦ ᾠοῦ λευκῷ, ὀφθαλμῶν προπτώσεις καὶ σταφυλώματα καὶ οἰδήματα στέλλει. φυραθεὶς δὲ σὺν οἴνῳ, συγχύσεις καὶ πληγὰς ὀφθαλμῶν καθίστησιν. εἰς τε ἀνακόλλημα ῥεύματος χωρὶς τοῦ λέπους μασηθεὶς, ἐπιτίθεται κατὰ τοῦ μετώπου. καὶ διδύμων φλεγμονὰς ἑψηθεὶς ἐν οἴνῳ θεραπεύει. καὶ τοῖς ἐφηβαίοις δὲ τῶν παίδων καταπλασσόμενος, ἀνήβους ἐπὶ πολὺ τηρεῖ. σμήχει δὲ καὶ ἀλφούς. τὰ δὲ λέπη καταπλασσόμενα, τὰς ἐκ πλαδείσας τρίχας, ἀτρόφους καὶ ἰσχνὰς κατασκευάζει. μετὰ δὲ ἀλφίτου καὶ σχιστῆς καὶ ἐλαίου παλαιοῦ καταπλασθέντα, χοιράδας διαφορεῖ. καὶ ἔρια βάπτει τὸ ἀφέψημα αὐτῶν. ἐπιτίθεται δὲ καὶ πρὸς τὰς ἀπὸ τῶν βδελλῶν αἱμορραγίας λελεπισμένος, εἰς δύο διαιρεθεὶς καθ' ὃ προσπέφυκεν, ἐπέχει προστυπούμενος κατὰ τὸ ἡμίτομον.

Περὶ κυάμου αἰγυπτίου. κεφ. τδ.

Ὁ δὲ αἰγύπτιος κύαμος ὃν ἔνιοι ποντικὸν καλοῦσι, πλεῖστος μὲν γίνεται ἐν Αἰγύπτῳ, καὶ ἐν Ἀσίᾳ δὲ καὶ Κιλικίᾳ ἐν ταῖς λίμναις εὑρίσκεται. ἔχει δὲ φύλλον μέγα ὡς πέτασον, καυλὸν δὲ πηχυαῖον, παρὰ δάκτυλον τὸ πάχος. ἄνθος δὲ ῥοδόχρουν, διπλάσιον μήκωνος. ὅπερ ἀπανθῆσαν φέρει φυσκία παραπλήσια θυλακίσκοις. ἐν οἷς κύαμος μικρὸς ὑπεραίρων τὸ πῶμα ὡς πομφόλυξ. καλεῖται δὲ κιβώριον ἢ κιβώτιον, διὰ τὸ τὴν φυτείαν τοῦ κυάμου γίνεσθαι αὐτοῦ ἐντιθεμένου ἐν ἰκμάδι βώλῳ, οὕτω τε εἰς τὸ ὕδωρ ἀφιεμένου. ῥίζα δὲ ὕπεστι παχυτέρα καλάμου, βιβρωσκομένη ἑφθή τε καὶ ὠμή, κολοκάσια καλουμένη. ὁ δὲ κύαμος βιβρώσκεται μὲν καὶ χλωρός, ξηρανθεὶς δὲ γίνεται μέλας, καὶ μείζων τοῦ ἑλληνικοῦ. ἔχει δύναμιν στυπτικὴν καὶ εὐστόμαχον. ἁρμόζει δὲ δυσεντερικοῖς καὶ κοιλιακοῖς τὸ ἐξ αὐτῶν ἄλευρον ἐπιπασσόμενον ἀντὶ ἀλφίτου, καὶ πολτοποιού-

μενον

μένον δὲ δίδοται. τὰ δὲ λεπτὰ μᾶλλον ποιεῖ ἑψόμενα ἐν οἰνομέλιτι. καὶ πτιζόμενα πλῆθος κυάθων τριῶν. καὶ πρὸς ὠταλγίας δὲ ποιεῖ τὸ ἐν μέσῳ χλωρὸν αὐτῶν. πικρὸν δὲ κατὰ τὴν γεῦσιν. λεῖον σὺν ῥοδίνῳ συνεψόμενόν τε καὶ ἐνσταζόμενον.

### Περὶ φακοῦ. κεφ. τε.

Φακὸς ὁ ἐσθιόμενος· ῥωμαῖοι λέντεμ. οἱ δὲ λεντίκουλαμ. φακὸς εἰβρωσκόμενος συνεχῶς, ἀμβλυωπός. δύσπεπτος. κακοστόμαχος. πνευματικὸς στομάχου καὶ ἐντέρων. κοιλίας δὲ σταλτικὸς σὺν τῷ λέπει ἐσθιόμενος. διαφέρει δὲ αὐτοῦ ὁ εὔεφθος καὶ μηδὲν ἀνιεὶς ἐν τῷ διαβρέχεσθαι μέλαν. δύναμιν δὲ ἔχει στυπτικήν. ὅθεν κοιλίαν ἵστησι. προαπολεπισθεὶς καὶ ἑψηθεὶς ἐπιμελῶς. τοῦ πρώτου ἐν τῷ ἀφεψεῖσθαι ὕδατος ἀποχεομένου. λυτικὸν γὰρ κοιλίας τὸ πρῶτον ἀφέψημα αὐτοῦ. ἐστὶ δὲ δυσόνειρος. ἀθετος πρὸς τὰ νευρώδη καὶ πνεύμονα καὶ κεφαλήν. βέλτιον δὲ τὸ ἴδιον ἔργον ἀποτελεῖ πρὸς τὰ ῥεύματα τῆς κοιλίας. μιγείσης αὐτῷ μετὰ ὄξους σέρεως ἢ ἀνδράχνης. ἢ σεύτλου μέλανος ἢ μύρτων, ἢ σιδίων ἢ ῥόδων ξηρῶν. ἢ μεσπίλων ἢ οὔων ἢ ἀπίων θηβαϊκῶν. ἢ κυδωνίων μήλων. ἢ κιχωρίου ἢ ἀρνογλώσσου. ἢ κηκίδων ὁλοκλήρων, αἵτινες μετὰ τὴν ἕψησιν ἐκπίπτουσι. ἢ ῥοὸς τοῦ ἐπὶ τὰ ὄψα. δεῖ δὲ τὸ ὄξος ἐπιμελῶς συγκαθεψεῖν αὐτῷ. εἰ δὲ μὴ, ταράττει τὴν κοιλίαν. ἀναστροφὴν δὲ στομάχου περιλεπισθέντες τριάκοντα φακοὶ καὶ καταποθέντες ὠφελοῦσι. πρὸς ποδάγραν δὲ σὺν ἀλφίτῳ ἑφθὸς καὶ ἑψηθεὶς καὶ καταπλασθείς. μετὰ δὲ μέλιτος κόλπους κολλᾷ. ἐσχάρας περιῤῥήσσει καὶ ἕλκη ἀνακαθαίρει. σὺν ὄξει δὲ ἑψηθεὶς σκληρώματα καὶ χοιράδας διαφορεῖ. σὺν μελιλώτῳ δὲ ἢ κυδωνίῳ, ὀφθαλμῶν φλεγμονὰς καὶ δακτυλίου θεραπεύει ῥοδίνου μισγομένου. ἐπὶ δὲ τῶν μειζόνων ἐνδακτύλου φλεγμονῶν καὶ κόλπων μεγάλων, σὺν σιδίοις ἢ ῥόδοις ξηροῖς ἀφεψόμενος μισγομένου καὶ μέλιτος. πρὸς νομὰς δὲ γαγγραινικὰς ὁμοίως. ἢ καὶ θαλάσσης μισγομένης. πρὸς δὲ φλυκταίνας τε ἕρπητας καὶ ἐρυσιπέλατα καὶ χιμέθλας ὡς προείρηται. πρὸς δὲ χυ θρομβοῦντας μαστοὺς καὶ σπαργανώσεις ἑψόμενος ἐν θαλάττῃ, ἁρμόζει καταπλασθείς.

### Περὶ φασιόλου. κεφ. τϛ.

Φασίολος φυσώδης. πνευμάτων κινητικός. δύσπεπτος. ἑψηθεὶς δὲ χλωρὸς καὶ ἐσθιόμενος, κοιλίας μαλακτικός. πρὸς δὲ ἔμετον εὔθετος.

### Περὶ ὀρόβου. κεφ. τζ.

Ὄροβος· ῥωμαῖοι ὄροβουμ. γνώριμος θαμνίσκος. στενόφυλλος. λεπτὸς, ἔχων σπερμάτια ἐν λοβοῖς. ἐξ ὧν ποιεῖται τὸ καλούμενον ὀρόβινον ἄλευρον. ὃ πρὸς τὴν ἰατρικὴν χρῆσιν ἁρμόζει. ἐστὶ δὲ καρηβαρικός. κοιλίας ταρακτικὸς ἐμβρωθείς. αἷμα τε δι' οὔρων ἄγει. βοῦς δὲ λιπαίνει ἑφθὸς παρατιθέμενος. σκευάζεται δὲ τὸ ἐξ αὐτοῦ ὀρόβινον οὕτως. ἐκλέξας τοὺς εὐτρόφους καὶ λευκοὺς ῥαῖνε ὕδατι ἀναφυρῶν. ἐάσας τε ἐφ' ἱκανὸν συμπιεῖν, φρύγε ἄχρις ἂν περιῤῥαγῇ ὁ φλοιός. εἶτα ἀλέσας καὶ διασείσας κοσκίνῳ λεπτῷ ἀπόθες. ἐστὶ δὲ εὐκοίλιον. οὐρητικόν. εὐχροίας ποιητικόν. πλεονασθὲν δὲ ἐν βρωτῷ ἢ ἐν ποτῷ, μετὰ στρόφου αἷμα ἄγει διὰ κοιλίας καὶ κύστεως. καθαίρει δὲ ἕλκη σὺν μέλιτι. καὶ φακοὺς καὶ ἐφήλεις καὶ σπίλους. καὶ τὸ λοιπὸν σῶμα. νομάς τε ἵστησι καὶ σκληρώματα καὶ γαγγραίνας. τάς τε σκληρίας μαλάσσει τὰς ἐν μαστοῖς. καὶ θηριώδη καὶ ἄνθρακας καὶ κηρία περιῤῥήσσει. φυραθεὶς δὲ σὺν οἴνῳ κυνόδηκτά τε καὶ ἀνθρωπόδηκτα καὶ ἐχιόδηκτα θεραπεύει καταπλασσόμενος. σὺν ὄξει δὲ δυσουρίας καὶ στρόφους τε τεινεσμοὺς παύει. ἁρμόζει δὲ παισὶ ἀτροφοῦσι, καρύου μέγεθος φρυκτὸν λειχθὲν σὺν μέλιτι. τὸ δὲ ἀφέψημα αὐτοῦ καταντλούμενον, χιμέθλας καὶ κνησμοὺς τοὺς ἐν σώματι θεραπεύει.

Περὶ θέρμου. τη.

Θέρμος ἥμερος. ῥωμαῖοι λούπινουμ. αἰγύπτιοι βρεχού. γνώριμος. οὗ τὸ ἄλευρον σὺν μέλιτι ἐκλειχόμενον ἢ μετὰ ὄξους πινόμενον, ἕλμινθας ἐκτινάσσει. καὶ αὐτοὶ δὲ ἀποβραχέντες καὶ ἔμπικροι ἐσθιόμενοι, τὸ αὐτὸ δρῶσι. καὶ τὸ ἀφέψημα αὐτῶν τὸ αὐτὸ ποιεῖ, μετὰ πηγάνου καὶ πεπέρεως ποθέν. ὅθεν καὶ σπληνικοὺς ὠφελεῖ. ἐπάντλημά τε γαγγραίναις ἐστὶ χρήσιμον. καὶ θηριώμασι, ψώραις ἀρχομέναις. ἀλφοῖς. σπίλοις. ἐξανθήμασί τε καὶ ἀχῶρσι. τὸ δ' αὐτὸ καὶ καταμηνίων καὶ ἐμβρύων ὑπαγωγικόν. μετὰ σμύρνης καὶ μέλιτος ἐν προσθέτῳ. καθαίρει δὲ τὸ ἄλευρον χρῶτα καὶ πελιώματα. καὶ φλεγμονὰς πραΰνει σὺν ἀλφίτῳ καὶ ὕδατι. σὺν ὄξει δὲ ἰσχιάδας παρηγορεῖ καὶ φύματα. χοιράδας δὲ μεταβάλλει ἐν ὄξει ἑψηθὲν καὶ καταπλασθέν. καὶ ἄνθρακας περιρρήσσει. μεθ' ὕδατος δὲ ὀμβρίου ἑψηθέντες οἱ θέρμοι ἄχρι χυλώσεως, σμήχουσι πρόσωπον. μετὰ δὲ χαμαιλέοντος ῥίζης τοῦ μέλανος ἑψηθέντες, προβάτων ψώρας ἰῶνται. ἐκλελουμένων τῷ ἀφεψήματι χλιαρῷ. ἡ δὲ ῥίζα ἑψηθεῖσα σὺν ὕδατι καὶ ποθεῖσα, οὔρησιν κινεῖ. οἱ δὲ ἀπογλυκανθέντες λεῖοι σὺν ὄξει ποθέντες στομάχου ἄσην πραΰνουσι. καὶ ἀνορεξίαν ἰῶνται. Γίνεται δὲ καὶ θέρμος ἄγριος. ὃν ῥωμαῖοι λούπινουμ ἀγρέστεμ καλοῦσιν, ἐμφερὴς τῷ ἡμέρῳ. κατὰ πάντα ὁ μικρότερος. ποιῶν ὅσα καὶ ὁ ἥμερος.

Περὶ γογγύλης. τθ.

Γογγύλη ἥμερος. οἱ δὲ, γογγυλίδα. οἱ δὲ, γολόσιον. ῥωμαῖοι ῥάπα. γογγύλης ἡ ῥίζα ἑφθὴ, τρόφιμος. πνευματωτική. σαρκὸς πλαδαρᾶς γεννητική. ἀφροδισίων παρορμητική. τὸ δὲ ἀφέψημα αὐτῆς, ποδάγρας καὶ χιμέθλων ἐστὶ κατάντλημα. καὶ αὐτὴ δὲ λεία καταπλασσομένη ὠφελεῖ. εἰ δέ τις ἐκγλύψας τὴν ῥίζαν κηρωτὴν ῥοδίνην ἐν αὐτῇ ἐπὶ θερμοσποδιᾶς τήξει, ποιεῖ πρὸς τὰ ἡλκωμένα χίμεθλα. ὁ δὲ ὀξὺς αὐτῆς ἀσπάραγος βιβρωσκόμενος ἑφθὸς. ἐστὶ δὲ διουρητικός. τὸ δὲ σπέρμα εἰς ἀντιδότους καὶ θηριακὰς ἀνωδύνους ἐντίθεται. βοηθεῖ δὲ καὶ τοῖς θανασίμοις ποθεῖσι. παρορμᾷ καὶ πρὸς ἀφροδίσια. ἁλμευθεῖσα δὲ ἀτροφωτέρα γίνεται βιβρωσκομένη. τὰς μέντοι ὀρέξεις ἀναλαμβάνει. ἡ μέντοι ἀγρία γογγύλη, φύεται ἐν ἀρούραις. θάμνος πηχυαῖος τὸ ὕψος. πολυκλαδὸς. ἐξ ἄκρου λεῖος. φύλλα ἔχουσα λεῖα. δακτύλου τὸ πάχος. ἢ καὶ μείζονα. καρπὸν δὲ ἐν λοβοῖσκα λυκώδεσι. ἀνοιχθέντων δὲ τῶν περικαρπίων, ἔσωθεν ἄλλος κεφαλοειδής ἐστι λοβός. ἐν ᾧ σπερμάτια μέλανα. θραυσθέντα δὲ λευκὰ ἔνδοθεν. μίγνυται δὲ σμήγμασι προσώπου καὶ τοῦ ἄλλου χρωτός. ὅσα διὰ ἀλεύρων γίνεται θερμίνου. ἢ πισίνου ἢ αἰρίνου, ἢ ὀροβίνου.

Περὶ βουνιάδος. τι.

Βουνιὰς. καὶ ταύτης ἡ ῥίζα ἑφθὴ. φυσώδης ἐστίν. ἧττον δὲ τρόφιμος. ποιεῖ γὰρ τὸ σπέρμα αὐτῆς ἀμβλύνει τὰ θανάσιμα πινόμενον. μίγνυται δὲ καὶ ἀντιδότοις. ἁλμεύεται καὶ ταύτης ἡ ῥίζα.

Περὶ ῥαφάνου. τια.

Ῥάφανος. οἱ δὲ, πολυειδής. ἠρύγγιον. ῥωμαῖοι ῥάδιξ ἰοσράς. ἄφροι θορφάθ. καὶ αὕτη πνευμάτων γεννητική καὶ θερμαντική. εὔστομος. ἀλλὰ δύστομαχος. ἐρευκτικὴ δέ ἐστι καὶ οὐρητική. εὐκοίλιος. δεῖ δὲ αὐτὴν ἐπιλαμβάνειν μᾶλλον συνεργοῦσαν τῇ ἀναδόσει. προεσθιομένη δὲ μετὰ εἶτα τῶν σιτίων. ἁρμόζει δὲ καὶ τοῖς ἐμεῖν μέλλουσι προεσθιομένη. ἀκριβοῖ δὲ καὶ τὰς αἰσθήσεις. ἑφθὴ δὲ ποιεῖ λαμβανομένη βήσσουσι χρονίως. καὶ τὰ πάχη γεννῶσι ἐν θώρακι. ὁ δὲ φλοιὸς αὐτῆς μετ' ὀξυμέλιτος λαμβανόμενος, ἐμετικώτερος. ἁρμόζων ὑδρωπικοῖς καταπλασθείς.

# ΔΕΥΤΕΡΟΝ.

ἐπιθετεῖ καὶ πληκτικοῖς. σὺν δὲ μέλιτι ὑπώπια αἴρει. βοηθεῖ δὲ καὶ ἐχιοδήκτοις. καὶ ἀλωπε-
κίας δασύνει. φακοὺς ἀποσμήχει σὺν αἰρίνῳ ἀλεύρῳ. βοηθεῖ καὶ τοῖς ὑπὸ μυκήτων
πνιγομένοις βεβρωσκόμενος ἢ πινόμενος. καὶ ἔμμηνα ἄγει. τὸ δὲ σπέρμα αὐτῆς ἐμμε-
τικόν. οὐρητικόν. σπληνὸς καθαιρετικὸν πινόμενον μετὰ ὄξους. γαγγραίνας δὲ χρονίως πα-
ρισθμίου ἄγχαις βοηθεῖ ἀφεψηθὲν σὺν ὀξυμέλιτι θερμῷ εἰς ἀναγαργάρισμα. καὶ πρὸς
κεράστου δῆγμα σὺν οἴνῳ πινόμενον βοηθεῖ. ἡ δὲ ἀγρία ῥάφανος, ἣν ῥωμαῖοι ἀρμοράκιαν κα-
λοῦσιν. οἱ δέ, ῥάφανον ὀρεινήν. οἱ δέ, ἄπιον. οἱ δέ, ἰσχάδα. οἱ δέ, χαμαιβάλανον ἀγρίαν. οἱ δὲ
λινόζωστιν. ῥωμαῖοι ῥάδιξ σιλβέστρις. ἀφροδιτοφαβοσίδδι. κλωνία δύο ἢ τρία σχοινώδη ἔ-
χει λεπτά, ἐρυθρά. φύλλα πηγάνῳ ἀγρίῳ ἐοικότα, ὑπομηκέστερα μέντοι καὶ στενότερα.
καρπὸς μικρός. ῥίζα ἀσφοδέλῳ παραπλησία, στρογγυλοτέρα, καὶ πρὸς τὸ τοῦ ἀπίου σχῆ-
μα μεστὴ ὀποῦ. φλοιὸν ἔχουσα λευκόν. ταύτης τὸ μὲν ἄνωθεν μέρος τῆς ῥίζης ληφθέν,
διὰ ἐμέτων ἄγει χολὴν καὶ φλέγμα. τὸ δὲ πρὸς τῇ ῥίζῃ κάτω καθαίρει. ὅλη δὲ ληφθεῖσα,
ἀμφοτέρας τὰς καθάρσεις κινεῖ. ὀπὸν δὲ βουληθεὶς, κόψας τὰς ῥίζας καὶ βαλὼν εἰς
κρατῆρα ὕδατος, τάραττε. καὶ τὸν ἐφιστάμενον ὀπὸν, πτερῷ ἀνελὼν ξήραινε. τούτου τρία
ἡμιωβόλια ποθέντα ἄνω καὶ κάτω καθαίρει.

Περὶ ῥαφάνου ἀγρίας. κεφ. ριβ.

Ῥάφανος ἀγρία ἣν ῥωμαῖοι ἀρμοράκιον καλοῦσι, φύλλα ἔχει ὅμοια τῇ ἡμέρῳ, πρὸς
τὰ τῆς λαμψάνης μᾶλλον. ῥίζα δὲ ἰσχνή, μακρά, ὑπόδριμυς. λαχανεύονται δὲ τὰ φύλ-
λα καὶ ἡ ῥίζα εἰς βρῶσιν ἑφθά. ἔστι δὲ θερμαντική, οὐρητική, καυματώδης.

Περὶ σισάρου. κεφ. ριγ.

Σίσαρον γνώριμον. οὗ ἡ ῥίζα ἑφθή, εὔστομος, εὐστόμαχος, οὐρητική, ὀρέξεως προκλητική.

Περὶ λαπάθου. κεφ. ριδ.

Λάπαθον, τὸ μὲν αὐτοῦ ὀξυλάπαθον λέγεται, φυόμενον ἐν ἕλεσι, σκληρὸν καὶ ἄκρα
ὑπόξυ. τὸ δὲ ἕτερον κηπευτὸν, οὐχ ὅμοιον τῷ προτέρῳ. τρίτον δ' ἐστὶν ἄγριον, μικρόν, πα-
ρόμοιον ἀρνογλώσσῳ, μαλακόν, ταπεινόν. ἔστι δὲ καὶ τέταρτον εἶδος αὐτοῦ, ὃ ἔνιοι ὀξαλί-
δα ἢ ἀναξυρίδα λάπαθον καλοῦσιν. οὗ φύλλα ὅμοια τῷ ἀγρίῳ καὶ μικρῷ λαπάθῳ.
καυλὸς οὐ μέγας. καρπὸς ὑπόξυς, ἐρυθρός, δριμὺς ἐπὶ τοῦ καυλοῦ, καὶ ἐπὶ τῶν παραφυά-
δων. πάντων δὲ τὸ λάχανον μαλάσσει κοιλίαν ἑψηθέν. ὠμὸν δὲ καταπλασσόμενον, με-
λικηρίδας ἐγχρόνῳ διαφορεῖ. τὸ δὲ σπέρμα τοῦ ἀγρίου καὶ τοῦ ὀξυλαπάθου καὶ τῆς ὀ-
ξαλίδος, πίνεται ὠφελίμως μεθ' ὕδατος ἢ οἴνου, πρὸς δυσεντερίας καὶ κοιλιακὰς δια-
θέσεις καὶ ἄσην στομάχου. καὶ πρὸς σκορπίου πληγήν. καὶ εἰ προπίοι δέ τις οὐδὲν πείσεται
πληγείς. αἱ δὲ ῥίζαι αὐτῶν ἑφθαὶ σὺν ὄξει καὶ ὠμαὶ καταπλασθεῖσαι, θεραπεύουσι λέ-
πρας, λειχῆνας, ὄνυχας λεπρούς. δεῖ δὲ προανατρίβειν τὸν τόπον ἐν ἡλίῳ νίτρῳ καὶ ὄ-
ξει. πραΰνει δὲ καὶ κνησμοὺς τὸ ἀφέψημα αὐτῶν περιαντλούμενον ἢ λουτρῷ ἀναδιδόμε-
νον. παρηγοροῦσι δὲ ὠταλγίαν καὶ ὀδονταλγίαν ἑψηθεῖσαι ἐν οἴνῳ καὶ διακλυζόμεναι. δια-
φοροῦσι καὶ χοιράδας καὶ παρωτίδας ἑφθαὶ σὺν οἴνῳ καταπλασθεῖσαι. σπλῆνα δὲ σὺν ὄξει.
καὶ ἐνδέματι δέ τινες χρῶνται ταῖς ῥίζαις πρὸς χοιράδας, περιάπτοντες τῷ τραχήλῳ.
ἱστᾶσι καὶ ῥοῦν γυναικεῖον προστεθεῖσαι λεῖαι. ἀφεψηθεῖσαι δὲ σὺν οἴνῳ καὶ πινόμεναι,
ἰκτερικοὺς ἀποθεραπεύουσι. καὶ λίθους τοὺς ἐν κύστει θρύπτουσι. ἔμμηνά τε ἄγουσι.
καὶ σκορπιοπλήκτοις βοηθοῦσι.

καρπὸς οὐ μέγας καυλὸς ἀπόξυς

Περὶ λαμψάνης. κεφ. τιε.

Λαμψάνη· ῥωμαῖοι νάπουμ· αἰγύπτιοι ὄυθμοι. λάχανόν ἐστιν ἄγριον, τροφιμώτερον καὶ εὐστομαχώτερον τοῦ λαπάθου. οὗ τὰ φύλλα καὶ ὁ καυλὸς ἐσθίεται ἑφθά.

Περὶ ἱππολαπάθου. κεφ. τις.

Ἱππολάπαθον λάχανόν ἐστι μέγα ἐν ἕλεσι γεννώμενον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς προειρημένοις.

Περὶ βουνίου. κεφ. τιζ.

Βούνιον· οἱ δὲ, ἄτον· οἱ δὲ, ἀκτίνιον· οἱ δὲ, ἀνεμόσφορον· προφῆται πηδάδελφυ· αἰγύπτιοι, ἐρξώλω· ῥωμαῖοι σκόπαρέγια· ἀφροζίγη· οἱ δὲ, θεμψώ. καυλὸν ἀνίησι τετράγωνον· καὶ ἐν αὐτῷ κλωνάρια περὶ πολλὰ φυλλάρια λεπτῶν καὶ αὐθῶν πολλά. τῷ μήκει δακτυλιαίων· φύλλα δὲ πρὸς τῇ ῥίζῃ ὅμοια σελίνου. λεπτότερα δὲ πολλῷ πρὸς τὰ τοῦ ξιβωλε. ἄνθος δὲ ὡς ἀνήθου. σπέρμα εὐῶδες. ὑοσκυάμου μικρότερον. ἔστι δὲ οὐρητικόν. θερμαντικόν. καὶ δευτέρων ἀγωγόν, σπληνί τε καὶ νεφροῖς καὶ κύστει ἐπιτήδειον. χυλὸς δὲ αὐτοῦ ὑγροῦ τε καὶ ξηροῦ καὶ χυλισθέντος σὺν ταῖς ῥίζαις καὶ τοῖς καυλοῖς μετὰ μελικράτου ὠφέλιμος.

Περὶ βλήτου. κεφ. τιη.

Βλῆτον· αἰγύπτιοι ἐχλωτοριτέμ· οἱ δὲ ῥιπλάμ· ῥωμαῖοι βλίτουμ. δάκοι βλής. λαχανεύεται καὶ τοῦτο· ἔστι δὲ εὐκοίλιον· οὐδεμίαν ἔχει φαρμακώδη δύναμιν.

Περὶ μαλάχης. κεφ. τιθ.

Μαλάχη κηπευτή· ῥωμαῖοι μάλβα ὀρτένσις· πυθαγόρας ἄνθεμα· ζωροάστρης, διαδέσμα· αἰγύπτιοι χωκορτιώ· προφῆται αἶγος σπλήν· οἱ δὲ, οὐραμνός. ἐδωδιμωτέρα μᾶλλον ἡ κηπευτὴ, τῆς χερσαίας. κακοστόμαχος δὲ καὶ εὐκοίλιος. καὶ μᾶλλον οἱ καυλοί. ἐντέροις δὲ καὶ κύστει ὠφέλιμος. δύναμιν δὲ ἔχει τὰ φύλλα ὠμὰ μασηθέντα μετὰ ὀλίγων ἁλῶν αἰγιλώπια ἀνασκευάζειν σὺν μέλιτι· πρὸς μέντοι τὴν ἀπουλῶσιν, δίχα τῶν ἁλῶν χρηστέον αὐτῇ. ποιεῖ καὶ πρὸς μελισσῶν καὶ σφηκῶν πληγὰς καταπλασσομένη. κἂν περιχρίσηταί τις αὐτὴν ὠμὴν λείαν σὺν ἐλαίῳ, ἄπληκτος διαμένει. μετὰ δὲ οὔρου καταπλασθεῖσα, ἀχῶρας καὶ πίτυρα ἰᾶται. ἑφθὰ δὲ λεῖα τὰ φύλλα καὶ σὺν ἐλαίῳ ἐπιτιθέμενα, πυρικαύτοις καὶ ἐρυσιπέλασιν ὠφελεῖ. τὸ δὲ ἀφέψημα αὐτῆς μαλακτικὸν ἐγκάθισμα ὑστέρας· εἰς τε ἐνέματα. πρὸς δηγμοὺς ἐντέρων καὶ μήτρας καὶ δακτυλίου ἁρμόδιον. ὁ δὲ ζωμὸς σὺν ταῖς ῥίζαις βοηθεῖ ἑψόμενος πᾶσι τοῖς θανασίμοις. ξεράν ἢ δεῖ συνεχῶς πίνοντας· ὠφελεῖ δὲ καὶ φαλαγγιοδήκτοις. καὶ γάλα κατασπᾷ. ὁ δὲ καρπὸς μιγνύμενος αὐτῷ λωτοῦ ἀγρίου σπέρματος, πινόμενος μετὰ οἴνου, τὰ περὶ κύστιν ἀλγήματα πραΰνει.

Περὶ ἀτραφάξυος. κεφ. τκ.

Ἀτράφαξις· οἱ δὲ, χρυσολάχανον· ῥωμαῖοι ἀτριπλίκεμ· αἰγύπτιοι ὠχεῖ. λάχανον γνώριμον. διττόν· τὸ μὲν, ἄγριον· τὸ δὲ, κηπευτόν. λαχανεύεται δὲ ἑφθόν. ἔστι δὲ κοιλίας μαλακτικόν. καταπλασσόμενον δὲ ὠμόν τε καὶ ἑφθὸν, φύγεθλα διαφορεῖ. ὁ δὲ καρπὸς αὐτοῦ πινόμενος μετὰ μελικράτου, ἴκτερον θεραπεύει.

Περὶ κράμβης. κεφ. τκα.

Κράμβη ἥμερος. ἡ δὲ κράμβη κηπαία. ῥωμαῖοι βράσσικα. εὐκοίλιος ἀκρόζεστος ἐσθιομένη· καθεψηθεῖσα δὲ κοιλίαν ἵστησι. καὶ μᾶλλον ἡ δὶς ἑφθεῖσα καὶ ἐν κονίᾳ ἑψηθεῖσα. κακοστόμαχος δὲ καὶ δριμυτέρα ἡ θερινή. ἡ δὲ ἐν αἰγύπτῳ διὰ πικρίαν ἄβρωτος. ἀμβλυωποῦσι δὲ βοηθεῖ καὶ τρομώδεσιν ἐσθιομένη. καὶ τὰς ἐκ κραιπάλης καὶ οἰνοκακίας σβεννύουσιν ἐπιλαμβανομένη. τὸ δὲ ὀξ' αὐτῆς κύημα εὐστομαχώτερον μὲν, δριμύτερον δὲ

καὶ

καὶ οὐρητικώτερον. τ᾽ ἐκχυθὲν ἢ κακοστόμαχον. καὶ κοιλίας ταρακτικόν. ὁ δὲ χυλὸς αὐτῆς ὠμὸς μετὰ ἴρεως καὶ νίτρου καταπινόμενος, κοιλίαν μαλάττει. μετ᾽ οἴνου δὲ ποθεὶς ἐχιοδήκτοις βοηθεῖ. σὺν τηλίνῳ δὲ ἀλεύρῳ καὶ ὄξει, ποδαγρικοῖς καὶ ἀρθριτικοῖς. ἕλκεσί τε ῥυπαροῖς ἐπιπλαττόμενος καὶ παλαιοῖς ἁρμόζει. ἐγχεόμενός τε καθ᾽ αὑτὸν τοῖς ῥισί, κεφαλὴν καθαίρει. μετὰ δὲ αἰρίνου ἀλεύρου προστεθεὶς, καταμήνια ἄγει. τὰ δὲ φύλλα καταπλασσόμενα καθ᾽ αὑτὰ ἢ μετὰ ἀλφίτων λεῖα, ποιεῖ πρὸς πᾶσαν φλεγμονὴν καὶ οἰδήματα. καὶ ἐρυσιπέλατα δὲ καὶ ἐπινυκτίδας καὶ λέπρας ἰᾶται. μεθ᾽ ἁλῶν δὲ ἄνθρακας περιρρήγνυσιν. ἴσχει δὲ καὶ ῥύσιν τῶν ἐν κεφαλῇ τριχῶν. ἑψόμενα δὲ καὶ μεμιγμένα μέλιτι, πρὸς νομὰς καὶ γαγγραίνας ποιοῦσιν. ὠμὰ δὲ ἐσθιόμενα μετ᾽ ὄξους, σπληνικοὺς ὠφελεῖ. διαμασσώμενα δὲ, φωνὴν ἀποκοπεῖσαν καθίστησι τοῦ χυλοῦ καταπινομένου. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς, κοιλίαν καὶ ἔμμηνα κινεῖ πινόμενον. τὸ δὲ ἄνθος ἀτόκιον μετὰ τὴν ἀποκύησιν προστιθέμενον ἐν πεσσῷ. τὸ δὲ σπέρμα μάλιστα τὸ ἐν αἰγύπτῳ γινόμενον πινόμενον, ἕλμινθας ἐκτινάσσει. μίσγεται δὲ καὶ εἰς ἀντιδότους κοιλιακάς. πρόσωπόν τε ἀποκαθαίρει καὶ φακούς. οἱ δὲ καυλοὶ χλωροὶ κατακαυθέντες σὺν ταῖς ῥίζαις καὶ ἀναληφθέντες στέατι χοιρείῳ παλαιῷ, πλευρᾶς χρόνια ἀλγήματα ἐπιτεθέντες παύουσιν.

Περὶ κράμβης ἀγρίας. κεφ. τκβ.

Κράμβη ἣν ῥωμαῖοι βράσικα ῥουστίκα. φύεται ὡς ἐπὶ τὸ πλεῖστον ἐν παραθαλασσίοις καὶ κρημνώδεσι τόποις. ἐοικυῖα τῇ ἡμέρῳ. λευκοτέρα δὲ οὖσα καὶ δασυτέρα καὶ πικρά. τὸ δὲ κλῆμα αὐτῆς ἐν κονίᾳ ἑψηθὲν οὐκ ἄσομον. δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλασσόμενα, κολλητικὴν τραυμάτων, καὶ διαφορητικὴν οἰδημάτων τε καὶ φλεγμονῶν.

Περὶ κράμβης θαλασσίας. κεφ. τκγ.

Ἡ δὲ θαλασσία λεγομένη κράμβη, ὅλη ἀλλοιοτέρα παντὶ τῆς ἡμέρου. ἔχουσα φύλλα σμικρὰ λεπτά. τῇ στρογγύλῃ ἀριστολοχίᾳ ὅμοια. ἐκπέφυκε δὲ ἕκαστον αὐτῶν ἀπὸ κλωνίων ὑπερύθρων. ἐξ ἑνὸς μόσχου ὡς ἡ κισσός. ἔχει δὲ καὶ ὀπὸν λευκὸν οὐ πολύν. ἔστι δὲ τῇ γεύσει ὑφαλμυρός. καὶ ποσῶς ἔμπικρος. λιπαρὰ τὴν σύστασιν. ὅλη δὲ ἡ πόα, κακοστόμαχος δριμεῖα. κοιλίας λυτικωτάτη ἑφθὴ βρωθεῖσα. συνέψουσι δὲ αὐτῇ ἔνιοι διὰ τὴν δριμύτητα τὰ λιπαρὰ τῶν κρεῶν.

Περὶ τεύτλου. κεφ. τκδ.

Τεῦτλον μέγα. ῥωμαῖοι βέτα σιλβάτικα. διττόν ἐστιν. ὧν τὸ μὲν μέλαν σταλτικώτερον κοιλίας σὺν φακῇ ἑψηθέν. καὶ μᾶλλον ἡ ῥίζα. τὸ δὲ λευκὸν εὐκοίλιον. ἀμφότερα δὲ κακόχυμα διὰ τὸ ἐν αὐτοῖς νιτρῶδες. ὅθεν ὁ χυλὸς αὐτῶν καθαίρει κεφαλήν. ῥινὶ ἐγχεόμενος μετὰ μέλιτος. καὶ ὠταλγίας ὠφελεῖ. τὸ δὲ τῶν ῥιζῶν καὶ τῶν φύλλων ἀφέψημα, πιτύρων καὶ κονίδων σμηκτικόν. καὶ χιμέθλης πραϋντικὸν καταντλούμενον. ὠμοῖς δὲ τοῖς φύλλοις καταπλάσσειν δεῖ ἀλφοὺς προεκνιτρωθέντας. ἀλωπεκίας κατακνησθείσας. καὶ τὰ νεμόμενα ἕλκη. ἑφθὴ δὲ ἐξανθήματα καὶ πυρίκαυτα καὶ ἐρυσιπέλατα ἰᾶται.

Περὶ ἀνδράχνης ἀγρίας. κεφ. τκε.

Ἀνδράχνη ἀγρία. οἱ δὲ, ἀείζωον ἄγριον. οἱ δὲ τηλέφιον. ῥωμαῖοι ἰλλέκεβραμ. οἱ δὲ, πορτουλάκαμ. ἀφροιμόιμουμ. δάκοι λάξ. αἰγύπτιοι μοχμουτίμ. ἔχει αὕτη πλατύτερα φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πετρώδεσι τόποις. ἔστιν ὅτε καὶ ἐν κήποις. φύλλα ἔχει ὅμοια ἐλαίας. μικρότερα δὲ πολλῷ, πλείονα δὲ καὶ ἁπαλά. καυλία ἐρυθρά. ἀπὸ μιᾶς ῥίζης πολλὰ ἐπὶ γῆν κεκλιμένα. μασσώμενα δὲ εὔχυμα καὶ

ὀλίγχεται ὑφάλμυρα. δύναμιν δὲ ἔχει θερμαντικήν. δριμεῖαν. ἑλκωτικήν. χοιράδων διαφορητικὴν· σὺν ἀξουγγίῳ καταπλασσόμενον.

Περὶ ἀνδράχνης. τκϛ.

Ἀνδράχνη δύναμιν ἔχει στυπτικήν. καταπλασσομένη δὲ μετὰ ἀλφίτων, κεφαλῆς ἀλγήμασι καὶ ὀφθαλμῶν φλεγμοναῖς καὶ ταῖς ἄλλαις. καὶ στομάχου πυρώσεσι καὶ ἐρυσιπέλασι, καὶ κύστεως ἀλγήμασι βοηθεῖ. βρωθεῖσα δὲ, αἱμωδίας καὶ στομάχου καὶ ἐντέρων πύρωσιν καὶ ῥευματισμὸν πραΰνει. νεφρούς τε δακνομένους καὶ κύστιν εὐδιατίθησι. καὶ τὰς πρὸς συνουσίας ὁρμὰς ἐκλύει. παραπλησίως δὲ καὶ ὁ χυλὸς αὐτῆς ἐνεργεῖ πινόμενος καὶ ἐν πυρετοῖς πίνων. ἔτι πρὸς ἕλμινθας στρογγύλας. αἵματος πτύσιν καὶ δυσεντερίας. καὶ πρὸς αἱμορροΐδας καὶ αἱμορραγίας, πολυεφθεῖ γινομένη. καὶ πρὸς σηπτὰ δήγματα. ἔτι εἰς τὰ ὀφθαλμικὰ χρησίμως μίγνυται. ἔγκλυσμά τε ἐντέρων ῥευματιζομένων. ἢ δακνομένης μήτρας, καὶ πρὸς τὰς ἐξ ἐγκαύσεως κεφαλαλγίας σὺν ῥοδίνῳ ἢ ἐλαίῳ ἔμβρεγμα. πρός τε τὰ ἐν κεφαλῇ ἐξανθήματα, σὺν οἴνῳ σμῆγμα. πρὸς τραύματα δὲ σφακελίζοντα, σὺν ἀλφίτῳ καταπλασσομένη.

Περὶ ἀσπαράγου. τκζ.

Ἀσπάραγος πετραῖος ἢ μυάκανθα. οἱ δὲ, μύον καλοῦσι. γνώριμος. οὗ τὸ καυλίον ἑψηθὲν, ἢ βρωθὲν, κοιλίαν μαλάσσει καὶ οὖρα κινεῖ. τῶν δὲ ῥιζῶν τὸ ἀφέψημα πινόμενον, βοηθεῖ δυσουροῦσιν. ἰκτερικοῖς. νεφριτικοῖς. ἰσχιαδικοῖς. φαλαγγιοδήκτοις δὲ μετ' οἴνου ἀφεψόμενον. καὶ ὀδονταλγοῦσι δὲ κρατουμένου τοῦ ἀφεψήματος ἐπὶ τοῦ πονοῦντι ὀδόντι. ποιεῖ δὲ πρὸς τὰ αὐτὰ καὶ τὸ σπέρμα πινόμενον. φασὶ δὲ ἔτι τοὺς κύνας πίνοντας τὸ ἀφέψημα αὐτοῦ ἀποθνήσκειν. ἔνιοι δὲ ἱστόρησαν ὅτι ἐάν τις κριοῦ κέρατα συγκόψας κατορύξῃ, φύεται ἀσπάραγος. ἐμοὶ δὲ ἀπίθανον. ὁ μὲν γὰρ ἀσπάραγος ἕτερος, θάμνος ἐστὶ πολύκλαδος. φύλλα ἔχων πολλά. μακρά. ὅμοια μαράθρῳ. ῥίζαν στρογγύλην μεγάλην. ἔχουσαν κόνδυλον. τούτου τὸ καυλίον λειωθὲν μετὰ οἴνου λευκοῦ, παύει φρενίτιδας. ἑφθὸς δὲ ἢ ὀπτὸς λαμβανόμενος, παύει στραγγουρίας καὶ δυσουρίας. ἔτι δυσεντερίας. ἡ δὲ ῥίζα αὐτοῦ ἑψηθεῖσα ἐν ὄξει ἢ οἴνῳ, παύει στρέμματα. ἑφθὴ δὲ μετὰ σύκων καὶ ἐρεβίνθων λαμβανομένη, ἰᾶται ἴκτερον. καὶ παύει ἰσχιάδα καὶ στραγγουρίαν. περιαπτομένη δὲ καὶ τὸ ἀπόζεμα αὐτῆς πινόμενον, ποιεῖ ἀτόκιον καὶ ἄγονον.

Περὶ ἀρνογλώσσου. τκη.

Ἀρνόγλωσσον. οἱ δὲ ἄρνειον. οἱ δὲ, προβάτειον. οἱ δὲ, κυνόγλωσσον. οἱ δὲ, ἑπτάπλευρον. οἱ δὲ, πολύνευρον. προφῆται οὐρεχθύμονος. Αἰγύπτιοι ἀσόνθ. Ῥωμαῖοι πλαντάγω μίνορ. τερβυλοδάθιον. Ἱσπανοὶ θησαρικάμ. Ἀφροὶ ἀττιερνέν. δισσὸν ἐστί. τὸ μὲν μικρόν. τὸ δὲ, μεῖζον. ἔχει δὲ τὸ μὲν μικρὸν φύλλα στενώτερα καὶ μικρότερα. καὶ μαλακώτερα καὶ λειότερα καὶ λεπτότερα. καυλίῳ δὲ γωνιοειδεῖ κεκλιμένα ὡς ἐπὶ τὴν γῆν. ἄνθη ὠχρά. τὸ δὲ σπέρμα ἐπ' ἄκρων τῶν καυλῶν. τὸ δὲ μεῖζον εὐερνέστερον. πλατύφυλλον. λαχανῶδες. καυλὸς δὲ ἐπὶ τούτου γωνιώδης. ὑπέρυθρος. ὕψος πήχεος. ἐκ μέσου μέχρι κορυφῆς σπέρματι περιεχόμενος λεπτῷ. ῥίζαι δὲ ὕπεισιν ἁπαλαί. δασεῖαι. λευκαί. πάχος δακτύλου. γίνεται δὲ πρὸς τοῖς τέλμασι καὶ φραγμοῖς καὶ ἐνίκμοις τόποις. εὐχρηστότερον δὲ τὸ μεῖζον. δύναμιν δὲ ἔχει τὰ φύλλα ξηραντικήν. στυπτικήν. ὅθεν καὶ καταπλασσόμενα πρὸς πάντα τὰ κακοήθη καὶ ἐλεφαντιῶντα ῥευματικὰ καὶ ἀκάθαρτα ἕλκη ἁρμόζει. ἴσχει δὲ καὶ αἱμορραγίας. νομάς.

ἄνθρακας

ΔΕΎΤΕΡΟΝ

ἄνθρακας. ἕρπητας. ἐπινυκτίδας. ἀπονυχίας καὶ ἕλκη χρόνια καὶ ἀνώμαλα. καὶ τὰ
χειρώνεια ἰᾶται. καὶ κόλπους παρακολλᾷ. καὶ τὰ κακοήθη τε καὶ πυρίκαυτα. φλεγ-
μονάς. παρωτίδας. φύγεθλα. χοιράδας δὲ καὶ αἰγίλωπας σὺν ἄλσιν ἐπιπλασσόμενα
ὠφελεῖ. ἑφθὸν δὲ τὸ λάχανον μετὰ ἁλῶν καὶ ὄξους λαμβανόμενον, δυσεντερικοῖς καὶ
κοιλιακοῖς ἁρμόζει. δίδοται δὲ καὶ μετὰ φακῆς ἀντὶ σεύτλων συνεψόμενον. καὶ πρὸς
λευκοφλεγματίαν μετὰ τὸ ξηροφαγῆσαι, μέση δίδοται ἡ πόα ἑφθή. ποιεῖ δὲ καὶ ἐπ-
ιληπτικοῖς καὶ ἀσθματικοῖς διδομένη. ὁ δὲ χυλὸς τῶν φύλλων, τὰ ἐν στόματι ἕλκη
ἀνακαθαίρει. συνεχῶς διακλυζόμενος. σὺν δὲ κιμωλίᾳ ἢ ψιμμυθίῳ, ἰᾶται τὰ ἐρυ-
σιπέλατα. σύριγξί τε ἐγκλυζόμενος ὠφελεῖ. καὶ πρὸς ὠταλγίας καὶ ὀφθαλμίας
ἐνσταζόμενος ὁ χυλός. καὶ κολλουρίοις μισγόμενος. καὶ πρὸς οὖλα αἱμασσόμενα. ἔτι
πρὸς αἷμα ἀνάγοντας πινόμενος. καὶ πρὸς δυσεντερικοὺς ἐγκλυζόμενος. πίνεται
δὲ καὶ πρὸς φθίσιν καὶ πρὸς ὑστερικὰς πνίγας προστίθεται ἐν ἐρίῳ. καὶ ὑστέρᾳ ῥεύμα-
τι πιεζομένῃ. καὶ ὁ καρπὸς δὲ πινόμενος μετ' οἴνου, τοὺς τῆς κοιλίας ῥευματισμοὺς καὶ
πτύσεις αἵματος ἐπέχει. ἡ δὲ ῥίζα ἀφεψηθεῖσα καὶ διακλυζομένη καὶ διαμασσωμένη,
ὀδονταλγίας παύει. πρὸς δὲ τὰ ἐν κύστει ἕλκη καὶ νεφροῖς, δίδοται ἡ ῥίζα καὶ τὰ φύλ-
λα μετὰ γλυκέος. φασὶ δὲ ῥίζας τρεῖς ποθείσας μετ' οἴνου κυάθων τριῶν καὶ ὕδατος ἴ-
σου, τριταίῳ βοηθεῖν. τεταρταίῳ δὲ τέσσαρας ῥίζας. ἔνιοι δὲ καὶ ἐν δέρματι χρῶνται τῇ
ῥίζῃ πρὸς χοιράδας καὶ διαφορήσειν. Οἱ δὲ Σύροι τὸν τούτου ζωμὸν καὶ τῆς καλαμίν-
θης σὺν μέλιτι, φασὶ τοὺς περιγείους θεραπεύειν. διδόμενον δευτέρᾳ τετάρτῃ καὶ πέμ-
πτῃ σελήνῃ. τοῦτο ὡς μυστήριόν τι δέχου. ἔστι γὰρ ἀληθὲς τοῦτο καὶ διὰ πείρας.

Περὶ σίου. κεφ. τκθ.

Σίον τὸ ἐν ὕδασιν. οἱ δέ, ἀναγαλλὶς ἔνυδρος. οἱ δέ, σχῖνος ἀρωματική. οἱ δέ, δέρλω ἴον, οἱ δὲ
λαουβέρδε. εὑρίσκεται ἐν τοῖς ὕδασι θαμνίον ὀρθόν. λιπαρόν. φύλλα ἔχει πλατέα,
ἱπποσελίνῳ ἐοικότα. μικρότερα δὲ καὶ ἀρωματίζοντα. ἃ περὶ ἐσθιόμενα ἑφθά τε καὶ
ὠμά, λίθους θρύπτει καὶ ἐκκρίνει. οὖρά τε κινεῖ. καὶ ἔμβρυα καὶ ἔμμηνα ἄγει. δυσεντε-
ρικοῖς τε χρήσιμα βρωθέντα. Κρατεύας δὲ ἱστορεῖ περὶ αὐτοῦ οὕτω. θαμνίσκος ἐστὶν ὀ-
λίγα φύλλα ἔχων. περιφερῆ. μείζονα ἡδυόσμου. μέλανα. παρεγγίζοντα εὐζώμῳ.

Περὶ σισυμβρίου. κεφ. τλ.

Σισύμβριον. οἱ δέ, ἕρπυλλον καλοῦσιν. οἱ δέ, ἀφροδίτης στέφανον. ῥωμαῖοι σιστράλις. οἱ δ',
ἔρβα βενέρεα. ἐν χέρσοις φύεται. ἔοικε δὲ ἡδυόσμῳ κηπαίῳ. πλατυφυλλότερον δὲ καὶ
εὐωδέστερον. στεφανωματικόν. δύναμιν δὲ ἔχει θερμαντικήν. ἁρμόζει δὲ πρὸς στραγ-
γουρίας καὶ λιθιώσεις τὸ σπέρμα, σὺν οἴνῳ πινόμενον. καὶ στρόφους τε λυγμοὺς παύει.
τὰ δὲ φύλλα ἐπιπλάσσεται πρὸς κεφαλαλγίαν κατὰ τῶν κροτάφων καὶ τοῦ με-
τώπου. πρός τε σφηκῶν πληγὰς καὶ μελιττῶν. ἵστησι δὲ καὶ ἐμέτους ποθέν.

Περὶ ἑτέρου σισυμβρίου. κεφ. τλα.

Σισύμβριον ἕτερον. οἱ δέ, καρδαμίνην. οἱ δέ, τὸ σίον καλοῦσιν. ἔνυδρός ἐστι πόα. κα-
τὰ τὰ αὐτὰ τῷ σίῳ γεννωμένη. καρδαμίνην δ' ἔνιοι λέγουσι, διὰ τὸ ἐοικέναι κάρδα-
μον τὴν γεῦσιν. φύλλα ἔχει τὰ μὲν πρῶτον περιφερῆ. αὐξόμενον δὲ σχίζεται ὡς τὰ
τοῦ εὐζώμου. ἔστι δὲ θερμαντικόν. οὐρητικόν. βιβρώσκεται δὲ καὶ ὠμόν. ἀποκαθαί-
ρει δὲ καὶ φακούς. καὶ ἐφήλεις καταπλασθέντα δι' ὅλης τῆς νυκτός. ἕωθεν δὲ ἀπο-

κλυσθέν.

### Περὶ κρίθμου. κεφ. τλβ.

Κρίθμον· οἱ δὲ, κρήταμον. θαμνῶδές ἐστι βοτάνιον, ἀμφιλαφὲς, περὶ πῆχυν τὸ ὕψος. φυόμενον ἐν περιθαλασσίοις καὶ παραθαλασσίοις τόποις. φύλλοις πλείοσι λιπαροῖς καὶ ὑπολεύκοις. τοῖς τῆς ἀνδράχνης προσεοικόσι. πλατυτέροις μέντοι καὶ ἐπιμηκεστέροις. ἁλμυρίζουσι δὲ πρὸς τὴν γεῦσιν. ἄνθη λευκά. τὸν δὲ καρπὸν ὥσπερ λιβανωτίδος μαλακὸν, εὐώδη, στρογγύλον. ὃς ξηρανθεὶς διΐσταται. καὶ ἔνδον ὡς πυρὸν ἔχει τὸ σπέρμα. ῥίζας δὲ δακτύλου τὸ πάχος, τρεῖς ἢ τέσσαρας, εὐώδεις, ἡδείας. δύναται δὲ ὁ καρπὸς καὶ ἡ ῥίζα καὶ τὰ φύλλα ἑναφεψηθέντα οἴνῳ καὶ ποθέντα, βοηθεῖν δυσουροῦσι καὶ ἰκτερικοῖς. κινεῖ καὶ καταμήνια. λαχανεύεται ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον. καὶ ταριχεύεται ἐν ἅλμῃ.

### Περὶ κορωνόποδος. κεφ. τλγ.

Κορωνόπους· οἱ δὲ, ἄμμονος· οἱ δὲ, ἄστριον. ἄφροι ἀπριστήκ. ῥωμαῖοι κακιαβρίκιμ. οἱ δὲ σιλάγω. οἱ δὲ, σαγμινάριαμ. πρόμηκες βοτάνιον ἐπὶ τοῦ ἐδάφους ἐστρωμένον. κατεσχισμένον τὰ φύλλα. λαχανεύεται δὲ καὶ τοῦτο ἑφθόν. ῥίζαν λεπτὴν ἔχον. στυπτικὴν. ἐσθιομένην. πρὸς κοιλιακοὺς ποιοῦσαν. γίνεται δὲ ἐν χέρσοις τόποις. καὶ ἐν δώμασι καὶ ἐν ταῖς ὁδοῖς.

### Περὶ σόγχου. κεφ. τλδ.

Σόγχος τραχύς. οἱ δὲ, κιχώριον. ῥωμαῖοι κικέρβιτα ἄσπερα. ἄφροι γαθουνίνημ. τούτου δὲ δύο εἴδη. τὸ μὲν, γάρ ἐστιν ἀγριωδέστερον καὶ ἀκανθωδέστερον. τὸ δὲ, τρυφερώτερον καὶ ἐδώδιμον. καυλὸς δὲ γωνιοειδὴς, ἐνίοτε καὶ ὑπέρυθρος. φύλλα ἔχει ἐκ διαστημάτων ἐσχισμένα τὴν περιφέρειαν. δύναμις δὲ αὐτῶν ἐστὶ ψυκτική. μετρίως ὑποστύφουσα. ὅθεν στομάχῳ καυσουμένῳ καὶ φλεγμοναῖς, καταπλασσόμενοι ἁρμόζουσιν. ὁ δὲ χυλὸς καταρροφούμενος, δηγμὸν στομάχου καταπραΰνει. καὶ γάλα κατασπᾷ. προστεθεὶς δὲ ἐν ἐρίῳ, δακτυλίου καὶ μήτρας φλεγμοναῖς βοηθεῖ. ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλασθεῖσα σκορπιοπλήκτοις ἀρήγει. ὁ δὲ ἕτερος σόγχος ὁ καὶ τρυφερὸς, δενδρώδης ἐστὶ. καὶ πλατύφυλλος. τὰ δὲ φύλλα δεῖ λέγειν κλάδους ἔχοντα. καὶ οὗτος δὲ τὰ αὐτὰ ποιεῖ.

### Περὶ σέρεως. κεφ. τλε.

Σέρις ἥμερος. οἱ δὲ πικρίδα. αἰγύπτιοι ἄγον. ῥωμαῖοι ἰντύβουμ ἀγρέστεμ. οἱ δὲ σικώτιμ ἀγρία. πικρὶς ἡ καὶ κιχώριον καλουμένη. ἡ δέ τις ἐστὶ καὶ πλατυφυλλοτέρα καὶ εὐστομαχωτέρα τῆς κηπευτῆς. καὶ ταύτης δὲ διττὸν εἶδος. ἡ μὲν γάρ τις ἐστὶ θριδακωδεστέρα καὶ πλατύφυλλος. ἡ δὲ, στενόφυλλος καὶ ἔμπικρος. ἀμφότεραι δὲ στυπτικαί. ψυκτικαὶ καὶ εὐστόμαχοι. ἱστᾶσι δὲ καὶ κοιλίαν ἑφθαί. μετ᾽ ὄξους λαμβανόμεναι. καὶ μάλιστα αἱ ἄγριαι εὐστομαχώτεραι. βρωθεῖσαι γὰρ, ἀτονοῦντα στόμαχον παρηγοροῦσι καὶ καυσούμενον. καταπλασσόμεναι δὲ σὺν ἀλφίτῳ καὶ καθ᾽ ἑαυτὰς καρδιακοῖς εἰσὶ χρήσιμοι. ποδάγραις καὶ ὀφθαλμῶν φλεγμοναῖς βοηθοῦσιν. ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλασθεῖσα, σκορπιοπλήκτοις ἀρήγει. καὶ ἐρυσιπέλατα σὺν ἀλφίτῳ ἰᾶται. σὺν ψιμμυθίῳ δὲ καὶ ὄξει ἐστὶν ὁ χυλὸς αὐτῶν ἐπίχριστος τῶν ψύξεως δεομένων.

### Περὶ κονδρίλλης. κεφ. τλϛ.

Κονδρίλλη· οἱ δὲ, καὶ ταύτην κιχώριον καλοῦσιν ἢ σέριδα. τὰ μὲν φύλλα καὶ τὸν καυλὸν καὶ τὰ ἄνθη ἔχει κιχωρίῳ ὅμοια. ὅθεν καὶ εἶδος αὐτὸ τινὲς εἶπον σέριδος ἀγρίας. λεπτότερον δὲ τὸ ὅλον. περὶ δὲ τοῖς κλωναρίοις αὐτοῖς, εὑρίσκεται κόμμι ὅμοιον μαστίχῃ. μεγέθει κυαμιαῖα. ἅπερ προστιθέντα μετὰ σμύρνης λεῖα, ἐν ὀθονίῳ, μεγέθει ἐλαίας,

ἔμμηνα ἄγει. ἡ δὲ πόα σὺν τῇ ῥίζῃ κοπεῖσα, εἰς δὲ χρῆσιν ἀναπλασσομένη μετὰ
μέλιτος· οἱ ὄπιον αὐθέντες καὶ νίτρῳ μιγέντες, ἀλφοὺς ἀποσμήχουσιν. ἀνακολλᾷ δὲ καὶ
τρίχας τὸ κόμμι. καὶ ἡ ῥίζα δὲ πρόσφατος ποιεῖ εἰς τὰ αὐτά. βαπτομένης εἰς αὐ-
τὴν βελόνης καὶ προσαπτομένης ταῖς θριξίν. ἁρμόζει δὲ καὶ πρὸς ἔχεις σὺν οἴνῳ πινο-
μένη. καὶ κοιλίαν ἵστησιν ὁ χυλὸς αὐτῆς ἑψηθεὶς σὺν οἴνῳ καὶ ποθείς, καὶ καθ' αὑτόν. ἔστι δὲ
καὶ ἕτερον εἶδος χονδρίλλης· φύλλον δὲ ἔχει περιβεβρωμένον, πρόμηκες, ὑπὸ γῆς ἐστρω-
μένον· καυλὸν δὲ ὀποῦ μεστόν· ῥίζαν δὲ λεπτήν, ὑπόκιρρον, κούφην, στρογγύλην, ὑπόξανθον,
ὀποῦ μεστήν. δύναμιν δὲ ἔχει ὁ καυλὸς καὶ τὰ φύλλα πεπτικήν. ὁ δὲ ὀπὸς τριχῶν τῶν
ἐν βλεφάροις ἀνακολλητικός. φύεται δὲ ἐν γεώδεσι καὶ ἐργασίμοις χωρίοις.

## Περὶ κολοκύνθης. κεφ. τλζ.

Κολόκυνθα ἐδώδιμος· ὠμὴ καταπλασθεῖσα λεία, οἰδήματα καὶ ἀποστήματα πραΰνει.
τὸ δὲ ξέσμα αὐτῆς παιδίοις σειριῶσιν, ὠφελίμως κατὰ τοῦ βρέγματος καταπλάσσε-
ται, καὶ πρὸς ὀφθαλμοῦ φλεγμονὰς καὶ ποδαγρικὰς ὁμοίως. ὁ δὲ χυλὸς τῶν ξυσμά-
των θλιβέντων, πρὸς ὠταλγίας καθ' ἑαυτὸν καὶ μετὰ ῥοδίνου ἐγχυματιζόμενος ὠφελεῖ.
καὶ πρὸς καυσουμένων ὑποφαντασίαν ἐγχριόμενος ὠφελεῖ. ὅλης δὲ αὐτῆς ὀπτηθείσης καὶ
ἐκθλιβείσης ὁ χυλὸς πινόμενος μετὰ μέλιτος βραχέος καὶ νίτρου, κοιλίαν λύει κού-
φως. καὶ ἔτι κοιλάνας αὐτὴν ὠμήν, ἐγχέας τὸν οἶνον καὶ ἐξαιθριάσας, κεράσας τε
δοὺς πιεῖν, μαλάξεις κοιλίαν κούφως.

## Περὶ ἡμέρου κίκυος. κεφ. τλη.

Κίκυς ἥμερος· εὐκοίλιος, εὐστόμαχος, ψυκτικός, οὐ φθειρόμενος, κύστει ἁρμόδιος. ἀνα-
κτητικὸς δὲ ἐκθυμιῶν ὀσφραινόμενος. καὶ τὸ σπέρμα αὐτοῦ μετρίως οὐρητικὸν ἁρ-
μόζον σὺν γάλακτι ἢ γλυκεῖ πρὸς τὰς ἐν κύστει ἑλκώσεις. τὰ δὲ φύλλα αὐτοῦ σὺν οἴνῳ
καταπλασθέντα, κυνόδηκτα ἰᾶται. σὺν μέλιτι δὲ ἐπινυκτίδας.

## Περὶ πέπονος. κεφ. τλθ.

Ἡ δὲ τοῦ πέπονος σὰρξ αὐτὴ οὐρητικὴ ἐσθιομένη. καταπλασθεῖσα δὲ ὀφθαλμοῦ φλε-
γμονὰς πραΰνει. τὸ δὲ βρέγμα αὐτοῦ σειριῶσι παιδίοις κατὰ τοῦ βρέγματος ἐπιτίθε-
ται, καὶ ῥευματιζομένοις ὀφθαλμοῖς ἀντὶ ἀνακολλήματος κατὰ τοῦ μετώπου. ὁ δὲ χυ-
λὸς σὺν τῷ σπέρματι μιγεὶς ἀλεύρῳ καὶ ξηρανθεὶς ἐν ἡλίῳ, σμῆγμα γίνεται ῥυπτικὸν
καὶ λαμπρυντικὸν προσώπου. ἡ δὲ ῥίζα ξηρὰ ποθεῖσα σὺν ὑδρομέλιτι < ὁλκῆς, ἐμέ-
τους κινεῖ. εἰ δέ τις πρᾴως ἀπὸ δείπνου ἐμέσαι θελήσειεν, ἀρκέσουσιν ὀβολοὶ β. ὑπά-
γει δὲ καὶ κηρία καταπλασθεῖσα μετὰ τοῦ μέλιτος.

## Περὶ θρίδακος ἡμέρου. κεφ. τμ.

Θρίδαξ ἥμερος· ῥωμαῖοι λακτοῦκα, αἰγύπτιοι ἐμβροσί. εὐστόμαχος, ὑποψύχουσα, ὑπνω-
τική, κοιλίας μαλακτική, γάλακτος κατασπαστική. ἑψηθεῖσα δὲ γίνεται τροφιμω-
τέρα. ἄπλυτος δὲ ἐσθιομένη, στομαχικοῖς ἁρμόζει. τὸ δὲ σπέρμα αὐτῆς πινόμενον, τοῖς
συνεχῶς ὀνειρώττουσι βοηθεῖ, καὶ συνουσίαν ἀποστρέφει. αὐταὶ δὲ συνεχῶς ἐσθιόμεναι,
ἀμβλυωπίας αἴτιοι καὶ ταριχεύονται δὲ ἐν ἅλμῃ. ἐκκαυλίσασαι δὲ, ἔχουσί τι πα-
ρεμφερὲς τῇ τοῦ χυλοῦ καὶ ὀποῦ δυνάμει τῆς ἀγρίας θρίδακος.

Περὶ ἀγρίας θρίδακος. κεφ. τμα.

Ἡ δὲ ἀγρία θρίδαξ ἣν προφῆται αἷμα τιτάνου, ζωροάστρης φέρουμβρος· ῥωμαῖοι λακτοῦκα σιλβέστρις καλοῦσιν, ἔοικε τῇ ἡμέρῳ, καυλωδεστέρα δὲ καὶ τοῖς φύλλοις λευκοτέρα, καὶ ἰσχνοτέρα καὶ τραχυτέρα ὑπάρχουσα. πικρὰ δὲ πρὸς τὴν γεῦσιν· ὁμοιοῦται δὲ κατά τι πως τῇ δυνάμει μήκωνι· ὅθεν καὶ τὸν ὀπὸν αὐτῆς ἔνιοι μίσγουσι τῷ μηκωνείῳ. καθαίρει δὲ μετὰ ὀξυμέλιτος ποθεὶς ὁ ὀπὸς δυοῖν ὀβολῶν ὁλκὴ, ὑδατώδη κατὰ κοιλίαν· ἀποκαθαίρει δὲ καὶ ἄργεμα καὶ ἀχλύν. ποιεῖ καὶ πρὸς τὰς ἐγκαύσεις ἐγχριομένη σὺν γυναικείῳ γάλακτι. ἔστι δὲ καθόλου ὑπνωτικὴ καὶ ἀνώδυνος· ἄγει δὲ ἔμμηνα. πίνεται δὲ καὶ πρὸς σκορπιοπλήκτους καὶ φαλαγγιοδήκτους. τὸ δὲ σπέρμα ὥσπερ τὸ τῆς ἡμέρου πινόμενον, ὀνειρωγμοὺς καὶ συνουσίαν ἀποστρέφει. δύναται δὲ καὶ ὁ χυλὸς πρὸς τὰ αὐτά, ἀσθενέστερος μέντοι. ἀποτίθεται δὲ ὁ ὀπὸς ἐν κεραμίοις ἀγγείοις προηλιαζόμενος ὥσπερ καὶ τὰ λοιπὰ χυλίσματα.

Περὶ γιγγιδίου. κεφ. τμβ.

Γιγγίδιον· οἱ δὲ, λεπίδιον· ῥωμαῖοι βισακούτουμ· αἰγύπτιοι δορυσάστρου· σύροι ἀδδειού· ἄφροι τιπενιτέ. φύεται πλεῖστον ἐν κιλικίᾳ τε καὶ συρίᾳ. βοτάνιον σταφιλίνῳ μὲν ἐοικὸς ἀγρίῳ, λεπτότερον δὲ καὶ πυκνότερον. ῥίζιον ὑπόλευκον, ὑπόπικρον. λαχανεύεται δὲ ὠμόν τε καὶ ἑφθόν, καὶ ταριχευθὲν ἐσθίεται. ἔστι δὲ εὐστόμαχον, οὐρητικόν. καὶ τὸ ἀφέψημα αὐτοῦ πινόμενον μετὰ οἴνου κύστει χρήσιμον.

Περὶ σκάνδικος. κεφα. τμγ.

Σκάνδιξ· ῥωμαῖοι ἔρβα σκανάρια· οἱ δὲ, ἀκουκλάμ. καὶ τοῦτο ἄγριον λάχανον, ὑπόδριμυ καὶ ὑπόπικρον, ἐσθιόμενον ἑφθὸν καὶ ὠμὸν ἐσθιόμενον. εὐκοίλιον καὶ εὐστόμαχον. τὸ δὲ ἀφέψημα αὐτοῦ κύστει χρήσιμον καὶ νεφροῖς πινόμενον καὶ ἥπατι.

Περὶ καυκαλίδος. κεφα. τμδ.

Καυκαλίς· οἱ δὲ, καῦκον ἢ δαῦκον ἄγριον· οἱ δὲ, μυίτης· δημόκριτος βρίον· ῥωμαῖοι πέδεμ γαλλινάκεουμ· οἱ δὲ, πέδεμ πούλλι· αἰγύπτιοι σέσελις. καυλίον ἐστὶ σπιθαμιαῖον ἢ καὶ μεῖζον, ὑπόδασυ. φύλλα ἔχον σελίνῳ ἐμφερῆ, ἐπ' ἄκρου δὲ μετὰ βραχείας δύο πολυσχιδῆ, δασέα. καὶ ἐπ' ἄκρου σκιάδιον λευκόν, εὐῶδες. λαχανεύεται δὲ καὶ τοῦτο ὠμόν τε καὶ ἑφθὸν ἐσθιόμενον. ἔστι δὲ εὐουρητικόν.

Περὶ εὐζώμου. κεφα. τμε.

Εὔζωμον· ῥωμαῖοι δὲ ἐρούκαμ· αἰγύπτιοι ἐθρεκικιώ· ἄφροι ἀσουρίκ. τοῦτο ὠμὸν πλεῖον βρωθὲν, συνουσίαν παρορμᾷ. καὶ τὸ σπέρμα δὲ αὐτοῦ τὸ αὐτὸ ποιεῖ. οὐρητικὸν ὑπάρχον καὶ πεπτικὸν καὶ εὐκοίλιον. χρῶνται δὲ τῷ σπέρματι αὐτοῦ καὶ εἰς τὰς ἀρτύσεις. ἀποτίθενται δὲ αὐτὸ πρὸς τὸ πλείονα διαμένειν χρόνον, ὄξει φυρῶντες ἢ γάλακτι καὶ ἀναπλάσσοντες τροχίσκους. γίνεται δὲ καὶ ἄγριον εὔζωμον μάλιστα ἐν τῇ κατὰ τὴν ἑσπέραν ἰβηρίᾳ. ᾧ τῷ σπέρματι ἀντὶ σινήπεως οἱ τῇδε ἄνθρωποι χρῶνται. ἔστι δὲ εὐουρητικώτερον καὶ δριμύτερον πολλῷ τοῦ ἡμέρου.

Περὶ ὠκίμου. τμς.

Ὤκιμον γνώριμον· βιβρωσκόμενον πολύ, ἀμβλυωπίας ἐστίν. ἔστι δὲ κοιλίας μαλακτικόν, πνευμάτων κινητικόν, οὐρητικόν, γάλακτος προκλητικόν, δυσμετάβλητον. καταπλασσόμενον δὲ σὺν ἀλφίτου πάλῃ καὶ ῥοδίνῳ καὶ ὄξει, φλεγμοναῖς βοηθεῖ πνεύμονος καὶ δράκοντος θαλασσίου καὶ σκορπίου πληγαῖς. καθ' ἑαυτὸ δὲ σὺν οἴνῳ χίῳ, πρὸς ὀφθαλμῶν ὀδύνας. ὁ δὲ χυλὸς αὐτοῦ ἀποκαθαίρει ἀχλύς τὰς ἐν ὀφθαλμοῖς. καὶ τὰ ῥεύματα ξηραίνει. τὸ δὲ σπέρμα πινόμενον, ἁρμόζει τοῖς μελαγχολικοῖς καὶ δυσουροῦσι καὶ πνευματουμένοις. ποιεῖ δὲ καὶ πταρμοὺς πλείονας ἀνασπώμενον διὰ ὀσφρήσεως. καὶ ἡ πόα δὲ τὸ αὐτὸ ποιεῖ. συμπιέζειν δὲ

τοὺς

τοὺς ὀφθαλμοὺς δεῖ μύοντος τοῦ πταρμοῦ. φυλάσσονται δέ τινες αὐτὸ καὶ οὐκ ἐσθίουσι, διὰ τὸ μασηθὲν καὶ τεθὲν ἐν ἡλίῳ, σκωλήκια γεννᾶν. Λίβυες δὲ προσειλήφασιν ὅτι οἱ φαγόντες αὐτὸ καὶ πληγέντες ὑπὸ σκορπίου, ἀπόνοι διαμένουσι.

Περὶ ὀροβάγχης. κε. τμζ.

Ὀροβάγχη. οἱ δὲ, κυνομόριον· οἱ δὲ λέοντα. Κύπριοι δὲ θυρσίνην καλοῦσιν ὃ κοινῶς λύκος ὀνομάζεται. καυλίον ἐστὶν ὑπέρυθρον ὡς διπιθαμιαῖον. ἐνίοτε δὲ καὶ μεῖζον. φύλλοις ὑπόλιπον. χνοῶδες. τρυφερόν. ἄνθεσιν ὑπολεύκοις ἢ μηλίζουσι κεχρημένον. ῥίζα δὲ ὕπεστι δακτύλου τὸ πάχος, κατατετρημένη πρὸς τὴν τοῦ καυλοῦ ξηρασίαν. δοκεῖ δὲ φυόμενον ἐν ὀσπρίοις τισὶ πνίγειν αὐτά. ὅθεν ταύτην προσωνυμίαν ἔσχηκε. λαχανεύεται δὲ καὶ ὠμὸν καὶ ἑφθόν, ἐκ λοπάδος ὡς ἀσπάραγος ἐσθιόμενον. καὶ ὀσπρίοις συνεψηθέν, τάχιον αὐτὰ δοκεῖ ἑψεῖν.

Περὶ τραγοπώγωνος. κε. τμη.

Τραγοπώγων ἢ τετραπώγων· οἱ δὲ, κόμην καλοῦσι. καυλὸς βραχύς. φύλλα κρόκῳ ὅμοια. ῥίζα μακρά. γλυκεῖα. ὑπὲρ δὲ τοῦ καυλοῦ κάλυξ μέγας. καὶ ἐξ ἄκρου καρπὸς μέλας. ἀφ' οὗ καὶ τὸ ὄνομα ἔσχεν. ἔστι δὲ ἡ πόα ἐδώδιμος.

Περὶ ὀρνιθογάλου. κε. τμθ.

Ὀρνιθόγαλον. καυλίον ἐστὶ τρυφερόν. λεπτόν. ὑπόλευκον ὡς διπιθαμιαῖον. ἄνω παραφυάδας ἔχον τρεῖς ἢ τέσσαρας ἁπαλάς. ἀφ' ὧν ἄνθη ἔξωθεν μὲν βοτανώδη, διανοιχθέντα δὲ γαλακτίζοντα. ὃ μεταξὺ αὐτῶν κεφάλιον ὡς κάγχρυς ἐντετμημένον. μετὰ ἄρτου συνοπτόμενον ὡς μελάνθιον. ῥίζα δὲ βολβώδης, ἐσθιομένη ὠμή τε καὶ ἑφθή.

Περὶ ὕδνου. κε. τν.

Ὕδνον ῥίζα ἐστὶ περιφερής. ἄφυλλος. ἄκαυλος. ὑπόξανθος. ἔαρος ὀρυττομένη. ἐδώδιμος δ' ἐστὶν ὠμή τε καὶ ἑφθὴ ἐσθιομένη.

Περὶ σμίλακος. κε. τνα.

Σμῖλαξ κηπαία. ἧς ὁ καρπὸς λόβια ὑπ' ἐνίων ἢ ἀσπάραγος καλεῖται. φύλλα ἔχει κισσῷ ὅμοια. μαλακώτερα μέντοι. καυλοὺς δὲ λεπτοὺς καὶ ἕλικας περιπλεκομένους τοῖς παρακειμένοις θαμνίοις. αὐξανομένας ἐπὶ ἱκανόν. ὥστε καὶ σκηνοποιεῖσθαι. καρπὸν δὲ φέρει ὅμοιον τήλει. μακρότερον δὲ καὶ εὐσωμότερον. ἐν ᾧ σπέρματα ὅμοια νεφροῖς. οὐκ ἰσόχροα. ἐκ μέρους δὲ ὑποπυρίζοντα. λαχανεύεται δὲ εἰς βρῶσιν ὁ καρπὸς ἑψόμενος σὺν τοῖς σπέρμασιν ὡς ἀσπάραγος. οὐρητικὸς ὢν καὶ δυσόνειρος.

Περὶ μηδικῆς. κε. τνβ.

Μηδική. ἔοικε μὲν ἄρτι φυομένη τριφύλλῳ τῷ ἐν χορτοκοπείοις. προαγομένη δὲ στενοφυλλοτέρα γίνεται. καυλοὺς ἀνίεισι τριφύλλοις ὁμοίους. ἐφ' οἷς τὸ σπέρμα προσπέφυκε φακοῦ τὸ μέγεθος. ἐστραμμένον ὡς κεράτιον. ὅπερ ξηρανθέν, μίγνυται ἡδύσματος χάριν τοῖς ἄρτοις ἅλασι. χλωρὸν δὲ καταπλασθὲν ὠφελεῖ τὰ ψύξεως δεόμενα. ὅλῃ δὲ τῇ πόᾳ χρῶνται οἱ κτηνοτρόφοι ἀντὶ ἀγρώστεως.

Περὶ ἀφάκης. κε. τνγ.

Ἀφάκη. θαμνίον ἐστὶ φυόμενον ἐν ἀρούραις. φακοῦ ὑψηλότερον. λεπτόφυλλον. τὰ δὲ ἐπάνω τοῦ φυόμενα μείζονα θυλάκια τοῦ φακοῦ περιεκτικὰ τῶν σπερματίων τριῶν ἢ τεσσάρων μεγάλων καὶ μικροτέρων φακοῦ. δύναμιν δ' ἔχει τὰ σπερμάτια στυπτικήν. ὅθεν ἵστησι ῥεῦμα κοιλίας καὶ στομάχου φρυττόμενα. ἐρεικόμενα ἢ ἑψόμενα ὥσπερ φακός.

## Περὶ πράσου κεφαλωτοῦ. κεφ. τνδ΄.

Πράσον κεφαλωτόν· ῥωμαῖοι πόρρουμ. φυσῶδες, κακόχυμον, δυσόνειρον, οὐρητικόν, εὐκοίλιον, λεπτυντικόν, ἀμβλυωπίας ποιητικόν, καταμηνίων ἀγωγόν, βλαπτικὸν κύστεως ἡλκωμένης καὶ νεφρῶν. συνεψηθὲν δὲ πτισάνῃ καὶ βρωθὲν ἀνάγει τὰ ἐκ θώρακος. ἡ δὲ κόμη αὐτοῦ ἑψηθεῖσα ἐν θαλάσσῃ καὶ ὄξει, εἰς ἐγκάθισμα χρησιμεύει πρὸς μύσιν καὶ σκληρίας ὑστέρας. ἀπογλυκαίνεται δὲ καὶ ἀφυσότερον γίνεται δυσὶν ὕδασιν ἑψηθὲν καὶ ἀποβραχὲν ἐν ὕδατι ψυχρῷ. ὁ δὲ καρπὸς δριμύτερος ἔχων τι καὶ στύψεως· ὅθεν αἷμα ὁ χυλὸς αὐτοῦ ἵστησι σὺν ὄξει· καὶ μάλιστα τὸ ἐκ μυκτήρων φερόμενον, μάννης ἢ λιβανωτοῦ μιχθέντος. ἀφροδισιαστικῇ ὁρμᾷ. καὶ πρὸς τὰ ἐν θώρακι πάντα σὺν μέλιτι ἀντὶ ἐκλείκτου ποιεῖ καὶ πρὸς φθίσεις. καθαίρει δὲ καὶ τὴν ἀρτηρίαν βρωθέν. ἐσθιόμενον δὲ συνεχῶς ἀμαυρωτικὸν ὄψεως ἐστὶ καὶ κακοστόμαχον δ᾽ ἐστί. ἀρήγει καὶ θηριοδήκτοις σὺν μέλιτι πινόμενος ὁ χυλός. καὶ αὐτὸ δὲ καταπλασσόμενον ὠφελεῖ. βοηθεῖ καὶ ὠταλγίαις ὁ χυλὸς καὶ ἤχοις σὺν ὄξει καὶ λιβανωτῷ καὶ γάλακτι ἢ ῥοδίνῳ ἐνσταγείς. αἴρει δὲ καὶ ἰόνθους τὰ φύλλα μετὰ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα καταπλασθέντα. καὶ ἐπινυκτίδας ἰᾶται. ἐσχάρας τε περιρρήγνυσι σὺν ἁλσὶν ἐπιπλαττόμενον. τοῦ μέντοι σπέρματος < β μετὰ μύρτων ἴσων ποθεῖσαι, τὰς χρονίους ἀναγωγὰς τοῦ αἵματος ἐπέχουσιν.

## Περὶ ἀμπελοπράσου. κεφ. τνε.

Ἀμπελόπρασον κακοστομαχώτερον τοῦ πράσου, θερμαντικώτερον δὲ καὶ οὐρητικώτερον, καταμηνίων ἀγωγόν. θηριοδήκτοις δὲ βιβρωσκόμενον ἁρμόζει.

## Περὶ κρομμύων. κεφ. τνϛ.

Κρόμμυον· οἱ δὲ, πολύειδος· προφῆται καλαβωτίς· ῥωμαῖοι κέπαμ. δριμύτερον τὸ μακρὸν τοῦ στρογγύλου, καὶ τὸ ξανθὸν τοῦ λευκοῦ, καὶ τὸ ξηρὸν τοῦ χλωροῦ, καὶ τὸ ὠμὸν τοῦ ὀπτοῦ καὶ ταριχηροῦ. ἔστι δὲ ἅπαντα δηκτικὰ καὶ πνευματωτικά, ὀρεκτικά, ἐκκλητικά, λεπτυντικά, διψώδη, ἀσώδη, ἀνακαθαρτικά, εὐκοίλια, ἀναστομωτικὰ ἐκκρίσεων τῶν τε ἄλλων καὶ αἱμορροΐδων. ἀντὶ βαλάνου δὲ προστίθεται λεπισθέντα καὶ εἰς ἔλαιον ἐμβληθέντα. ὁ δὲ χυλὸς ἐγχριόμενος σὺν μέλιτι βοηθεῖ ἀμβλυωποῦσιν, ἀργέμοις, νεφελίοις καὶ ἀρχομένοις ὑποχεῖσθαι καὶ συναγχικοῖς διαχριθείς. κινεῖ τε καταμήνια καὶ ἄγει. ἐγχυθείς τε καθαρτικὸς διὰ ῥινὸς κεφαλῆς. κυνοδήκτοις δὲ κατάπλασμα μεθ᾽ ἁλὸς καὶ πηγάνου καὶ μέλιτος. σὺν ὄξει δὲ ἐν ἡλίῳ καταχρισθεὶς, ἀλφοὺς ἰᾶται. μετὰ σποδίου δὲ ψωροφθαλμίας παύει καὶ ἰόνθους σὺν ἁλσὶ στέλλει. σὺν ὀρνιθείῳ δὲ στέατι πρὸς ἐκτρίμματα ὑποδημάτων χρήσιμος. καὶ πρὸς ῥεῦσιν κοιλίας καὶ δυσηκοΐας καὶ συριγμοὺς καὶ πυορροοῦντα ὦτα. καὶ πρὸς τὰς ἀπολήψεις τῶν ὑδάτων τῶν ἐν τοῖς ὠσὶν ἁρμόζει. καὶ πρὸς ἀλωπεκίας παρατριβόμενος· τάχιον γὰρ ἀλκυονίου προσκαλεῖται τρίχας. ἔστι δὲ τὸ κρόμμυον κεφαλαλγὲς πλεῖον βρωθέν. ἑψηθὲν δὲ οὐρητικώτερον γίνεται. πλεῖον δὲ ἐσθιόμενον ἐν νόσοις ληθάργους ποιεῖ. τοῦτο τοίνυν ἑψηθέν, ἢ ἑφθὸν καὶ καταπλασθὲν σὺν σταφίδι ἢ σύκῳ, φύματα πέττει καὶ διαρρήσσει τάχιστα.

## Περὶ σκορόδου. κεφ. τνζ.

Σκόροδον· οἱ δὲ, σπβοσκον· οἱ δὲ, ἐλαφόβοσκον· ῥωμαῖοι ἄλλιουμ. τὸ μὲν ἔστιν ἥμερον καὶ κηπευτόν, καὶ τοῦτο ἐν αἰγύπτῳ μονοκέφαλόν ἐστιν ὥσπερ τὸ πράσον, γλυκύ, ἐμπόρφυ-

ρον.

ρον, μικρόν. τὸ δὲ λοιπὸν μέγα, πολυκέφαλον, λευκόν. καλοῦσι δὲ τὰς ἐν αὐτῷ ῥᾶγας ἀγλιθας. ἔστι δὲ καὶ ἄλλο ἄγριον ὀφιόσκορδον καλούμενον. δύναμιν δὲ ἔχει δριμεῖαν, θερμαντικήν, δηκτικήν, ἐκκριτικήν φυσῶν, κοιλίας ταρακτικήν, ξηραντικήν στομάχου, δίψης ποιητικήν, ἐμπνευματωτικήν, ἑλκωτικήν ἐπιφανείας, ὀμμάτων ἀμβλυωτικόν, βιβρωσκόμενον. τὰ αὐτὰ δὲ ποιεῖ καὶ τὸ ὀφιόσκορδον, ὃ καὶ ἐλαφόσκορδον λέγεται. βιβρωσκόμενον ἕλμινθας πλατείας ἐξάγει, καὶ οὖρα κατάγει. ἐχιδνοδήκτοις τε καὶ αἱμορροοῦσιν ἁρμόζει ὡς οὐδὲν ἕτερον, λαμβανομένου οἴνου συνεχῶς, ἢ σὺν τῷ οἴνῳ λειαθὲν καὶ ποθέν. καταπλάσσεται δὲ πρὸς ταῦτα καὶ ἐπὶ τῶν λυσσοδήκτων ὠφελίμως. καὶ βιβρωσκόμενον δὲ ὀνίνησι, καὶ πρὸς τοὺς ξενισμοὺς τῶν ὑδάτων ἁρμόζει. ἀρτηρίας λαμπρύνει, καὶ βῆχας χρονίας παρηγορεῖ ὠμόν τε καὶ ἑφθὸν ἐσθιόμενον. φθεῖρας δὲ καὶ κόνιδας φθείρει σὺν ἀφεψήματι ὀριγάνου πινόμενον. καυθὲν δὲ καὶ μέλιτι φυραθέν, ὑπώπια καὶ ἀλωπεκίας ἰᾶται καταχριόμενον. ἐπὶ δὲ τῶν ἀλωπεκιῶν σὺν ναρδίνῳ μύρῳ καὶ ἁλὶ καὶ ἐλαίῳ, ἐξανθήματα θεραπεύει. ἀφαιρεῖ δὲ καὶ ἀλφοὺς καὶ λειχῆνας καὶ φακούς. ἀχῶράς τε καὶ πίτυρα καὶ λέπρας σὺν μέλιτι. μετὰ δαδίου δὲ καὶ λιβανωτοῦ ἑψηθέν, ὀδονταλγίαν διακρατούμενον ἐν τῷ στόματι κουφίζει. μυγαλῆς δήξεσι κατάπλασμα σὺν συκῆς φύλλοις καὶ κυμίνῳ. τὸ δὲ κόμης τὸ ἀπόζεμα ἐγκάθισμα ἐμμηνίων καὶ δευτέρων ἀγωγόν, πρὸς τὸ αὐτὸ δὲ καὶ ὑποθυμιᾶται. τὸ δὲ ἐξ αὐτοῦ καὶ τῆς μελαίνης ἐλαίας ποιούμενον τρῖμμα, καλούμενον δὲ μυρτωτόν, βιβρωσκόμενον, οὖρα κινεῖ καὶ ἀναστομοῖ, χρήσιμον δὲ τοῖς ὑδρωπικοῖς.

## Περὶ σκοροδοπράσου. κε τιη.

Σκοροδόπρασον φύεται ὡς πράσον μέγα, μετέχον τῆς τοῦ σκόρδου καὶ τοῦ πράσου ποιότητος. ὅθεν καὶ τὴν δύναμιν μικτὴν ἔχει, ποιοῦν ὅσα καὶ τὸ σκόροδον καὶ τὸ πράσον, ἀνειμένως μέντοι. λαχανεύεται δὲ εἰς βρῶσιν ὡς τὸ πράσον ἑψόμενον καὶ ἀποπλυνόμενον.

## Περὶ σινάπεως. κε πιθ.

Σίνηπι, ἢ νᾶπυ, ἢ ὡς Ῥωμαῖοι σινάπι. ἐκλέγου τὸ μὴ κατάξηρον ἢ κατάπυρρον, ἁδρόν, ὃ θλασθέν, ἔνδοθεν χλωρόν ἐστιν οἱονεὶ ἔγχυλον· γλαυκόν. πρόσφατον γὰρ ἐστὶ καὶ ἀκμαῖον τὸ τοιοῦτον. δύναται δὲ θερμαίνειν, λεπτύνειν, ἐπισπᾶσθαι, ἀποφλεγματίζει διαμασσηθέν. μιγνύμενος δὲ ὁ χυλὸς αὐτοῦ ὑδρομέλιτι, πρὸς αὐτιάδας καὶ τὰς χρονίους τραχύτητας τῆς ἀρτηρίας καὶ τυλώδεις, ἀναγαργαριζόμενος ἁρμόζει. προσαναχρίεται δὲ τοῖς μυκτῆρσιν λεῖον, πταρμοὺς κινεῖ. ἐπιληπτικοῖς τε βοηθεῖ καὶ ὑστερικῶς πνιγομένας διεγείρει. καὶ ἐπὶ ληθαργικῶν καταπλάττεται ξυρηθείσης τῆς κεφαλῆς. μιχθὲν δὲ σύκοις καὶ ἐπιτεθὲν ἄχρι φοινίξεως, ἁρμόζει πρὸς ἰσχιάδας καὶ σπλῆνας, καὶ καθόλου εἰς πᾶν χρόνιον ἄλγημα, ὅπου μετάγειν τι ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν βουλόμεθα τῷ τῆς ἑτεροπαθείας λόγῳ. θεραπεύει τε ἀλωπεκίας καταπλασθέν. πρόσωπον δὲ καθαίρει. ἢ ὑπώπια αἴρει σὺν μέλιτι ἢ στέατι ἢ κηρωτῇ. σὺν ὄξει δὲ πρὸς λέπρας καὶ λειχῆνας ἀγρίους ἐγχρίεται. πίνεται δὲ καὶ πρὸς περιόδους ξηρὸν ὡς ἄλφιτον ἐπιπασσόμενον τῷ ποτῷ. ἐπὶ σπασμοῖς τε ἐμπλάστροις καὶ ψωρικαῖς μίγνυται χρησίμως. δυσηκοίαις τε καὶ ἤχοις ἄριστον ἐπιτιθέμενον τῇ ἀκοῇ, μετὰ σύκου ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτοῦ σὺν μέλι-

τι ἁρμόζει· πρός τε ἀμβλυωπίας καὶ τραχέα βλέφαρα ἐγχριόμενος. χυλίζεται δὲ ἔτι χλωρὸν τὸ σπέρμα, καὶ τὸ ἀπολειβὲν ξηραίνεται ἐν ἡλίῳ.

### Περὶ καρδάμου. τξ.

Κάρδαμον· οἱ δὲ, κυνοκάρδαμον· οἱ δὲ, ἴβηρις· οἱ δὲ, καρδαμίνα καλοῦσι· αἰγύπτιοι σεμεθ· ῥωμαῖοι νασούρκιουμ. κάλλιστον μὲν εἶναι δοκεῖ τὸ ἐν τῇ Βαβυλῶνι κάρδαμον. ἀμφοτέρων δὲ τὸ σπέρμα θερμαντικόν, δριμύ, κακοστόμαχον, κοιλίας ταράσσον. καὶ ἕλμινθας ἐκτινάσσει. σπλῆνα μειοῖ. ἔμβρυα φθείρει. ἔμμηνα κινοῦσι. συνουσίαν παρορμᾷ. τῷ δ' οἰκείῳ σὺν πιεῖ καὶ ῥίζωμα ἀποσμήχει λέπρας, λειχῆνας· σὺν μέλιτι δὲ σπλῆνα τὰ πεπονηκότα καταπλασσόμενον· καὶ κνησμὸν ἀποκαθαίρει· καὶ τὰ ἐκ θώρακος ἀνάγει ἐγκαθεψόμενον ῥοφήμασιν. ἑρπετῶν τε δήξεσιν ἀντιφάρμακον πινόμενον. θυμιαθὲν δὲ ἑρπετὰ διώκει. τρίχας τε ῥεούσας ἐπέχει καὶ ἄνθρακας περιρρήγνυσι πυοῦν. σὺν ὄξει δὲ καὶ ἀλφίτοις καταπλασθὲν, ἰσχιαδικοὺς ὠφελεῖ καὶ οἰδήματα καὶ φλεγμονὰς διαφορεῖ. δοθιῆνάς τε ἐκπυοῖ σὺν ἅλμῃ καταπλασθέν. καὶ ἡ πόα δὲ τὰ αὐτὰ ποιεῖ. ἔλασσον μέντοι δύναται.

### Περὶ θλάσπεως. τξα.

Θλάσπι· οἱ δὲ, θλασπίδιον· οἱ δὲ, σίναπι περσικόν· οἱ δὲ, σιναπάγριον· οἱ δὲ μυΐτην· οἱ δὲ, μυόπτερον· οἱ δὲ, δασμοφῶν· οἱ δὲ, ἴτερον. αἰγύπτιοι σενιτέμψου. ῥωμαῖοι σκανδουλάκιουμ· οἱ δὲ, καπίταλα· οἱ δὲ, πεδεμγαλλινάκειουμ. βοτάνιόν ἐστι στενὸν τοῖς φύλλοις, ὡς δακτύλου μῆκος, πεπτωκόσιν ἐπὶ τὴν γῆν, ἀκροχόδεσιν, ὑπολιπάροις. καυλὸν δὲ λεπτὸν ἀνίησι σπιθαμιαῖον, ἀποφυάδας ὀλίγας ἔχοντα, καὶ περὶ ὅλον αὐτὸν καρπὸν ὑπόπλατυν, ἐξ ἄκρου ἐν ᾧ σπέρμα τι ἐμφερὲς καρδάμῳ, δισκοειδές, οἱονεὶ ἐντεθλασμένον, ὅθεν καὶ τὸ ὄνομα ἔσχηκεν. ἄνθος δὲ ὑπόλευκον. ἐν ὁδοῖς δὲ καὶ τάφροις καὶ τειχίοις γηΐνοις φυόμενον. σπέρμα δριμύ, θερμαντικόν, χολὴν ἄνω τε καὶ κάτω καθαῖρον, ποθὲν πλῆθος ὀξυβάφου. ἐγκλύζεται δὲ καὶ πρὸς ἰσχιαδικούς. ἄγει δὲ καὶ αἷμα ποθέν, καὶ τὰς ἐντὸς ἀποστάσεις ῥήγνυσι, κινεῖ δὲ καὶ καταμήνια, καὶ ἔμβρυα φθείρει. ἱστορεῖ δὲ Κρατεύας καὶ ἕτερον θλάσπι, ὅ τινες περσικὸν σίναπι καλοῦσι, πλατύφυλλον καὶ μεγαλόρριζον, καὶ τοῦτο δὲ μίσγεται τοῖς πρὸς ἰσχιάδας κλυσμοῖς.

### Περὶ δράβης. τξβ.

Δράβη πόα πηχυαία ἔχουσα ὕψος, ῥαβδία λεπτά· παρ' ἑκάτερα δὲ τὰ φύλλα ὥσπερ λεπιδίου, ἁπαλώτερα δὲ καὶ λευκότερα· ἐπ' ἄκρου δὲ σκιάδιον καθάπερ ἀκτῆς· ἔχον ἄνθη λευκά. ταύτης ἡ πόα συνέψεται τῇ πτισάνῃ μάλιστα ἐν Καππαδοκίᾳ. ὁ δὲ καρπὸς αὐτῆς ξηρὸς ἀντὶ πεπέρεως μίσγεται τοῖς προσοψήμασι.

### Περὶ ἐρυσίμου. τξγ.

Ἐρύσιμον· οἱ δὲ, χαμαίπλιον· προφῆται, ἡρακλέους ἄλφιτα· αἰγύπτιοι, ἐριθμοῦ. ῥωμαῖοι, ἰρίονεμ. φύεται περὶ τὰς πόλεις καὶ οἰκόπεδα καὶ κήπους. φύλλα δὲ ὅμοια εὐζώμῳ ἀγρίῳ. καυλία ἱμαντώδη. ἄνθη μηλίζοντα. ἐπ' ἄκρων δὲ λοβοὶ κερατοειδεῖς, ἰσχνοί, ὡς τήλιδος, ἐν οἷς σπερμάτια μικρὰ καρδάμῳ παραπλήσια, πυρώδη κατὰ τὴν γεῦσιν. ποιεῖ τὰ πρὸς θώρακος ῥευματισμόν, ἐμπύους, βῆχας, ἴκτερον, ἰσχιάδας, ἐκλειχόμενον σὺν μέλιτι. πίνεται δὲ πρὸς τὰ θανάσιμα φάρμακα. καταπλασσόμενον δὲ μεθ' ὕδατος ἢ μέλιτος, ὠφελεῖ καρκινώματα κρυπτά, σκληρίας, παρωτίδας, διδύμων δὲ καὶ μαστῶν φλεγμονάς. λεπτυντικόν τε καὶ καθόλου θερμαίνει. ὠφελιμώτερον δὲ γίνεται εἰς τὰ ἐγκλύσματα ἀναβραχέν.

ὕδατι καὶ φωχθεῖσα· ἐνδεθεῖσα εἰς ὀθόνιον καὶ ὀπτηθὲν ἔστ' ἂν περιπλασθέντος.

Περὶ πεπέρεως. τξδ.

Πέπερι δένδρον ἱστορεῖται φυόμενον ἐν Ἰνδίᾳ βραχύ· καρπὸν δὲ ἀνίησι κατ' ἀρχὰς μὲν προμήκη καθάπερ λοβούς· ὅπερ ἐστὶ μακρὸν πέπερι, ἔχει τὸ ἐν ἑαυτῷ κέγχρῳ λεπτῷ παραπλήσιον, τὸ μέλλον ἔσεσθαι τέλειον πέπερι. ὅπερ κατὰ τοὺς οἰκείους καιροὺς ἀναπλούμενον, βότρυς ἀνίησι κόκκους φέροντας οἵους ἴσμεν. τινὰ δὲ καὶ ὀμφακώδεις, οἵτινές εἰσι τὸ λευκὸν πέπερι· εὔθετον μάλιστα εἰς τὰ ὀφθαλμικὰ καὶ ἀντιδότοις καὶ θηριακαῖς δυνάμεσιν. ἔστι δὲ τὸ μὲν μακρὸν ὑποπεπτωκὸς τῇ δήξει. ὃ ὑπόπικρον, διὰ τὸ ἄωρον· ὃ ἐπιτήδειον εἰς τὰς ἀντιδότους καὶ θηριακὰς δυνάμεις. τὸ δὲ μέλαν ἡδύτερον καὶ δριμύτερον τοῦ λευκοῦ· καὶ εὐστομώτερον· καὶ μᾶλλον διὰ τὸ εἶναι ὥριμον ἀρωματίζον, εὐχρηστότερόν τε εἰς τὰς ἀρτύσεις. τὸ δὲ λευκὸν καὶ ὀμφακίζον, ἀσθενέστερον τῶν προειρημένων. ἐκλέγου δὲ τὸ βαρύτατον καὶ πλῆρες, μέλαν, μὴ σφόδρα ῥυσόν. πρόσφατον δὲ καὶ μὴ πιτυρῶδες. εὑρίσκεται δ' ἐπὶ τῷ μέλανι ἄτροφον, κενὸν καὶ κοῦφον, ὃ καλεῖται βρᾶσμα. δύναμιν δ' ἔχει κοινῶς θερμαντικήν, οὐρητικήν, πεπτικήν, ἑλκτικήν, διαφορητικήν, σμηκτικὴν τῶν ταῖς κόραις ἐπισκοτούντων. ἁρμόζει καὶ ῥίγεσι περιοδικοῖς πινόμενόν τε καὶ συγχριόμενον· καὶ θηριοδήκτοις ἀρήγει. ἄγει καὶ ἔμβρυα. δοκεῖ δὲ καὶ ἀτόκιον εἶναι μετὰ συνουσίαν προστιθέμενον. βηξί τε καὶ πᾶσι τοῖς περὶ θώρακα πάθεσιν ἁρμόζει, ἔν τε ἐκλείκτοις καὶ πόμασι λαμβανόμενον. συνάγχαις ἁρμόζει διαχριόμενον σὺν μέλιτι. καὶ στρόφους λύει πινόμενον μετὰ δάφνης φύλλων ἁπαλῶν. ἀποφλεγματίζει δὲ σὺν σταφίδι διαμασηθέν. ἀνώδυνόν τε ἐστὶ καὶ ὑγιεινόν. καὶ ὄρεξιν κινεῖ, πέψει τε συνεργεῖ μιγνύμενον ἐν βρώμασι. ἀναληφθὲν δὲ πίσσῃ χοιράδας διαφορεῖ. σμήχει δὲ ἀλφοὺς σὺν νίτρῳ. φώγνυται δὲ ἐπὶ ὀστράκου καινοῦ, κινούμενον ὡς φασιν. ἡ δὲ ῥίζα αὐτοῦ, οὐκ ἔστι ζιγγίβερι καθάπερ τινὲς ὑπέλαβον· ὡς αὐτίκα δηλωσομένου· ἔοικε μᾶλλον κόστῳ ἡ τοῦ πεπέρεως ῥίζα. θερμαίνουσα τὴν γεῦσιν καὶ ὑγρὰ προσκαλουμένη. ταπεινοῖ δὲ σπλῆνα σὺν ὄξει καταπλασσομένη καὶ πινομένη. ἀποφλεγματίζει δὲ μετὰ σταφίδος ἀγρίας μασηθεῖσα.

Περὶ ζιγγιβέρεως. τξέ.

Ζιγγίβερις, ἴδιόν ἐστι φυτόν· γεννώμενον ἐν τῇ τρωγλοδυτικῇ Ἀραβίᾳ πλεῖστον. οὗ χρῶνται τῇ χλόῃ εἰς πολλά, καθάπερ ἡμεῖς τῷ πηγάνῳ ἕψοντες εἰς προποτισμοὺς καὶ ἑψήματα μιγνύντες. ἔχει δὲ ῥιζία μικρὰ ὥσπερ κυπέρου, ὑπόλευκα, πεπερίζοντα τῇ γεύσει καὶ εὐώδη. ἐκλέγου δὲ τὰ ἀτερηδόνιστα. ὑπ' ἐνίων μέντοι ταριχεύεται διὰ τὸ εὔσηπτον· καὶ διακομίζεται κεραμίοις εἰς Ἰταλίαν. εὔχρηστον οὖν εἰς βρῶσιν. λαμβάνεται δὲ μετὰ ταρίχου. δύναμιν δ' ἔχει θερμαντικήν, πεπτικήν, μαλακτικὴν κοιλίας. ἐπιεικῶς εὐστόμαχον· ποιεῖ καὶ πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις. μίσγεται καὶ ἀντιδότοις· καὶ καθόλου προσέοικέ πως τῇ τοῦ πεπέρεως δυνάμει.

Περὶ ὑδροπεπέρεως. τξϛ'.

Ὑδροπέπερι· φύεται μὲν μάλιστα παρὰ στασίμοις ὕδασιν ἢ ἠρεμοῦσι ῥείθροις· καυλὸν δὲ ἀνίησι γονατώδη· στερεόν, περὶ ὃν μασχάλαι καὶ φύλλα ἐοικότα ἡδυόσμῳ· μείζονα δὲ καὶ τρυφερώτερα καὶ λευκότερα· δριμέα ἐν τῇ γεύσει ὥσπερ τὸ πέπερι, οὐ μὴν ἀρωμα-

τίζοντα. καρπὸν δὲ ἔχει ὡς ἡλιοτροπίου μικρῶν ἐκφυόμενον παρὰ τὰ φύλλα, συνεχῆ ὡς βοτρυώδη, δριμὺν καὶ αὐτόν. δύναμιν δὲ ἔχει τὰ φύλλα σὺν τῷ καρπῷ καταπλασσόμενα, οἰδήματα καὶ χρονίους σκληρίας διαφορεῖν. ὑπώπιά τε ἀποκαθαίρειν. ξηρανθέντα δὲ καὶ κοπέντα, μίγνυνται ἀντὶ πεπέρεως ἁλσὶ καὶ προσφήμασι. ῥίζαν δὲ ἔχει μικρὰν ἄχρηστον.

## Περὶ πταρμικῆς. τξζ.

Πταρμική. θαμνίον ἐστὶ κλῶνας ἔχον μικροὺς πολλούς, περιφερεῖς, ὁμοίους ἀβροτόνῳ. περὶ οὓς φύλλα ὑπομήκη, ἐοικότα τοῖς τῆς ἐλαίας πολλά. ἐπ᾽ ἄκρῳ δὲ ὥσπερ ἀνθεμίδος κεφάλιον μικρόν, περιφερές, δριμὺ κατὰ τὴν ὀσμήν, ἐρεθιστικὸν πταρμοῦ. ὅθεν καὶ ὠνόμασται. δύναται δὲ καταπλασσόμενα τὰ φύλλα μετὰ τῶν ἀνθῶν ὑπώπια αἴρειν. τὰ δὲ ἄνθη, πταρμοὺς ἐντόνως κινεῖ. φύεται δὲ ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις.

## Περὶ στρουθίου. τξη.

Στρούθιον. οἱ δὲ, κέρδον. οἱ δὲ κάθαρσις. οἱ δὲ, στρουθοκάμηλος. οἱ δὲ, χαμαίρυνον. προφῆται χαλίρρυτον. ῥωμαῖοι ῥάδιξ λανάρια. οἱ δὲ, ἐρβαλανεία. αἰγύπτιοι οἰνώ. ἄφροι συρίς. γνώριμόν ἐστιν. ᾧ οἱ ἐριοπλύται χρῶνται πρὸς κάθαρσιν τῶν ἐρίων. οὗ ἡ ῥίζα δριμεῖα καὶ οὐρητική. βοηθεῖ δὲ ἡπατικοῖς, βηξίν, ὀρθοπνοίαις σὺν μέλιτι, κοχλιαρίου πλῆθος λαμβανομένη. κοιλίαν τε ὑπάγει. σὺν δὲ πάνακι καὶ καππάρεως ῥίζῃ ληφθέν, λίθους θρύπτει. καὶ δι᾽ οὔρων ἄγει. καὶ σπλῆνα ἐσκιρρωμένον τήκει. προστεθὲν δὲ ἔμμηνα ἄγει καὶ ἔμβρυα φθείρει ἐμπαρῶς. σὺν ἀλφίτῳ δὲ καὶ ὄξει καταπλασθέν, λέπρας αἴρει. διαφορεῖ τε τὰ φύματα σὺν ἀλεύρῳ κριθίνῳ τε ὀπῷ ἑψηθέν. μίγνυται δὲ καὶ κολλυρίοις ὀξυδερκέσι τε μαλάγμασι. κινεῖ δὲ καὶ πταρμούς, καὶ εἰς τὰς ῥῖνας διεγχεόμενον λεῖον μετὰ μέλιτος, καθαίρει διὰ στόματος.

## Περὶ κυκλαμίνου. τξθ.

Κυκλάμινος. οἱ δὲ, κισσάνθεμον. οἱ δὲ, κισσόφυλλον. οἱ δὲ, χελώνιον. οἱ δὲ ἰχθυόθηρον. οἱ δὲ, κυλίνην. οἱ δὲ ζωροάστρις ἢ ὀμφαλίτης. ὀσθάνης ἀσφώ. προφῆται μιασφώ. αἰγύπτιοι θέσκη. ῥωμαῖοι ῥάπουμ τέρραι. οἱ δὲ, ὑμβιλίκουμ τέρραι. οἱ δὲ ἀρκαρά. φύλλα ἔχει ὅμοια κισσῷ, πορφυρᾶ, ποικίλα, κάτωθέν τε καὶ ἄνωθεν κηλῖσιν ὑπολεύκοις. καυλὸν ἢ τετραδάκτυλον, γυμνόν, ἐφ᾽ οὗ ἄνθη ῥοδοειδῆ πορφυρίζοντα. ῥίζαν μέλαιναν γογγυλίδι παραπλησίαν, ὑπόπλατυν. ἥτις ποθεῖσα μετὰ ὑδρομέλιτος, ἄγει φλέγμα καὶ ὕδωρ κάτω. καὶ ἔμμηνα δὲ κινεῖ πινομένη τε προστιθεμένη. φασὶ δὲ ὅτι ἂν ὑπερβῇ τὴν ῥίζαν ἐγκύμων γυνή, ἐξαμβλωθῆναι αὐτήν. ἔστι δὲ καὶ ὠκυτόκιον περιαπτομένη. πίνεται δὲ πρὸς τὰ θανάσιμα μετ᾽ οἴνου, καὶ μάλιστα πρὸς λαγωὸν θαλάσσιον. ἔστι δὲ ἀντιφάρμακον καταπλασσομένη. μεθύσκει τε οἴνῳ μιχθεῖσα. καθίσκοι δὲ τὸ ἐκ τριῶν δραχμῶν πλῆθος ποθεῖσα μετὰ γλυκέος ἢ μελικράτου ὑδερικούς. κατακλίνεσθαι δὲ δεῖ ἐν οἴκῳ θερμῷ τὸν πίνοντα, καὶ πλείοσιν ἱματίοις περιβάλλειν ὅπως ἱδρώσῃ. ὁ δὲ ἀποκρινόμενος ἱδρώς, χολώδης εὑρίσκεται τῇ χροιᾷ. ἐγχυματίζεταί τε ὁ χυλὸς αὐτῆς μετὰ μέλιτος εἰς τὰς ῥῖνας πρὸς κάθαρσιν κεφαλῆς. καὶ τῷ δακτυλίῳ ἐν ἐρίῳ προστίθεται πρὸς κομιδὴν περιττωμάτων. καταχρισθέντος δὲ αὐτοῦ ἐπ᾽ ὀμφαλοῦ τε ὑπογαστρίου καὶ ἰσχίου, κοιλίαν μαλάσσει. καὶ ἐκτρωσμοὺς ἐργάζεται. καὶ πρὸς τοὺς ὑποκεχυμένους καὶ ἀμβλυωποῦντας ὀφθαλμούς, ἐγχεόμενος ὁ χυλὸς σὺν μέλιτι ἁρμόζει.

μόζει. μίσγεται δὲ εἰς τὰ φθόρια· ἕδρας τε προσπασσομένη σὺν ὄξει καταχριομένη ὁ χυλὸς κα-
θίστησι. χυλίζεται δὲ ἡ ῥίζα κοπτομένη καὶ ἐκθλιβομένη, ἑψομένου τοῦ χυλοῦ ἄχρι με-
λιτώδους συστάσεως. ῥύπτει δὲ καὶ χρῶτα ἡ ῥίζα, καὶ ἐξανθήματα στέλλει, καὶ τραύμα-
τα μετ᾽ ὄξους καθ᾽ αὑτήν τε καὶ μετὰ μέλιτος ἰᾶται. καταπλασσομένη δὲ σπλῆνα
τήκει. ἀποκαθαίρει δὲ καὶ ἔφηλιν καὶ ἀλωπεκίας. εὐθετεῖ δὲ καὶ πρὸς στρέμματα καὶ
ποδάγραν. καὶ τὰ ἐγκεφαλῆ ἑλκύδρια καὶ χίμετλα τὸ ἀφέψημα αὐτῆς καταντλού-
μενον. αὐτή τε δὲ ἐλαίου παλαιοῦ ἀναζεσθεῖσα, ἀπουλοῖ καταχριομένου τοῦ ἐλαίου.
ἐγκοιλανθεῖσα δὲ πληροῦται τοῦ ἐλαίου, καὶ τίθεται ἐπὶ θερμοσποδιᾶς. προσεμβάλλε-
ται δὲ ἐνίοτε καὶ κηροῦ τυρρηνικοῦ ὀλίγον, ὡς γλοιῶδες γενέσθαι κατάχρισμα ἄριστον χι-
μετλῶσι. ἀποτίθεται δὲ ἡ ῥίζα τμηθεῖσα ὡς ἡ σκίλλα. ἱστορεῖται δὲ καὶ πρὸς φίλτρα
αὐτὴν λαμβάνεσθαι κοπεῖσαν, ἀναπλασθεῖσάν τε εἰς τροχίσκους. φύεται δὲ ἐν συσκί-
οις τόποις, μάλιστα δὲ ὑπὸ τὰ δένδρα.

Περὶ ἑτέρας κυκλαμίνου. κε τε.

Κυκλάμινος ἑτέρα, ἣν ἔνιοι κισσάνθεμον ἢ κισσόφυλλον καλοῦσι. φύλλα ἔχει κισσῷ
ἐοικότα, ἐλάσσονα δὲ, καυλοὺς παχεῖς, γονατώδεις, περιπλεκομένους τοῖς παρακειμέ-
νοις δένδρεσιν ἑλικοειδῶς, ἄνθη λευκά, εὐώδη. καρπὸν δὲ ὡς ῥάγας σταφυλῆς, ὅμοιον κισ-
σῷ, μαλακὸν, δριμὺν ἐν τῇ γεύσει ἠρέμα καὶ γλίσχρον. ῥίζαν ἄχρηστον. φύεται δὲ ἐν τρα-
χέσι χωρίοις. ταύτης ὁ καρπὸς ὅσον < μία τὸ πλῆθος πινόμενος μετ᾽ οἴνου λευκοῦ κυά-
θων β ἐπὶ ἡμέρας μ, σπλῆνα τήκει, διουρεῖ καὶ κοιλίας δαπανωμένον. πίνεται δὲ καὶ
πρὸς ὀρθόπνοιαν, καὶ τὰς ἐκ τοκετῶν καθαίρει ποθεῖσα.

Περὶ δρακοντίας μεγάλης. κε τϛ′.

Δρακοντία μεγάλη· οἱ δὲ, ἄρον· οἱ δὲ, ἴσαρον· οἱ δὲ, ἴαρ.· οἱ δὲ, ἰσφάκικ.· οἱ δὲ βίαρ.· οἱ δὲ, ἀρμιάγγελ.·
οἱ δὲ, κύπερις· ῥωμαῖοι λουρουμέμ.· οἱ δὲ, μαυριαρίαμ.· οἱ δὲ, σπιδιάλιος. φύεται ἐν συσκί-
οις περιφραγμοῖς. καυλὸν δὲ ἔχει λεῖον, ὀρθὸν ὡς διπηχυαῖον, καὶ πάχος ὡς βακτηρί-
ας, ποικίλον κατὰ χρόαν, ὡς ἐοικέναι δράκοντι, καὶ πλεονάζει μὲν ἐν τοῖς διαπορφύροις στί-
λοις. φύλλα δὲ ὡς λαπαθοειδῆ ἀλληλεμπλεκόμενα. καρπὸν δὲ ἐπὶ ἄκρου τοῦ καυλοῦ βο-
τρυοειδῆ. ποώδη τῷ χρώματι τὸ πρῶτον, ἐν δὲ τῷ πεπανθῆναι κροκίζοντα καὶ φοινι-
κοῦν. ῥίζαν εὐμεγέθη, στρογγύλην, λευκήν, φλοιὸν ἔχουσαν λεπτόν. συλλέγεται δὲ καὶ χυ-
λίζεται ὅταν περκάζῃ, καὶ ξηραίνεται ἐν σκιᾷ. ἡ δὲ ῥίζα ὀρύσσεται πυραμητῷ, καὶ
πλυθεῖσα κατατέμνεται, καὶ ἐνείρεται μὲν ἱμάντι, ξηραίνεται δὲ ἐν σκιᾷ. θερμαντικὴ
δὲ ἐστι μετὰ συγκράματος. ποιεῖ δὲ ὀπτή τε καὶ ἑφθὴ μετὰ μέλιτος ἐκλειχομένη, πρὸς
ὀρθοπνοϊκὰ, ῥήγματα, σπάσματα, βῆχας, κατάρρουν. ποθεῖσα δὲ μετὰ οἴνου, τὰς ἐπὶ συνουσί-
αν ὁρμὰς κινεῖ. καθαίρει δὲ σὺν μέλιτι λεανθεῖσα ἢ ἐπιπλασθεῖσα τὰ κακοήθη τῶν ἑλκῶν.
καὶ φαγεδαινικά, καὶ μετὰ λευκῆς ἀμπέλου μάλιστα. καὶ κολλύρια δὲ ἐξ αὐτῆς σὺν
μέλιτι, πρὸς σύριγγας ἀναπλάττεται, καὶ ἐμβρύων κομιδήν. ποιεῖ δὲ καὶ πρὸς ἀλ-
φοὺς σὺν μέλιτι καταχρισθεῖσα. πολύποδας δὲ καὶ καρκινώματα δαπανᾷ. ποιεῖ δὲ ὁ χυ-
λὸς αὐτῆς καὶ εἰς ὀφθαλμικά, πρὸς νεφέλια, λευκώματα, ἀχλύν. ἡ δὲ ὀσμὴ τῆς ῥίζης
καὶ τῆς πόας τῶν ἀρτισπωμένων, φθόριόν ἐστι. καὶ τοῦ καρποῦ λ′ κόκκοι ποθέντες
μετ᾽ ὀξυκράτου. ἔνιοι δὲ τῷ χυλῷ τῷ τούτου καὶ τοὺς ὠταλγοῦντας ἐγχυματίζουσι
μετ᾽ ἐλαίου. τὰ φύλλα δὲ συμφέροντα τοῖς νεοτρώτοις ἐπιτιθέμενα. ἑψημένα δὲ

ἐν οἴνῳ καὶ τοῖς χίμετλα ἔχουσι. φασὶ δὲ καὶ τοὺς διατρίψαντας αὐτὰ τὰς χεῖρας ἢ τὴν ῥίζαν ἀναιροῦντας, ὑπὸ ἐχιδνῶν μὴ δάκνεσθαι.

### Περὶ δρακοντίας μικρᾶς. κε. τοβ.

Δρακοντία ἑτέρα, ἔχει φύλλα κισσοειδῆ, μεγάλα, σπίλους ἔχοντα λευκούς· καυλὸν δὲ ὀρθὸν, δίπηχυν, ποικίλον, ὀφιοειδῆ, διαπόρφυρον τοῖς σπίλοις, βακτηρίας τὸ πάχος. καρπὸς δὲ ἐπ᾽ ἄκρου βοτρυώδης, χρώματι τὸ μὲν πρῶτον χλοώδης, πεπανθεὶς δὲ κροκίζων, ἐπιδάκνων τὴν γεῦσιν. ῥίζα στρογγύλη, βολβοειδής, ὁμοία ῥαφάνῳ, φλοιὸν ἔχουσα λεπτόν. φύεται ἐν συσκίοις περιφραγμοῖς καὶ αἱμασιαῖς. δύναμιν δὲ ἔχει ὁ καρπὸς ἐξ ὄξους χυλισθεὶς καὶ ἐγχυματισθεὶς μετ᾽ ἐλαίου τὸ οὖς, ὦτα ἀλγοῦντα ὠφελεῖ. εἰς δὲ τὰς ῥῖνας προστιθέμενος ἐν ἐρίῳ πολύποδας δαπανᾷ. καταχριόμενος δὲ στέλλει καὶ καρκινώματα. ποθέντες δὲ ὅσον λ᾽ κόκκοι μετὰ ὀξυκράτου ἐξαμβλοῦν κυήσεις. καὶ τὴν ὀσμὴν δὲ φασὶ μετὰ τὸν ἐμφρασμὸν τῆς αἰσθήσεως, τῶν ἀρτισυλλημμένων ἐμβρύων φθαρτικὸν εἶναι. ἡ δὲ ῥίζα θερμαντικὴ οὖσα, βοηθεῖ ὀρθοπνοίαις, ῥήγμασι, σπάσμασι, βηξί, κατάρρῳ· καὶ τὰ ἐν θώρακι ὑγρὰ εὐανάγωγα ποιεῖ ἑφθεῖσά τε καὶ ὀπτὴ μετὰ μέλιτος καὶ καθ᾽ ἑαυτὴν βιβρωσκομένη. ξηρὰ δὲ λεία σὺν μέλιτι ἐκλειχομένη. ἔστι δὲ οὐρητική. ὁρμᾷ δέ τι πρὸς συνουσίαν ἐγείρει πινομένη μετ᾽ οἴνου. καὶ ἕλκη κακοήθη καὶ φαγεδαινικὰ μετὰ βρυωνίας λευκῆς σὺν μέλιτι λειανθεῖσα, ἀνακαθαίρει καὶ ἀπουλοῖ. καὶ κολλύρια δὲ ἐξ αὐτῆς ἀναπλάττεται πρὸς σύριγγας καὶ ἐμβρύων κομιδήν. φασὶ δὲ ὅτι καὶ ὁ διατρίψας τὰς χεῖρας τῇ ῥίζῃ, ἀπὸ ἐχιδνῶν ἄδηκτος μένει. ἀποκαθαίρει δὲ καὶ ἀλφοὺς σὺν ὄξει καταχρισθεῖσα. τὰ δὲ φύλλα λεῖα ἐπὶ τῶν νεοτρώτων ἀντὶ μότου ἐπιτιθέμενα ἁρμόζει. καὶ πρὸς χίμετλα ἑψηθέντα ἐν οἴνῳ καὶ ἐπιτεθέντα. τυρός τε ἐνειλούμενος τοῖς φύλλοις, ἄσηπτος διαμένει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἁρμόζει πρὸς κεφέλια καὶ λευκώματα καὶ ἀχλῦς. λαχανεύεται δὲ ἡ ῥίζα καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν, ἑφθεῖσα καὶ ὠμή. ἐσθιομένη δὲ ἐν ταῖς Γυμνησίαις νήσοις, καλουμέναις δὲ Βαλιαρίσιν, ἑφθεῖσαν τὴν ῥίζαν μιγνύντες μέλιτι πολλῷ ἐν τοῖς συμποσίοις δείπνοις, ἀντὶ πλακούντων παρατιθέασιν. ἀποτίθεσθαι δὲ δεῖ τὴν ῥίζαν ἐν τῷ ἀμητῷ ὀρύξαντας καὶ πλύναντας καὶ κατατεμόντας, ἐνείραντας τε λίνῳ καὶ ξηράναντας ἐν σκιᾷ.

### Περὶ ἄρου. τογ.

Ἄρον τὸ καλούμενον παρὰ Σύροις λοῦφα· οἱ μὲν ἄλιμα, οἱ δὲ θύμον, οἱ δὲ δρακοντίαν· οἱ Κύπριοι καὶ κολοκάσιον λέγουσι. φύλλα ἀνίησιν ὅμοια τοῖς τοῦ δρακοντίου, μακρότερα δὲ καὶ ἀσπιλότερα. καυλὸν σπιθαμιαῖον, ὑποπόρφυρον, ὑπεροειδῆ, ἐφ᾽ οὗ ὁ καρπὸς κροκίζων. ῥίζα λευκὴ πρὸς τὴν τοῦ δρακοντίου, ἥτις καὶ ἐσθίεται ἑψομένη, ἧττον οὖσα δριμεῖα. ταριχεύεται δὲ τὰ φύλλα εἰς βρῶσιν, καὶ καθ᾽ αὑτὰ ξηρανθέντα ἑψόμενα ἐσθίεται. δύναμιν δὲ ἔχει ἡ ῥίζα καὶ τὸ σπέρμα καὶ τὰ φύλλα τὴν αὐτὴν τῷ δρακοντίῳ. ποιεῖ δὲ ἡ ῥίζα καταπλασσομένη σὺν βολβίτῳ ἐπὶ ποδαγρικῶν. ἀποτίθεται δὲ ὡς ἡ τοῦ δρακοντίου. καὶ καθόλου ἐστὶ διὰ τὸ μὴ λίαν δριμὺ ἐδώδιμον.

### Περὶ ἀρισάρου. κε. τοδ.

Ἀρίσαρον ἐστὶ μικρὸν βοτάνιον, ῥίζαν ἔχον ὡς ἐλαίας. ἔστι δὲ δριμύτερον τοῦ ἄρου. ὅθεν νομὰς ἵστησι καταπλασσομένη. κολλύριά τε πρὸς σύριγγας ἐναργῆ ἐξ αὐτῆς γίνεται. φθείρει δὲ καὶ αἰδοῖον παντὸς ζώου καταπλασθεῖσα ἡ ῥίζα.

### Περὶ ἀσφοδέλου. κε. τοε.

Ἀσφόδελος· οἱ δὲ, ναρθήκιον· ῥωμαῖοι ἀλβούκιουμ. φυτὸν τοῖς πλείστοις γνώριμον.

φύλλα

## ΔΕΥΤΕΡΟΝ

φύλλα ἔχον πράσῳ μεγάλῳ ὅμοια. καυλὸν δὲ λεῖον. ἔχοντα ἐπ' ἄκρου ἄνθος καλούμενον ἀνθέρικον. ῥίζαι δὲ ὑπεισὶν ὑπομήκεις. στρογγύλαι. βαλάνοις ὅμοιαι. δριμεῖαι κατὰ τὴν γεῦσιν. καὶ τὴν δύναμιν θερμαντικαί. κινοῦσι δὲ καὶ οὔρησιν. καὶ ἔμμηνα ποθεῖσαι. ἰῶνται καὶ πλευρᾶς ἀλγήματα καὶ βῆχας καὶ σπάσματα καὶ ῥήγματα < α πλῆθος τῆς ῥίζης ἐν οἴνῳ πινομένης. ποιεῖ δὲ καὶ εἰς ἐμέτους ὅσον ἀστράγαλος βρωθεῖσα. καὶ ἑρπετοδήκτοις δίδοται ὠφελίμως ὅσον < γ' τὸ πλῆθος. καταπλάττεσθαι δὲ δεῖ τοῖς δήγμασι τοῖς τε φύλλοις καὶ τῇ ῥίζῃ καὶ τοῖς ἄνθεσι σὺν οἴνῳ. καὶ τὰ ῥυπαρὰ καὶ νεμόμενα ἕλκη. καὶ μαστῶν καὶ διδύμων φλεγμονὰς καὶ φύματα καὶ δοθιῆνας. συγκαθεψομένης τρυγὸς οἴνου τῇ ῥίζῃ. πρὸς δὲ τὰς προσφάτους φλεγμονὰς μετὰ ἀλφίτου. ὁ δὲ χυλὸς τῆς ῥίζης προσλαβὼν οἴνου παλαιοῦ γλυκέος καὶ σμύρνης καὶ κρόκου, συνεψηθέντα ἐπὶ τὸ αὐτὸ, ἔγχριστον γίνεται ὀφθαλμοῖς φάρμακον. καὶ πρὸς ὦτα πυορροοῦντα καθ' αὑτόν. καὶ σὺν λιβανωτῷ καὶ μέλιτι καὶ οἴνῳ καὶ σμύρνῃ χλιανθεὶς ἁρμόζει. ὀδονταλγίαις τε καθ' ἑαυτὸν ἐγχυθεὶς τῷ ἀντικειμένῳ ὠτίῳ, πραΰνει. καεῖσα δὲ ἡ ῥίζα τῇ τέφρᾳ ἐπιπλασσομένης, ἀλωπεκίας δασύνει. συνεψηθὲν δὲ ἔλαιον, ἐκκοιλανθείσαις ταῖς ῥίζαις ἐπὶ πυρός, ἑλκουμένας χιμέθλας καὶ πυρίκαυτα ἐπαλειφόμενον ὠφελεῖ. καὶ κωφώσει βοηθεῖ ἐγχεόμενον. τό τε ἀλφόν τε λευκὸν προσανατριφθέντα ἐν ὀθονίῳ ἐν ἡλίῳ, καταχρισθεῖσα ἡ ῥίζα σμήχει. ὁ δὲ καρπὸς καὶ τὰ ἄνθη κατὰ δραχμὰς γ', σκολοπενδρῶν καὶ σκορπίων αὐτὸ φάρμακόν ἐστιν ἐν οἴνῳ ποθέντα. καταρρήγνυσι δὲ καὶ τὴν κοιλίαν. ἐν ἄλλῳ αὖθις δὲ ἐν πυραμίτῃ. χρὴ δὲ τὸν λευκὸν ἀσφόδελον τέμνειν κατὰ τὴν ἰσημερίαν ἐν ἔαρι. πρὸ τοῦ τὸν καρπὸν αὐξηθῆναι. τὴν δὲ ῥίζαν πινομένην, ἀνορέκτους φησὶ ποιεῖν πρὸς ἀφροδίσια. καὶ κρατεύας δὲ ὁ ῥιζοτομικὸς τὰ αὐτὰ εἶπε. καὶ ὅτι θεραπεύει ἡ ῥίζα πινομένη μετ' οἴνου δραχμὴ μία ποδάγρας ἀλγήματα.

### Περὶ βολβοῦ. κε' τς'.

Βολβὸς ὁ καλούμενος ἐμετικὸς, ἔχει τὰ φύλλα ἱμαντοειδέστερα. καὶ πολλῷ μακρότερα τοῦ ἐδωδίμου. ῥίζαν ἐοικυῖαν βολβῷ. περὶ ἣν φλοιὸς μέλας. αὕτη ἐσθιομένη καθ' αὑτὴν καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενοι, τὰ περὶ κύστιν ἰῶνται. καὶ ἐμετικὰ κινεῖ.

### Περὶ βολβοῦ ἐδωδίμου. κε' τζ'.

Βολβὸς ἐδώδιμος. εὐστόμαχος πᾶσιν ἐν ἐσθιόμενος. εὐστόμαχος. εὐκοίλιος. πυρρὸς. καὶ ὁ ἀπὸ λιβύης κομιζόμενος. ὁ δὲ πικρὸς καὶ σκιλλώδης, εὐστομαχώτερος. πεπτικός. πάντες δὲ δριμεῖς καὶ θερμαντικοί. καὶ πρὸς συνουσίαν παρορμῶντες. τραχύνοντες γλῶσσαν καὶ παρίσθμια. πολύτροφοι σαρκῶν γεννητικοί. ἐμπνευματωτικοί. ποιοῦσι δὲ καταπλασσόμενοι πρὸς στρέμματα. θλάσματα. σκόλοπας. καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας. ξηραίνεται (?) τὰ ποδάγρας σὺν μέλιτι καὶ καθ' αὑτοὺς καὶ τὰ τῶν ὑδρωπικῶν οἰδήματα καὶ κυνόδηκτα, ὁμοίως σὺν μέλιτι καὶ πεπέρει λείῳ καταπλασθέντες, ἐπιχρισθέντες ὀδύνας. καὶ στομάχου ὀδύνας παύουσι. καὶ πίτυρα καὶ ἀχῶρας ἀποσμήχουσι σὺν ἀφρῷ νίτρου. καθαίρουσι δὲ καὶ ὑπώπια καὶ ἰόνθους. καθ' αὑτοὺς δὲ σὺν ᾠοῦ λεκύθῳ καὶ φακοὺς σὺν μέλιτι ἢ ὄξει. πρὸς δὲ ὤτων θλάσματα σὺν ἀλφίτῳ καὶ πρὸς θλάσεις ὀνύχων. ἀφαιροῦσι δὲ καὶ συκᾶς ὀπτηθέντες ἐν θερμοσποδιᾷ. καὶ μετὰ μαινίδων κεφαλῶν κεκαυμένοι ἐ-

(πιτεθέντες

κασόριος δὲ καὶ μιγνύμενος ἁλκυονίῳ, ἔφηλιν καὶ οὐλὰς μελαίνας ἀποκαθαίρουσιν ἐν ἡλίῳ καταχριόμενοι. σὺν ὄξει δὲ ἑφθοὶ βιβρωσκόμενοι ποιοῦσι πρὸς ῥήγματα. φυλακτέον δὲ αὐτῶν τὸ πλῆθος ἐν τῇ βρώσει δεῖ διὰ τὸ ἅπτεσθαι τῶν νευρωδῶν. ἑφθοὶ δὲ σὺν ἀλφίτοις καὶ στέατι χοιρείῳ προστεθέντες, οἰδήματα καὶ φύματα συντόμως ἐκπυΐσκει καὶ διαφορήκασι.

Περὶ σκίλλας. κεφ. τοη.

Σκίλλα. δύναμιν ἔχει δριμεῖαν καὶ πυρωτικήν. πολύχρηστος δὲ γίνεται ὀπτηθεῖσα. στέατι δὲ ἢ πηλῷ περιπλάσσεται. καὶ δίδοται εἰς κλίβανον. ἢ ἄνθραξιν ἐγκρύπτεται μέχρις ἂν ὀπτηθῇ ἱκανῶς τὸ περικείμενον στέαρ. οὗ περιαιρεθέντος, εἰ μὴ τακερὰ γένηται, ἕτερον στέαρ ἢ πηλὸν περιπλάσσοντες, τὰ αὐτὰ ποιήσομεν. ἡ γὰρ μὴ οὕτως ὀπτηθεῖσα, βλαβερὰ τὴν δόσιν, πρὸς τὰ ἐντόσθια μάλιστα προσφερομένη. ὀπτᾶται δὲ καὶ ἐν χύτρᾳ πεπωμασμένη καὶ καθιεμένη εἰς κλίβανον. λαμβάνεται δὲ αὐτῆς τὸ μεσαίτατον τῶν ἔξωθεν περιαιρουμένων. καὶ ἕψεται δὲ τμηθεῖσα ἀποχεομένου τοῦ πρώτου ὕδατος. ἑτέρου τε ἐπιχεομένου, ἄχρις ἂν μὴ πικρὸν ἢ δριμὺ γένηται τὸ ὕδωρ. καὶ ξηραίνεται δὲ ἐν σκιᾷ τμηθεῖσα καὶ διαιρεθεῖσα λιναρίῳ, ὡς μὴ ἅπτεσθαι ἀλλήλων τοὺς τόμους. τῇ μέντοι τμητῇ, εἰς ἔλαιον καὶ οἶνον καὶ ὄξος σκιλλητικὸν χρώμεθα. πρὸς δὲ ῥαγάδας τὰς ἐν ποσί, τὸ ἔσωθεν τῆς ὠμῆς σὺν ἐλαίῳ ζεσθέν, ἢ σὺν τῇ ῥητίνῃ τηχθέν, ἐπιτίθεται. καὶ χοιράδας ἢ κατάπλασμα ἑψηθεῖσα σὺν ὄξει. τῆς δὲ ὀπτῆς πρὸς ἓν μέρος τῆς σκίλλης συγκεράσαντες ἁλῶν ὀπτῶν μέρη ὀκτώ, δίδομεν κοχλιάριον ἓν νήστεσι πρὸς μάλαξιν κοιλίας. εἴς τε πτίσματά τε καὶ ἀρωματικὰς δυνάμεις καὶ ἐφ' ὧν οὔρησιν κινῆσαι θέλομεν. καὶ ἐπὶ ὑδρωπικῶν καὶ στομαχικῶν. οἷς ἐπιπολάζει τὰ σιτία. καὶ ἐπὶ ἰκτέρου στροφουμένων. ἐμπνεόντων χρονίως ἀσθματικῶν ἀναφορικῶν. αὐτάρκης δὲ ὁλκὴ τριωβόλου σὺν μέλιτι ἐκλειχομένη. καὶ συγκαθέψεται δὲ τῷ μέλιτι. καὶ βιβρώσκεται πρὸς τὰ αὐτὰ μάλιστα πέψει συνεργοῦσα. ἄγει δὲ γλοιώδη κατὰ κοιλίαν. ἑφθὴ δὲ πρὸς τὰ αὐτὰ ποιεῖ ὁμοίως λαμβανομένη. φυλάττεσθαι δὲ καὶ αὐτῆς τὴν δόσιν δεῖ. ἐφ' ὧν ἑλκώσεις τινές εἰσιν ἐντός. καὶ πρὸς ἀκροχορδόνας ποιεῖ καὶ χιμέθλας ἐγχριομένη ὀπτή. τὸ δὲ σπέρμα αὐτῆς λεῖον ἀναληφθὲν ἐν ἰσχάδι ἢ μέλιτι καὶ βρωθέν, μαλάσσει κοιλίαν. ἔστι δὲ καὶ ἀλεξιφάρμακον ὅλη πρὸ τῶν θυρῶν κρεμαμένη.

Περὶ παγκρατίου. κεφ. τοθ.

Παγκράτιον. οἱ δὲ, καὶ τοῦτο σκίλλαν ὀνομάζουσι. ῥίζαν ἔχει βολβῷ μεγάλῳ ὁμοίαν. ὑπόπυρρον ἢ ὑποπόρφυρον. πικρὰν καὶ πυρώδη τὴν γεῦσιν. φύλλα κρίνῳ ὅμοια. μακρότερα δέ. ἔχει δὲ δύναμιν τὴν αὐτὴν τῇ σκίλλῃ. καὶ σκευασίαν καὶ δόσιν ποιοῦσιν ἐπὶ τῶν αὐτῶν παθῶν. ἐπιεικεστέρα μέντοι τῆς σκίλλης ἡ ταύτης δύναμις. ὅθεν καὶ χυλιζομένη ἡ ῥίζα ταύτης, μιγνυμένη τε ὀροβίνῳ ἀλεύρῳ καὶ ἀναπλασσομένη εἰς ἀρτίσκους, δίδοται σὺν ὑδρομέλιτι σπληνικοῖς καὶ ὑδρωπικοῖς ὠφελίμως.

Περὶ καππάρεως. κεφ. τπ.

Κάππαρις. οἱ δὲ κυνόσβατος. οἱ δὲ, καπρία. οἱ δὲ, κόρακος μῆλον. οἱ δὲ, ὀφιόσκορδον. οἱ δὲ, φυλλοσέφυλον. οἱ δὲ θαλλίαν. οἱ δὲ, πετρίαν. οἱ δὲ, ὁλόφυτον. οἱ δὲ ἰωνίτην. οἱ δὲ, ὀλιγόχλωρον. οἱ δὲ, ἀκόντιον. οἱ δὲ, ἱππομανές. οἱ δὲ, τριχμαλίς. προφῆται πτέρα. οἱ δὲ, πύθιον. οἱ δὲ, καρδιαλίνου. οἱ δὲ, ἀλλοσκόροδον.

οἱ δὲ,

οἱ δὲ, κεῖνον· οἱ δὲ, θαλασσίαν· ῥωμαῖοι σινάπι πέρσικον· οἱ δὲ, ἰντούβεις· ἀφροὶ ἐρβιαιαθουμ. θάμνος ἐστὶν ἀκανθώδης, ἐπὶ γῆς κυκλοειδῶς ἐστρωμένος. ἀκάνθας ἀγκιστροειδεῖς ἔχων ὡς βάτος. φύλλα στρογγύλα, μηλέᾳ κυδωνίᾳ ὅμοια. καρπὸν δὲ οἷον ἐλαίας. ὃς ἀνοιχθεὶς λευκὸν προΐεται ἄνθος. οὗ πεσόντος, εὑρίσκεταί τι οἷον βάλανος ἐπιμήκης. ὅπερ ἀνοιχθὲν ἔχει κόκκους ὥσπερ ῥοιᾶς. μικρούς. ἐρυθρούς. ῥίζας ξυλώδεις καὶ μεγάλας πλείστας. φύεται ὡς ἐπίπαν ἐν τραχέσι καὶ λεπτογείοις τόποις. καὶ νήσοις καὶ οἰκοπέδοις. ταριχεύεται δὲ ὁ καυλὸς αὐτῆς καὶ ὁ καρπὸς εἰς βρῶσιν. ταράσσει δὲ τὴν κοιλίαν. κακοστόμαχός τε ἐστὶ καὶ διψώδης. βρασθεῖσα δὲ ἑφθή, εὐστομαχωτέρα τῆς ὠμῆς. ὁ μὲν οὖν καρπὸς αὐτῆς σπληνιτικός. ὁλκὴ δυοῖν < μετ' οἴνου πινόμενος ἐπὶ ἡμέρας μ' ἄγει οὖρον καὶ διαχώρημα αἱματῶδες. ἰσχιάδι τε καὶ παραλύσει βοηθεῖ πινόμενος ὁ καρπός. καὶ πρὸς ῥήγματα καὶ σπάσματα. ἔμμηνά τε ἄγει καὶ ἀποφλεγματίζει. καὶ ὀδονταλγίας παύει ὁ καρπὸς σὺν ὄξει ἑψόμενος καὶ διακλυζόμενος. τῆς δὲ ῥίζης ὁ φλοιὸς ξηρός, πρός τε τὰ προειρημένα ἁρμόζει. καὶ ἀνακαθαίρει τὰ χρόνια καὶ ῥυπαρὰ καὶ τετυλωμένα ἕλκη. καταπλάττεται δὲ καὶ ἐπὶ τῶν σπληνικῶν σὺν ὠμῇ λύσει. διαμασωμένη τε τῷ πονοῦντι ὀδόντι βοηθεῖ. ἀλφούς τε λευκοὺς ἀποσμήχει σὺν ὄξει λεῖα. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα, λεανθέντα, σκληρίας καὶ χοιράδας διαφορεῖ. σκώληκάς τε τοὺς ἐν ὠσὶν ὁ χυλὸς ἐγχυματισθεὶς κτείνει. ἡ μέντοι λιβυκὴ κάππαρις, γινομένη δὲ κατὰ τοὺς μαρμαρίτας λεγομένους, ἐμπνευματοῖ ἰσχυρῶς. ἐμετικὴ δὲ ἡ ἐν ἀπουλίᾳ. ἡ δὲ ἐκ τῆς ἐρυθρᾶς θαλάσσης καὶ λιβύης, δριμυτάτη. φλυκταινοῦσα τὸ στόμα καὶ κατεσθίουσα τὰ οὖλα ἄχρι γυμνώσεως. ὅθεν πρὸς βρῶσιν ἐστὶν ἀνεπιτήδειος.

## Περὶ λεπιδίου. κε τπα.

Λεπίδιον· ὃ ἔνιοι γιγγίδιον καλοῦσι, γνώριμον βοτάνιον· ταριχευόμενον εἰς ἁλμαίας μετὰ γάλακτος. δύναμις δὲ ἐστὶ τῶν φύλλων δριμεῖα, ἑλκωτική. ὅθεν ἰσχιαδικοῖς ἐστὶν ἐπίπλασμα ἀμυκτικώτατον. λεῖον σὺν ἐλενίου ῥίζῃ ἐπιτιθέμενον πρὸς τέταρτον ὥρας. καὶ ἐπὶ σπληνικῶν ὁμοίως. ἀφίστησι δὲ καὶ λέπρας. ἡ δὲ ῥίζα δοκεῖ ὀδόντων ἀλγήματα παύειν, περιαπτομένη τῷ τραχήλῳ.

## Περὶ βατραχίου. κε τπβ.

Βατράχιον· οἱ δὲ, σέλινον ἄγριον καλοῦσι. τούτου πλείονα μέν ἐστιν εἴδη. δύναμις δὲ μία δριμεῖα καὶ ἄγαν ἑλκωτική. ἔχει δὲ τὸ μὲν αὐτῶν, φύλλα ὅμοια κορίῳ. πλατύτερα δὲ καὶ ὑπόλευκα καὶ λιπαρά. ἄνθος μήλινον. ἐνίοτε πορφυροῦν. καυλὸν δὲ οὐ παχύν. ὕψος δὲ ὅσον πήχεως. ῥίζαν μικρὰν λευκὴν πικράν. ἔχουσαν ἀποφύσεις ὡς ἐλλεβόρου. φύεται δὲ παρὰ ῥείθροις. ἔστι δὲ καὶ ἕτερον εἶδος χνοωδέστερον. καὶ μακροκαυλότερον. ἐντομὰς ἔχει πλείους τῶν φύλλων. πλεῖστον ἐν σαρδονίᾳ γινόμενον. δριμύτατον. ὃ δὴ καὶ σέλινον ἄγριον καλοῦσι. καὶ τρίτον σφόδρα μικρὸν καὶ δύσοσμον. τὸ ἄνθος χρυσῷ ὅμοιον. καὶ τέταρτον ἐοικὸς τούτῳ, ἄνθος γαλακτίζον. δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ τὰ ἄνθη καὶ οἱ καυλοί, ἁπαλοὶ καταπλασσόμενοι, ἑλκωτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πόνου. ὅθεν ὄνυχας λεπροὺς καὶ ψώρας ἀφίστησι. καὶ στίγματα ἐξαίρει. καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἀλωπεκίας πρὸς ὀλίγον καταπλασθέντα. ἑψόμενα δὲ καὶ καταντλήματα χειμέτλοις ἐστὶ χλιαρόν. ἡ δὲ ῥίζα πταρμοὺς κινεῖ ξηρὰ λεῖα προσφερομένη τοῖς μυκτῆρσι. καὶ ὀδόντα ἀλγ-

κουφίζει προσαπτομένη. θρύπτει ἐμμότοις αὐτούς.

Περὶ ἀνεμώνης. ΚΕ τπγ.

Ἀνεμώνη. οἱ δὲ, ἀγρίαν· οἱ δὲ, μέλαιναν καλοῦσι ἡ ἀνεμώνη ἡ φοινική. οἱ δὲ λειμώνιον. οἱ δὲ, μηκώνιον. οἱ δὲ, τραγόκερως. οἱ δὲ, γῆς πηγή. οἱ δὲ, βαρβύλη. ὀσθαίνης βηρυλλίον. ὁμοίως ὄρτιος κεφάλιος. πυθαγόρας ἀδραντυλίς. προφῆται κυνὸς ἀγρία. ῥωμαῖοι ὀρειγόνεκαμ. ἄφροι χουφφοιτ. δισσὴ δὲ ἡ μὲν, ἀγρία. ἡ δὲ ἥμερος. τῶν δὲ ἡμέρων ἡ μέν τις φοινικᾶ φέρει τὰ ἄνθη. ἡ δὲ, ὑπόλευκα ἢ γαλακτίζοντα ἢ πορφυρᾶ. φύλλα δὲ κοριοειδῆ, λεπτοσχιδέστερα πρὸς τῇ γῇ. καυλία χνοώδη λεπτά. ὑπὲρ ὧν τὰ ἄνθη ὡς τὰ τῆς μήκωνος. ἐν μέσῳ κεφάλια μέλανα ἢ κυανίζοντα. ῥίζα κατὰ τὸ μέγεθος ἐλαίας ἢ μεῖζον. οἱονεὶ γονατοειδὴς λημμένη. ἡ δὲ ἀγρία κατὰ πάντα μείζων τῆς ἡμέρου. καὶ τοῖς φύλλοις πλατυτέρα καὶ σκληροτέρα. τήν τε κεφαλὴν ἐπιμηκεστέραν ἔχει. ἄνθος φοινικοῦν. ῥιζία λεπτὰ καὶ πλείω. ἡ δέ τις ἔχει φύλλα μέλανα δριμυτέρα οὖσα. δύναμιν δὲ ἔχουσι δριμεῖαν ἀμφότεραι. ὅθεν ὁ χυλὸς τῆς ῥίζης αὐτῆς ῥινὶ ἐγχυθείς, πρὸς κεφαλῆς κάθαρσιν ἁρμόζει. μασηθεῖσα δὲ ἡ ῥίζα, φλέγμα ἄγει. ἑψηθεῖσα δὲ ἐν γλυκεῖ καὶ καταπλασσομένη, ὀφθαλμῶν φλεγμονὰς ἰᾶται. καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ ἀμβλυωπίας ἀποσμήχει. ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. τὰ δὲ φύλλα καὶ οἱ καυλοὶ συνεψηθέντες πτισάνῃ καὶ ἐσθιόμενα, γάλα κατασπᾷ. ἐν προσθέτῳ δὲ ἔμμηνα ἄγει. καταπλασθέντα δὲ λέπρας ἀφίστησι. ἔνιοι δὲ μὴ δυνάμενοι διακρίνειν ἀπὸ τῆς ἀγρίας ἀνεμώνης, τὴν λεγομένην ἀργεμώνην καὶ τὴν ῥοιάδα μήκωνα, περὶ ἧς ἐν τοῖς μήκωσιν ἱστορήσομεν, διὰ τὸ τῶν ἀνθῶν ὁμόχροον φοινικοῦν ὑπάρχειν, πλανῶνται τὴν ἀργεμώνην ἀνεμώνην ὀνομάζοντες. πλὴν τῆς ἀργεμώνης ἧττον βαθὺ τὸ φοινικοῦν ἐστὶ καὶ τῆς ῥοιάδος. ὀψιαίτερον δὲ αὐτῆς καὶ ἡ ἀργεμώνη ἀνθοῦσι. καὶ ἡ μὲν ἀργεμώνη ὀπὸν ἀνίησι κροκίζοντα καὶ δριμὺν πρὸς τὴν γεῦσιν ἰσχυρῶς. ἡ δὲ ῥοιὰς λευκότερον καὶ δριμύν. ἀμφότεραι δὲ μεταξὺ κεφάλια μήκωνι ἀγρίᾳ παραπλήσια ἔχουσι. πλὴν τὸ μὲν τῆς ἀνεμώνης ἄνωθεν ὑπόπαχυ. τὸ δὲ τῆς ῥοιάδος ὑπόστενον. αἱ δὲ ἀνεμῶναι οὔτε ὀπὸν ἀνιᾶσιν, οὔτε κωδίαν ἔχουσιν. ἀλλ᾽ οἱονεὶ ἀσπαράγου ἄκρον. ἐν ἀρούραις τε τὸ πλεῖστον εἰώθασι φύεσθαι.

Περὶ ἀργεμώνης. ΚΕ τπδ.

Ἀργεμώνη. οἱ δὲ, οἰνώνη. οἱ δὲ, ἀνθεμίς. οἱ δὲ, ὁμόνοια. οἱ δὲ, ἄνθος πεδινόν. ῥωμαῖοι λεβορίνα. οἱ δὲ, κοκορδάλις. οἱ δὲ πεταλία. γάλλοι κόρνα. παρόμοιος ἐστὶν ἀγρίᾳ μήκωνι. τὸ δὲ φύλλον ἀνεμώνης ἔχει ὅμοιον. ἄνθος, ἐσχισμένον, καυλὸν ἐν ἄνθει φοινικοῦν. κεφαλὴν δὲ ἐοικυῖαν μήκωνι ῥοιάδι ἐπιμηκεστέραν δὲ πλατεῖαν κατὰ τὰ ἄνωθεν μέρη. ῥίζαν στρογγύλην. ὀπὸν δὲ ἀνίησι κροκίζοντα. δριμύν. καθαίρει δὲ ἄργεμα καὶ νεφέλια. καὶ φλεγμονὰς παρηγορεῖ τὰ φύλλα καταπλασσόμενα. Κρατεύας ὁ ῥιζοτομικὸς εἰς τὸ αὐτό. ἀργεμώνη αὕτη ἡ βοτάνη κοπεῖσα μετὰ ὀξυγγίου, χοιράδας διαλύει. ποιεῖ καὶ πρὸς ἀλφοὺς μετὰ νίτρου καὶ θείου ἀπύρου, ξηρανθεῖσα καὶ σινιασθεῖσα. ἐν βαλανείῳ δὲ τοὺς χρωμένους θεραπεύει προεξηροτριβηθέντας. ποιεῖ καὶ πρὸς ψώραν.

Περὶ ἑτέρας ἀργεμώνης. ΚΕ τπε.

Ἀργεμώνη ἑτέρα. οἱ δὲ ἀρτεμώνη. οἱ δὲ, ἀρσελάμ. οἱ δὲ, σαρκοκόλλα. ῥωμαῖοι ἀρτεμόνιαμ. καὶ αὕτη παρέοικε μὲν ἀγρίᾳ μήκωνι τοῖς φύλλοις. δύναμιν δὲ

ἔχει

ἔχει αὐτὴ χλωρὰ τριβομένη λεία ἐπιτιθεμένη, διακοπὰς θεραπεύειν· καὶ ὀφθαλμῶν φλεγμονὰς παύει. ἁρμόζει δὲ δυσεντερικοῖς σὺν ὕδατι πινομένη. κολλητικὴ δὲ τραυμάτων καὶ φλεγμονῶν ἐστὶν εὐθέτως οὕτως ἐπιτιθεμένη, σπασμάτων τε πλημάτων ἐστὶ θεραπευτική. ἁρμόζει δὲ θηριοδήκτοις σὺν οἴνῳ πινομένη.

Περὶ ἀναγαλλίδος. κεφά. τπς.

Ἀναγαλλὶς ἡ φοινική· οἱ δὲ, ἀέριτις· οἱ δὲ, αἰγῖτις· οἱ δὲ σαυρῖτις· προφῆται, αἷμα ὀφθαλμοῦ· οἱ δὲ, χελιδόνιον· Ῥωμαῖοι μακία· Θοῦσκοι μασυτίπος· Γάλλοι σαπανά· Δακοὶ κερκεραφρών· ἀναγαλλὶς ἡ κοινή· οἱ δὲ κόρχορον· οἱ δὲ, ἁλικάκαβον· οἱ δὲ ζηλίαυρος. προφῆται, νυκτερῖτις· Αἰγύπτιοι μηκιεί· Ῥωμαῖοι μηκίατο· Ἄφροι ἀσιρρῖσι. Τῆς ἀναγαλλίδος δύο τὸ εἶδος ἐστὶ διαφέρον αὐξεῖ. ἡ μὲν γὰρ κυάνεον ἔχουσα τὸ ἄνθος, θήλεια λέγεται· ἡ δὲ τὸ φοινικοῦν, ἄρρην. θαμνία δέ εἰσι χαμαίζηλα ἐπὶ γῆς. φύλλα ἔχοντα ἐπὶ τετραγώνων καυλίων μικρὰ ὑποστρόγγυλα πρὸς τὰ τῆς ἑλξίνης. καρπὸν περιφερῆ. εἰσὶ δὲ ἀμφότεραι πραϋντικαί, ἀφλέγμαντοι, σκολόπων ἐπισπαστικαί, νομῶν ἐφεκτικαί. ὁ δὲ χυλὸς αὐτῶν ἀναγαργαριζόμενος, ἀποφλεγματίζει κεφαλήν· καὶ ῥισὶν ἐγχεόμενος, ὀδόντων πόνον παύει· ἐὰν εἰς τὸν ἀντικείμενον μυκτῆρα τῷ ἀλγοῦντι ἐμβληθῇ. καθαίρει καὶ ἄργεμα μετὰ μέλιτος Ἀττικοῦ· καὶ ἀμβλυωπίαις βοηθεῖ. ὠφελεῖ καὶ ἐχιοδήκτοις μετ' οἴνου πινόμενος· καὶ νεφριτικοὺς καὶ ἡπατικούς. φασὶ δέ τινες τὴν μὲν ἔχουσαν τὸ κυάνεον ἄνθος, προπτώσεις δακτυλίου στέλλειν· τὴν δὲ τὸ φοινικοῦν ἐρεθίζειν καταπλασθεῖσαν.

Περὶ κισσοῦ. κε τπζ.

Κισσός· οἱ δὲ, κίθαρον· οἱ δὲ, κίσσαρον· οἱ δὲ, χρυσόκαρπος· οἱ δὲ, ποιητική· οἱ δὲ, κορυμβήθρα· οἱ δὲ, κυάνεος· οἱ δὲ, διονύσιον· οἱ δὲ, ἰθυθήλειον· οἱ δὲ, περσίς· οἱ δὲ, κῆμος· οἱ δὲ, ἄσπληνος. Ῥωμαῖοι ἀλβαμάντηρ· οἱ δὲ ἕδερα. Γάλλοι σουιβίτης. κισσὸς πολλὰς ἔχει διαφοράς τὰς κατ' εἶδος· τὰς δὲ γενικωτάτας τρεῖς· ὁ μὲν γάρ τις λευκός· ὁ δὲ, μέλας· ὁ δὲ, ἕλιξ. ὁ μὲν οὖν λευκός, φέρει τὸν καρπὸν λευκόν· ὁ δὲ μέλας, μέλανα ἢ κροκίζοντα· ὃν ἔνιοι καὶ ἰδιῶται διονύσιον καλοῦσιν. ὁ δὲ ἕλιξ ἄκαρπος ἐστί, λεπτὰ ἔχει τὰ κλήματα. καὶ τὰ φύλλα μικρὰ καὶ γωνιώδη καὶ ἐρυθρά. πᾶς δὲ κισσὸς, δριμύς ἐστι, στυπτικός, τοῦ νευρώδους ἁπτικός. τοῦ δὲ αὐτοῦ τὰ μὲν ἄνθη τοῖς τρισὶ δακτύλοις ληφθέντα καὶ ποθέντα ἐν οἴνῳ, πρὸς δυσεντερικούς. δὶς δὲ τῆς ἡμέρας δεῖ πίνειν. καὶ πρὸς πυρίκαυτα δὲ ἁρμόζει σὺν κηρωτῇ λειανθέντα. τὰ δὲ ἁπαλὰ τῶν φύλλων σὺν ὄξει ἑψόμενα, ἢ ὠμὰ ἄρτῳ συλλεαινόμενα, σπλῆνα ἰῶνται. ῥινεγχυτεῖται δὲ ὁ χυλὸς τῶν φύλλων καὶ τῶν κορύμβων σὺν ἰρίνῳ ἢ μύρῳ ἢ μέλιτι ἢ νίτρῳ. καὶ πρὸς τὰ χρόνια τῆς κεφαλῆς ἀλγήματα ἁρμόζει. καταβρέχεται σὺν ὄξει καὶ ῥοδίνῳ. ὠταλγίας δὲ καὶ πυορροοῦντα ὦτα σὺν ἐλαίῳ ἰᾶται. τοῦ δὲ μέλανος κισσοῦ ὁ χυλὸς καὶ οἱ κόρυμβοι ποθέντες, ἀτονίαν ποιοῦσι· καὶ παραλλάσσουσι τὴν διάνοιαν πλείονα ποθέντες. ἀγὰς δὲ σφακελίζει πέντε τῶν κορύμβων θερμανθέντα σὺν ῥοδίνῳ ἐν σιδήρῳ καὶ ἐνσταχθέντα εἰς τὸ ἀντικείμενον οὖς ὀδονταλγίας, τὸ ἄλγημα πραΰνει. μελαίνουσι δὲ καὶ τὰς τρίχας οἱ κόρυμβοι καταπλασσόμενοι. τὰ δὲ φύλλα πρὸς πᾶν ἕλκος ἑψηθέντα σὺν οἴνῳ καὶ καταπλασσόμενα, κατακαύματα καὶ κακοήθη καὶ ἐφηλίδας θεραπεύει ὡς προείρηται

ἔφθη. κινοῦσι δὲ καὶ καταμήνια ὑποτεθέντες οἱ κόρυμβοι λεῖοι· καὶ ποθέντες δὲ μετὰ τὴν κάθαρσιν < πλῆθος, ἀτόκιόν ἐστι· καὶ ὁ μόσχος δὲ τῶν φύλλων μέλιτι δευθεὶς καὶ προστεθεὶς τῇ μήτρᾳ, ἔμμηνα ἄγει καὶ ἔμβρυα. ὁ δὲ χυλὸς ἐνσταζόμενος τοῖς ἐν τοῖς ῥώθωσι δυσωδίας καὶ σηπεδόνας ἐκκαθαίρει καὶ ἰᾶται. τὸ δὲ δάκρυον αὐτοῦ ψιλοῖ τρίχας· καὶ κτείνει φθεῖρας ἐπαλειφόμενον. ὁ δὲ τῶν ῥιζῶν χυλὸς σὺν ὄξει ποθεὶς, φαλαγγιοδήκτοις βοηθεῖ.

## Περὶ χελιδονίου τοῦ μεγάλου. τπή.

Χελιδόνιον τὸ μέγα· οἱ δὲ, παιωνία· οἱ δὲ, κρατεία· οἱ δὲ, ἄουβιος· οἱ δὲ, γλαύκιος· οἱ δὲ, πανδίος ῥίζα· οἱ δὲ, Φιλομήδειον· οἱ δὲ, ὀθόνιον· ῥωμαῖοι φάβιουμ· γάλλοι θῶνα· αἰγύπτιοι μεθώθ· δακοὶ κρουστάνη. καυλὸν ἀνίησι πηχυαῖον ἢ καὶ μείζονα, ἔχοντα παραφυάδας φυλλώδεις μεστός. φύλλα ὅμοια βατραχίῳ, τρυφερώτερα μέντοι τὰ τοῦ χελιδονίου καὶ ὑπόγλαυκα τὴν χρόαν· καὶ παρ᾽ ἕκαστον φύλλον ἄνθος ὥσπερ τὸ λευκόιον· χυλὸς δὲ κροκώδης, δριμὺς, δηκτικὸς, πικρὸς ὑπόπικρος καὶ δυσώδης. ῥίζα ἄνωθεν μὲν ἐστὶ μία, κάτωθεν δὲ πλείονες κροκώδεις. καρπὸς δὲ ὥσπερ τῆς κερατίτιδος μήκωνος, λεπτὸς, μακρὸς ὡς κῶνος, ἐν ᾧ σπέρματα μείζονα μήκωνος. ταύτης ὁ χυλὸς μιγεὶς μέλιτι καὶ ἑψηθεὶς ἐν χαλκῷ ἐπ᾽ ἀνθράκων, ἁρμόζει πρὸς ὀξυδορκίαν. χυλίζεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα καὶ ὁ καυλὸς, ἀρχομένου θέρους, καὶ ξηραίνεται ἐν σκιᾷ καὶ ἀναπλάττεται. ἡ δὲ ῥίζα πινομένη σὺν ἀνίσῳ καὶ οἴνῳ λευκῷ, ἰκτερικοὺς θεραπεύει καὶ ἕρπητας. καὶ καταπλασσομένη σὺν οἴνῳ ὀδονταλγίας τε παύει διαμασσωμένη. δοκεῖ δὲ ὠνομάσθαι χελιδόνιον, ἐπειδὴ ἅμα ταῖς χελιδόσι φαινομέναις ἀναφύεται, λειπούσαις δὲ συμπαρακμάζει. τινὲς δὲ ἱστόρησαν ὡς ἐάν τις τυφλωθῇ τῶν τῆς χελιδόνος νεοσσῶν, αἱ μητέρες προσφέρουσαι τὴν πόαν, ἰῶνται τὴν πήρωσιν αὐτοῦ.

## Περὶ χελιδονίου τοῦ μικροῦ. κεφά. τπθ.

Χελιδόνιον τὸ μικρόν· οἱ δὲ, πύρινον ἄγριον ἐκάλεσαν. βοτάνιόν ἐστιν ἐκ μόσχων ἀπηρτισμένον, ἄκαυλον, ἐμφύλλοις κισσοειδέσι, περιφερεστέροις δὲ μᾶλλον, καὶ μικροτέροις, καὶ τρυφεροῖς καὶ ὑπολιπέσι, περιεχόμενον· ῥίζας δὲ ἔχει ἐκ τοῦ αὐτοῦ μικρὰς πολλὰς, ὥσπερ πυροὺς σεσωρευμένας· τρεῖς δὲ εἰσὶν ἢ τέσσαρες αὐτῶν μακραί. φύεται δὲ περὶ ὕδασι καὶ τέλμασιν. ἔχει δὲ τὴν δύναμιν δριμεῖαν παραπλησίαν ἀνεμώνῃ, ἕλκουσαν τὴν ἐπιφάνειαν. ψώρας τε καὶ ὄνυχας λεπροὺς ἀφίστησιν. ὁ δὲ ῥίζας χυλωθείσης, χρήσιμος εἰς ῥινεγχυσίαν μετὰ μέλιτος πρὸς κάθαρσιν κεφαλῆς. ὁμοίως καὶ τὸ ταύτης ἀφέψημα σὺν μέλιτι ἀναγαργαριζόμενον, κεφαλὴν καθαίρει γενναίως καὶ πάντα τὰ ἐκ θώρακος.

## Περὶ ὀθόννης. κεφά. τϟ.

Ὀθόννα· οἱ μὲν φασὶ τοῦ μεγάλου χελιδονίου χυλὸν εἶναι· οἱ δὲ, γλαυκίου· οἱ δὲ, τῆς κερατίτιδος μήκωνος τῶν ἀνθέων χυλόν· ἔνιοι δὲ μίγμα ἀναγαλλίδος τῆς κυανέας καὶ ὑοσκυάμου καὶ μήκωνος χυλόν· οἱ δὲ βοτάνης ξυλοδυτικῆς τινός, ἥτις ὀθόννα καλεῖται, χυλόν. γεννᾶσθαι δὲ αὐτὴν καὶ ἐν τῇ κατ᾽ αἴγυπτον ἀραβίᾳ. ἔχει δὲ τὰ φύλλα εὐζώμῳ ἐμφερῆ, πολυξήτως ὥσπερ σητόκοπα, ψαφαρά, ὀλιγόφυλλα. ἄνθος δὲ φέρει κρόκινον, πλατύφυλλον. ὅθεν ἔδοξαν ἀνεμώνης αὐτὴν τινὸς εἶδος εἶναι. χυλίζεται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ὅπου δεῖ ἀ-

ποκαθαίρειν

# ΔΕΥΤΕΡΟΝ.

πλαθεῖσαν ἐφθὴν δάκνουσι. καὶ πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχουσι. φασὶ δέ τινα καὶ ὑγρασίαν ἀπορρεῖν τῆς βδελλαίνης. ἣν πλύναντες καὶ χωρίσαντες τῆς λίθου, ἀναπλάσσουσι τροχίσκους πρὸς τὰ αὐτά. ἔνιοι δέ φασιν αὐτὴν λίθον εἶναι αἰγύπτιον ἐν τῇ θηβαΐδι γινόμενον. λευκόχλωρον. μικρὸν τῷ μεγέθει. δάκνοντα τὴν γεῦσιν μετὰ πυρώσεως καὶ συντήξεως.

Περὶ μυὸς ὤτων. κεν. τλα'.

Μυὸς ὦτα. οἱ δὲ, μυῶπι. οἱ δὲ, αἰθύλλιον. οἱ δὲ, ἀλσίνην. οἱ δὲ, μυόρτοχον. οἱ δὲ, μυρτόσπληνον. ῥωμαῖοι μούρις ἀρίκουλα. ἄφροι λαβαθλαβάτ. ὠνόμασται δὲ ἀπὸ τοῦ ἔχειν μυὸς ὠτίοις ὅμοια τὰ φύλλα. ἀλσίνη δὲ διὰ τὸ σκιερούς καὶ ἀμμώδεις φιλεῖν τόπους. πόα ὁμοία ἑλξίνῃ. ταπεινοτέρα δὲ καὶ μικροφυλλοτέρα. δύναμιν δὲ ἔχει ψυκτικήν. ἁρμόζουσαν πρὸς φλεγμονὰς ὀφθαλμῶν. καταπλαττομένη μετὰ ἀλφίτων. καὶ πρὸς ὤτων πόνον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος. καὶ καθόλου δύναται τὰ αὐτὰ τῇ ἑλξίνῃ.

Περὶ ἑτέρου μυὸς ὤτων. τλβ'.

Μυὸς ὦτα ἕτερα. οἱ δὲ, μυὸς ὠτίδα καλοῦσιν. ἀφίησι καυλοὺς ἀπὸ μιᾶς ῥίζης πλείονας. ὑπερύθρους τὰ κάτωθεν καὶ κοίλους. φύλλα δὲ ἐπιμήκη καὶ στενά. ῥάχιν ἐπηρτημένην ἔχοντα μελανίζοντα. ἀνὰ δύο πεφυκότα ἐκ διαστημάτων. εἰς ὀξύτερον ἀπολήγοντα. ἐκφύεται δὲ λεπτὰ καυλία ἐκ τῶν μασχαλῶν. ἐφ' ὧν ἀνθύλλια κυανίζοντα ὡς τὰ τῆς ἀναγαλλίδος. ῥίζα δὲ δακτύλου τὸ πάχος. ἔχουσα πολλὰς ἀποβλαστήσεις. καθόλου δὲ ἐστὶν ὁμοία ἡ πόα τῷ σκολοπενδρίῳ. λειοτέρα δὲ καὶ ἐλάσσων. ταύτης ἡ ῥίζα καταπλασθεῖσα αἰγίλωπα ἰᾶται. τινὲς δὲ καὶ τὴν ἑλξίνην μυὸς ὠτίδα καλοῦσιν.

Περὶ ἰσάτιδος ἡμέρου. κεν. τλγ'.

Ἰσάτις ἥμερος. οἱ δὲ, αὔγιον. οἱ δὲ, ἔγνη. προφῆται ἀρέσπον. ῥωμαῖοι ῥοῦτρουμ. ἰσάτις ᾗ οἱ βαφεῖς χρῶνται φύλλον ἔχει ἀρνογλώσσῳ ἐμφερές. λιπαρώτερον δὲ καὶ μελάντερον. καυλὸν δὲ ὑπὲρ δίπηχυν. δύναται δὲ τὰ φύλλα καταπλασσόμενα πᾶν οἴδημα διαφορεῖν. καὶ φύματα καὶ ἔναιμα τραύματα κολλᾷν. αἱμορραγίας τε στέλλειν. καὶ φαγεδαινικά. καὶ ἕρπητας ἐρυσιπέλατά τε καὶ σηπεδόνας θεραπεύειν.

Περὶ ἰσάτιδος ἀγρίας. κεν. τλδ'.

Ἰσάτις ἀγρία. οἱ δὲ, ἔγνη μικρά. ῥωμαῖοι ῥοῦτρουμ μινόρεμ. ἡ δὲ ἀγρία ἰσάτις παραπλησία οὖσα τῇ πρὸ αὐτῆς, φύλλα ἔχει μείζονα πρὸς τὰ τῆς θρίδακος. καυλοὺς δὲ λεπτοτέρους πολυσχιδεῖς. ὑπερυθρίζοντας. ἔχοντας δὲ ἐπ' ἄκρων ὥσπερ θυλάκια γλωσσοειδῆ πολλὰ ἀπηρεμασμένα. ἐν οἷς τὸ σπέρμα. ἄνθος μήλινον λεπτόν. δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς. ὠφελοῦσα καὶ σπληνικοὺς πινομένη καὶ καταπλασσομένη. Ἐπισκεπτέον τὰ περὶ ἰσάτεων ὅτι αἱ ἐκδόσεις αὐτοῦ τὸ ἐσφαλμένον ἔχουσι. τότε γὰρ μήλινον ἄνθος καὶ τοὺς λεπτοτέρους καὶ πολυσχιδεῖς κλάδους καὶ τὰ ἐπ' ἄκρων γλωττοειδῆ θυλάκια ἐν οἷς τὸ σπέρμα, ἡ ἥμερος φέρει. ἐμπεριέχεται δὲ τούτοις σπέρμα μέλαν ἐοικὸς μελανθίῳ. καὶ τὸν καυλὸν δὲ ὑπὲρ δίπηχυ. ἀλλ' οὐχ ὑπὲρ πῆχυν μόνον φέρει. ἡ δὲ ἀγρία μελάντερα ταύτης τὰ φύλλα φέρει. καὶ καυλὸν ἐλάττω καὶ παχύτερον. ἄνθος τε ἐμπόρφυρον ἢ κυανοῦν. καὶ καρπὸν σαυροειδῆ. τραχύν. ἐν οἷς τὸ σπέρμα φυλακείοις μικροῖς ἀνὰ πέντε ἴσοις οἱονεὶ διειλημμένον.

Περὶ ἀραβίδος. κεν. τλε'.

Ἀραβὶς πόα, περὶ πῆχυ τὸ ὕψος ῥάβδους ἔχουσα λεπτάς. ἐφ' ἑκάτερα δὲ αὐτῶν φύλλα ὥσπερ λεπιδίου. ἁπαλώτερα δὲ καὶ λευκότερα. ἐπ' ἄκρων δὲ σκιάδιον καθάπερ ἀκτῆς

ἔχον ἄνθη λευκά. ταύτης ἡ πόα συνέψεται πιοτάτη μάλιστα ἐν καππαδοκίᾳ. ὁ δὲ καρπὸς αὐτῆς ξηρὸς ἀντὶ πεπέρεως μίσγεται τοῖς ἑψήμασι.

Περὶ τηλεφίου. τλϛ'.

Τηλέφιον. οἱ δὲ, ἀείζωον ἄγριον. οἱ δὲ, καὶ ταύτην ἀνδράχνην ἀγρίαν καλοῦσι. ῥωμαῖοι ἰλλέκεβραν. αἰγύπτιοι ἀνώθ. ἄφροι ἀτιρτόπουρις. τοῦτο καὶ τοῖς φύλλοις καὶ τῷ καυλῷ ἔοικεν ἀνδράχνῃ. μασχάλας ἔχει δύο παρ' ἕκαστον γόνυ τῶν φύλλων ἐμπεφυκυίας. ἀφ' ὧν κλωνία ς'. ἢ ζ'. ἀπὸ τῆς ῥίζης πλήρη φύλλων κυανοειδῶν, παχέων τε καὶ γλίσχρων καὶ σαρκωδῶν. ἄνθη μήλινα ἢ λευκά. φύεται δὲ ἐν ἀμπελῶσι καὶ τόποις ἐργασίμοις ἔαρος. θεραπεύει δὲ καταπλασσόμενα τὰ φύλλα ἐπὶ ὥρας ἓξ λεύκην. δεῖ δὲ μετὰ ταῦτα ὠμῇ λύσει χρῆσθαι. αἴρει δὲ καὶ ἀλφοὺς ἐπιχρισθέντα σὺν ὄξει ἐν ἡλίῳ. δεῖ μέντοι μετὰ τὸ ἀποξηρανθῆναι αὐτὰ ἀποπλύνειν.

τέλος.

# ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ ΠΕΡῚ ὝΛΗΣ ἸΑΤΡΙΚΗΣ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Ἐν μὲν τοῖς πρὸ τούτου βιβλίοις φίλτατε Ἄρειε πεποιήκαμεν περὶ ἀρωμάτων καὶ μύρων, καὶ ἐλαίων, καὶ δένδρων, καὶ τῶν ἀπ' αὐτῶν καρπῶν τε καὶ δακρύων. ἔτι τε ζώων καὶ σιτηρῶν καὶ λαχάνων, καὶ τῶν δριμύτητα κεκτημένων βοτανῶν. ἐν δὲ τούτῳ τρίτῳ ὑπάρχοντι, περὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων. συμφύλλων τε καὶ φαρμακωδῶν ἐπελευσόμεθα.

Περὶ ἀγαρικοῦ. τλζ'.

Ἀγαρικόν. ῥίζα φέρεται σιλφίῳ ἐμφερής. οὐ πυκνὴ τὴν ἐπιφάνειαν ὥσπερ τὸ σίλφιον. ἀραιὰ δὲ ἐστὶν ὅλη. ἔστι δὲ τὸ μὲν, αὐτοῦ ἄρρεν. τὸ δὲ, θῆλυ. ὧν διαφέρει τὸ θῆλυ ἔχει κατὰ βάθους εὐθείας ἴνας. τὸ δὲ ἄρρεν περιφερές ἐστι καὶ πανταχόθεν συμφυές. γεύσει δὲ ἀμφότερα ὅμοια κατ' ἀρχὰς μὲν γλυκάζοντα, εἶτα δὲ ἐν ἀναδόσει ἔμπικρα. γίνεται δὲ ἐν τῇ ἀγαρίᾳ τῆς σαρματικῆς. λέγουσι δὲ οἱ μὲν, φυτοῦ ῥίζαν εἶναι. τινὲς δὲ ἐν τοῖς στελέχεσι τῶν δένδρων κατὰ σῆψιν γεννᾶσθαι ὡσπερεὶ μύκητας. γεννᾶται δὲ καὶ ἐν τῇ κατὰ τὴν γαλατίαν καὶ κιλικίαν ἐπὶ τῶν κέδρων. εὔθρυπτον μέντοι καὶ ἀσθενές. τὴν μέντοι δύναμιν ἐστὶ στυπτικὸν καὶ θερμαστικὸν ποιοῦν πρός τε στρόφους καὶ ὠμότητας. ῥήγματά τε καὶ πτώματα. ὀβολῶν δὲ δυοῖν πλῆθος διδόμενον μετ' οἰνομέλιτος ἀπυρέτοις. πυρέσσουσι δὲ ἐν μελικράτῳ. καὶ ἡπατικοῖς δὲ καὶ ἀσθματικοῖς. καὶ ἰκτεριῶσι καὶ δυσεντερικοῖς καὶ νεφριτικοῖς καὶ δυσουροῦσι. καὶ ὑστερικαῖς πνιξὶ καὶ κακοχρόοις < α' διδόμενον. φθισικοῖς δὲ μετὰ γλυκέος. σπληνικοῖς δὲ μετ' ὀξυμέλιτος. καὶ στομαχικοῖς ὡς ἔστι διαμασώμενον καὶ καταπινόμενον. μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. ὁμοίως δὲ καὶ ὀξυρεγμιῶσιν. ἵστησι δὲ καὶ αἵματος ἀναγωγάς, ὁλκῆς τριωβόλου μεθ' ὕδατος λαμβανόμενον. ποιεῖ καὶ πρὸς ἰσχίων καὶ ἄρθρων ἀλγήματα. καὶ ἐπιληψίας μετ' ὀξυμέλιτος λαμβανόμενον τὸ ἴσον πλῆθος. ἄγει δὲ καὶ ἔμμηνα. καὶ ταῖς ἐμπνευματουμέναις ὑστέραις γυναιξὶν, ὠφελίμως

τὸ ἴσον

τρίσιν δίδοται. λύει δὲ καὶ ῥίγος πρὸ τῆς ἐπισημασίας διδόμενον. καθαίρει δὲ καὶ κοι-
λίας < α΄ ἢ β΄ μετὰ μελικράτου πινόμενον. ἔστι δὲ καὶ θανασίμων ἀντίδοτον μετὰ
κράματος < μιᾶς ὁλκῇ λαμβανόμενον. καὶ πρὸς ἑρπετῶν δὲ πληγὰς καὶ δήγμα-
τα, ὁλκὴ τριωβόλου μετ' οἴνου πινόμενον πάνυ βοηθεῖ. καὶ καθόλου πρὸς τὰ ἐντὸς
πάντα πάθη ἁρμόζει, πρὸς δύναμιν καὶ ἡλικίαν διδόμενον, οἷς μὲν μεθ' ὕδατος·
οἷς δὲ μετ' οἴνου. οἷς δὲ μετ' ὀξυμέλιτος ἢ μελικράτου.

### Περὶ ῥᾶ. τλη.

Ῥᾶ. οἱ δὲ, ῥέον· οἱ δὲ, ῥίαν καλοῦσι· ῥωμαῖοι ῥᾶ ποντικούμ. γεννᾶται ἐν τοῖς ὑπὲρ Βόσπορον
τόποις· ὅθεν καὶ κομίζεται. ῥίζα μέλαινα, κενταυρίῳ τῷ μεγάλῳ ἐοικυῖα. μικροτέ-
ρα μέντοι καὶ ἐνερευθεστέρα. ἄοσμος. χαύνη. ὑπόκουφος. ἔστι δὲ αὐτοῦ κράτιστον τὸ ἀ-
τερηδόνιστον. ἔγγλισχρόν τι κατὰ τὴν γεῦσιν μετὰ ἀσθενείας στύψεως. διαμασώμενόν
τε οἰνωχροῦν τε κροκίζον ποσῶς τῷ χρώματι. πινόμενον πρὸς ἐμπνευματώσεις
στομάχου· ἀτονίας. ἄλγημα παντοῖον. σπάσματα. σπληνικούς. ἡπατικούς. νεφριτι-
κούς. στροφουμένους. καὶ τὰ περὶ κύστιν καὶ θώρακα. καὶ ὑποχονδρίων ἐντάσεις· καὶ
τὰ περὶ ὑστέραν πάθη. ἰσχιάδας. αἵματος ἀναπτύσεις. ἄσθματα. λυγμούς. δυσεντερίας.
κοιλιακὰς διαθέσεις. καὶ περιοδικοὺς καὶ θηρίων δήγματα. δίδοται δὲ ὁμοίως τῷ ἀγαρι-
κῷ πρὸς ἕκαστον πάθος· τῇ αὐτῇ ὁλκῇ καὶ ὑγροῖς χρώμενος. μετ' οἰνομέλιτος μὲν ἀ-
πυρέτοις. πυρέσσουσι δὲ μετὰ μελικράτου. φθισικοῖς μετὰ γλυκέος. σπληνικοῖς με-
τ' ὀξυμέλιτος. στομαχικοῖς ὡς ἔστι διαμασώμενον καὶ καταπινόμενον. μηδενὸς ὑγροῦ
ἐπιρροφουμένου. αἴρει δὲ καὶ πελιώματα καὶ λειχῆνας μετ' ὄξους καταχρισθέν. καὶ
φλεγμονὰς πάσας διαχεῖ χρονίας σὺν ὕδατι καταπλασσόμενον. ἡ δὲ ἀνωτάτω αὐ-
τοῦ δύναμις, στυπτικὴ μετὰ ποσῆς θερμασίας.

### Περὶ γεντιανῆς. τλθ.

Γεντιανή. οἱ δὲ, κενταύρειος ῥίζα. οἱ δὲ, ἀλόη γαλλική. οἱ δὲ, ναρκή. οἱ δὲ, χειρώνιον, δάρ-
δανοι ἀλοῖτις. ῥωμαῖοι γενοῦς. οἱ δὲ, κικενδία. οἱ δὲ, κιμινταλίς. δοκεῖ μὲν ὑπὸ πρώτου
εὑρεθῆναι γεντίου τοῦ ἰλλυριῶν βασιλέως. ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχηκεν. ἔχει τὰ
φύλλα τὰ μὲν πρὸς τῇ ῥίζῃ καρύας ἢ ἀρνογλώσσῳ ὅμοια. ὑπέρυθρα. τὰ δὲ ἐν μέσῳ τοῦ
καυλοῦ. καὶ μάλιστα τὰ κατὰ τὴν κορυφὴν ἐσχισμένα, μικρῶς. καυλὸς δὲ κενός. λεῖος. πάχος
δακτύλου. τὸ δὲ ὕψος δίπηχυς. γόνασι διειλημμένος. ἐκ διαστημάτων μειζόνων περικεί-
μενος τὰ φύλλα. καρπὸν δὲ ἔχων ἐν κάλυξι πλατύν. κοῦφον. ἀχυρώδη. προσεοικότα τῷ τοῦ
σφονδυλίου. ῥίζαν μακράν. ὁμοίαν ἀριστολοχίᾳ τῇ μακρᾷ. παχεῖαν. πικράν. γεννᾶ-
ται δὲ ἐν ὑψηλοτάταις ἀκρωρείαις. καὶ συσκίοις τόποις καὶ ἐνύδροις. δύναμιν δὲ ἔχει
ἡ ῥίζα θερμαντικήν. στυπτικήν. βοηθεῖ δὲ θηριοδήκτοις ποτιζομένη < β΄ τὸ πλῆθος.
μετὰ πεπέρεως καὶ πηγάνου καὶ οἴνου. τοῦ δὲ χυλίσματος ὅσον < α΄. καὶ πρὸς ὀδύνας
πλευρῶν καὶ πτώματα. ῥήγματά τε καὶ σπάσματα. ἁρμόζει καὶ ἡπατικοῖς καὶ στομα-
χικοῖς πινομένη μεθ' ὕδατος. ἐκβάλλει δὲ ἔμβρυα ἡ ῥίζα ὡς κολλύριον προστιθεμένη.
ἔστι δὲ καὶ τραυματικὴ ἐπιτεμνομένη ὡς τὸ λύκιον, ὑπονόμων τε ἑλκῶν ἴαμα. καὶ μάλιστα τὸ χύ-
λισμα. καὶ ὀφθαλμῶν ἐπίχρισμα φλεγμαινόντων. μίσγεται δὲ καὶ εἰς τὰ δριμέα τῶν κολ-
λυρίων τὸ χύλισμα ἀντὶ μηκωνίου. ἔστι δὲ καὶ ἀλφῶν σμηκτικὴ ἡ ῥίζα. χυλίζεται δὲ

θλασθεῖσαι καὶ βραχεῖσαι ἐν ὕδατι ἐπὶ ἡμέρας ι. εἶτα ἑψηθεῖσαι ἐν τῷ ὕδατι, ἄχρις ἂν ὑπερέχωσιν αἱ ῥίζαι, καὶ μετὰ τὸ ψυχῆναι τὸ ὕδωρ διηθεῖται διὰ ὀθονίου. καὶ ἕψεται ἄχρις ἂν γένηται μελιτώδης τῇ συστάσει. καὶ ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ.

### Περὶ ἀριστολοχίας στρογγύλης. ν'.

Ἀριστολοχία στρογγύλη. ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν ἄριστα βοηθεῖν ταῖς λοχοῖς. ἔστι δὲ ἡ μὲν στρογγύλη, θήλεια καλουμένη. φύλλα δ᾽ ἔχει κισσοειδῆ εὐώδη μετὰ δριμύτητος. ὑποστρόγγυλα ἁπαλά. παρὰ πολλοῖς βλαστοῖς ἐν μιᾷ ῥίζῃ. τὰ δὲ κλήματα ἐπιμήκη. ἄνθη λευκά. οἱονεὶ πιλίσκους. τὸ δὲ ἐν αὐτοῖς ἐρυθρὸν δυσῶδες.

### Περὶ ἀριστολοχίας μακρᾶς. να'.

Ἡ δὲ μακρὰ ἀριστολοχία ἄρρεν καλεῖται καὶ δακτυλῖτις. οἱ δὲ, μηλόκαρπον. οἱ δὲ ἰούξενον. ῥωμαῖοι ἤρβα ἀριστολόχια. φύλλα ἔχουσα ὑπομηκέστερα τῆς στρογγύλης. κλωνία λεπτὰ ὡς σπιθαμῆς τὸ μέγεθος, ἄνθος πορφυροῦν, δυσῶδες, ὃ παρανθῆσαν ἀπίῳ παραπλήσιον γίνεται. ῥίζα δὲ τῆς μὲν στρογγύλης περιφερής, γογγυλίδι ὁμοία. ἡ δὲ τῆς μακρᾶς δακτύλου τὸ πάχος σπιθαμιαία ἢ καὶ μείζων. ἀμφότεραι δὲ τὰ ἄλλα πυξοειδεῖς ἔνδοθεν. πικραί τε τὴν γεῦσιν καὶ βρωμώδεις. ἔστι δέ τις καὶ τρίτη μακρά. ἥ τις καὶ κληματῖτις καλεῖται. κλωνία ἔχουσα λεπτά. φύλλοις ὑποστρογγύλοις ἀειζώου μικροῦ ἐοικόσι. περίπλεα ἄνθη ἐοικότα τῷ πηγάνῳ. ῥίζας μακροτέρας λεπτάς. φλοιὸν ἐχούσας παχὺν καὶ ἀρωματίζοντα. ἰδίως χρησιμευούσας μυρεψοῖς εἰς τὰς τῶν μύρων στύψεις. ποιεῖ δὲ πρὸς μὲν τὰ ἄλλα φάρμακα ἡ στρογγύλη. πρὸς δὲ τὰ ἑρπετὰ καὶ θανάσιμα ἡ μακρά. < ὁλκὴ πινομένη μετ᾽ οἴνου καὶ καταπλαττομένη. καὶ τὰ ἐν μήτρᾳ συνιστάμενα πάντα λόχια καὶ ἔμμηνα καὶ ἔμβρυα ἐκβάλλει. ποθεῖσα μετὰ πεπέρεως καὶ σμύρνης. τὸ ἐν πεσσῷ δὲ προστεθεῖσα τὰ αὐτὰ δρᾷ. ἡ δὲ στρογγύλη ποιεῖ μὲν πρὸς ἃ καὶ ἡ προειρημένη. ἐκ περισσοῦ δὲ βοηθεῖ ἄσθματι. λυγμῷ. ῥίγει. σπληνί. ῥήγμασι. σπάσμασιν. ἀλγήμασι πλευρᾶς ποθεῖσα μεθ᾽ ὕδατος. ἀνάγει δὲ καὶ σκόλοπας. ἀκίδας. λεπίδας ὀστῶν καταπλασσομένη ἀφίστησι. καὶ σηπεδόνας περιχαράσσει καὶ τὰ ῥυπαρὰ ἐκκαθαίρει ἕλκη. καὶ τὰ κοῖλα πληροῖ σὺν ἴρει δὲ καὶ μέλιτι. σμήχει δὲ οὖλα καὶ ὀδόντας. δοκεῖ δὲ καὶ ἡ κληματῖτις πρὸς τὰ αὐτὰ ποιεῖν. ἐλαττοῦται μέντοι τῇ δυνάμει τῶν προειρημένων. Καλεῖται δὲ αὕτη ἀραρίζα καὶ μελανία. προφῆται ἐφέστιος. καὶ λεῦτις. πυξίονυξ. τὸ δάρδαν. αἰοντῖτις. γάλλοι δὲ καλοῦσιν αὐτὴν θέξιμον. αἰγύπτιοι δὲ σφοιφ. σικελοὶ δὲ χαμαίμηλον. ἰταλοὶ τέρραε μάλα. δακοὶ ἀψένθιον χωρικόν. γίνεται εἰς τόπους ὀρεινοὺς καὶ θερμοὺς καὶ ὁμαλοὺς ἢ τραχεῖς καὶ πετρώδεις. ποιεῖ δὲ πρὸς πυρετὸν βαρὺν οὕτως. ἀριστολοχία ἐπὶ θρακῶν ὑποκάπνισον τοὺς πυρέσσοντας. καὶ παυθήσεται ὁ πυρετός. τραύματα ἐπιπλασσομένη ἰᾶται. μετὰ δὲ κυπείρου καὶ δρακοντίου σπέρματος καὶ μέλιτος, τοῖς ἐν ῥινὶ καρκινώμασι βοηθεῖ. μετ᾽ ἐλαίου δὲ ἢ νέου στέατος ἑψηθεῖσα, ῥίγη συγχριομένη θεραπεύει.

### Περὶ γλυκυρρίζης. νβ'.

Γλυκύρριζα. οἱ δὲ, ποντική. οἱ δὲ γλυκύρατον. οἱ δὲ, σύμφυτον. οἱ δὲ, λεοντίκα. οἱ δὲ, γλυκύφυτον. οἱ δὲ, σκύθιον, οἱ δὲ ἄδιψον, οἱ δὲ, συλίθρα, οἱ δὲ, λιβυστικόν, οἱ δὲ, ὁμοιονόμοιος, οἱ δὲ, πενθιμόμοιος, ῥωμαῖοι δούλκις ῥάδιξ. γεννᾶται πλείστη ἐν Καππαδοκίᾳ καὶ Πόντῳ. ἔστι δὲ θαμνίσκος, ῥάβδους ἔχων δύο πήχεις, περὶ οὓς τὰ φύλλα πυκνὰ ἐοικότα

τα σχίνω

τα σχίνῳ. λιπαρὰ δὲ κολλώδη ἁψαμένῳ. τὸ δὲ ἄνθος ὑακίνθῳ ὅμοιον. καρπὸς δὲ πλατάνου σφαιρίων μέγεθος βραχύτερος. λοβοὺς ἔχων ὡς φακούς. πυῤῥούς. μικρούς. ῥίζαι μακραί. πυξοειδεῖς ὡς γεντιανῆς. ὑπόστρυφνοι. γλυκεῖαι. χυλίζονται ὡς τὸ γλυκεῖον. ποιεῖ δὲ τὸ χύλισμα πρὸς τραχύτητας ἀρτηρίας. δεῖ δὲ ὑποτιθέντας τῇ γλώττῃ, ἀποχυλίζειν. ἁρμόζει δὲ καὶ πρὸς καῦσιν στομάχου. καὶ πρὸς τὰ ἐν θώρακι καὶ ἥπατι. ψωριάσεις τε κύστεως καὶ νεφριτικοὺς πινόμενον μετὰ γλυκέως. ἄδιψόν τέ ἐστιν ἀποχυλιζόμενον. καὶ τραυματικὸν περιχριόμενον. καὶ στομαχικὸν διαμασσώμενον. καὶ τὸ ἀφέψημα δὲ τῶν ῥιζῶν προσφάτως πρὸς τὰ αὐτὰ ἁρμόζει. ἡ δὲ ῥίζα ξηρὰ λεία τριβεῖσα, πτερυγίοις καταπλαστὸς ἐστὶν ἐπιτήδειος.

## Περὶ κενταυρίου τοῦ μεγάλου. νγ'.

Κενταύριον τὸ μέγα. οἱ δὲ, ναρκὴν καλοῦσιν. οἱ δὲ, λιμνήσιον. οἱ δὲ, μαρώνιον. οἱ δὲ πληκτρονίας. οἱ δὲ χειρωνιάς. οἱ δὲ, λίμνησις. προφῆται αἷμα ἡρακλέους. ῥωμαῖοι φελλέρα. οἱ δὲ οὐνεφίρα. οἱ δὲ, φελτερραί. φύλλα ἔχει καρύᾳ βασιλικῇ ὅμοια. προμήκη. χρώματι χλωρὰ ὡς κράμβης. τὸ δὲ περιφερὲς αὐτῶν ἐντετμημένα ὥσπερ πριόνων. καυλὸν δὲ ἔχει ὡς λαπάθου διπήχων ἢ καὶ τριπήχων. παραφυάδας ἀπὸ τῆς ῥίζης ἔχοντα πολλάς. ἐφ' ὧν κεφαλαὶ ὅμοιαι μήκωνι. ὑπομήκεις ἐν τῷ περιφερεῖ. ἄνθος κυανίζον. καρπὸς δὲ ὅμοιος κνίκῳ. ἐγκείμενος ὥσπερ ἐν ἐριώδεσι. ῥίζα, παχεῖα. στεῤῥά. βαρεῖα. περὶ πήχεις δύο. μεστὴ χυλοῦ. δριμεῖα μετὰ ποσῆς στύψεως καὶ γλυκύτητος. ὑπέρυθρος. φιλεῖ δὲ λιπαρὰν γῆν. εὐήλιον. καὶ δρυμούς, καὶ γήλοφα. πλεονάζει δὲ ἐν λυκίᾳ καὶ πελοποννήσῳ. ἐν ἤλιδι καὶ ἀρκαδίᾳ καὶ μεσσήνῃ. καὶ περὶ φολόην καὶ λύκαιον καὶ σμύρνην. ἁρμόζει δὲ ἡ ῥίζα, ῥήγμασι. σπάσμασι. πλευριτικοῖς. δυσπνοίᾳ. βηχὶ παλαιᾷ. αἱμοπτοϊκοῖς ἀπυρέτοις μετ' οἴνου. πυρέσσουσι δὲ μεθ' ὕδατος < β' τῆς ῥίζης λείας διδομένης. πρὸς στρόφους ὁμοίως καὶ ὑστέρας ἀλγήματα. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα εἰς σχῆμα κολλυρίου ξυσθεῖσα καὶ προστεθεῖσα τῇ ὑστέρᾳ. ὅ, τι χυλὸς τὰ αὐτὰ ποιεῖ. ἔστι δὲ καὶ τραυματική. ὑγρὰ μὲν κοπεῖσα ξηρὰ δὲ προβραχεῖσα καὶ οὕτω κοπεῖσα. συνάγει γὰρ καὶ κολλᾷ. καὶ τὰ ἑψόμενα δὲ κρέα συνάγει. ἐάν τις αὐτὴν κόψας συνεψήσῃ. οἱ δὲ ἐν λυκίᾳ αὐτὴν χυλίζοντες, χρῶνται αὐτῷ ἀντὶ λυκίου. καλεῖται δὲ πανάκεια, ἐπειδὴ πάντα τὰ φλεγμαίνοντα πάσχειν παύει. πολυφάρμακος οὖσα. ἐκ κρούσματα πληγῶν. στραγγουρίας τε παύει ἐν σπάσμασι καὶ λιθιῶντας. συνάγεται δὲ τοῦ ἡλίου μέλλοντος ἀνατέλλειν. ὡραία ἐστὶν ὅτε πληροῦνται ἅπαντα.

## Περὶ κενταυρίου τοῦ μικροῦ. νδ'.

Κενταύριον τὸ μικρόν. οἱ δὲ, λιμνήσιον. οἱ δὲ, ἐλλεβορίτης. οἱ δὲ, ἀμάραντον. προφῆται αἷμα ἡρακλέους. ῥωμαῖοι φελριφουγάμ. οἱ δὲ αὐραμουλπραδίξ. δακοὶ τυλβυλά. τινὲς δὲ λιμνήσιον αὐτὸ καλοῦσιν. ἐπειδὴ ἐνίκμοις φιλεῖ τόποις. πόα ὑπερικῷ ἢ ὀριγάνῳ παραπλήσιος ἐστί. καυλὸν ἔχουσα ὑπὲρ σπιθαμὴν γωνιώδη. ἄνθη ἐν τῷ φοινικῷ ὑποπόρφυρα πρὸς τὰ τῆς λυχνίδος. φύλλα μικρὰ ὑπομήκη ὥσπερ πηγάνου. καρπὸς ὅμοιος πυρῷ. ῥίζα μικρὰ ἄχρηστος λεία. γευομένῳ δὲ ἐμποιεῖ πικρίαν. αὕτη κοπτομένη χλωρὰ καὶ καταπλασσομένη, τραυμάτων ἐστὶ κολλητι-

κή· ἀναπαυστικὴ ἑλκῶν παλαιῶν καὶ ἀπουλωτική· ἀφεψηθεῖσα δὲ καὶ καταπινομένη, ἄγει κατὰ κοιλίαν χολώδη καὶ πολλά. ἐγκλυσμάτι τὸ ἀφέψημα αὐτῆς ἐπὶ τῶν ἰσχιαδικῶν ἁρμόδιον. ἄγον αἷμα καὶ κουφίζον. ὁ δὲ χυλὸς πρός τε τὰ ὀφθαλμικὰ εὔχρηστος. ἀποκαθαίρων τὰ ἐπισκοτοῦντα ταῖς κόραις σὺν μέλιτι· καὶ ἐν προσθέτῳ ἐμμήνων ἀγωγὸς καὶ ἐμβρύων. ποθεὶς δὲ ἁρμόζει τοῖς περὶ τὰ νεῦρα πάθεσιν ἰδίως. χυλίζεται δὲ ἡ πόα συλλεγομένη ἐγκύμων οὖσα σπέρματος· καὶ ἀποβρεχομένη ἡμέρας ε. εἶτα ἕψεται ἄχρις οὗ ὑπερέχῃ τὸ ὕδωρ. ἔπειτα τούτου ψυχθέντος, χυλίζεται διὰ ὀθονίου ῥιφθείσης τῆς πόας καὶ πάλιν ἕψεται μέχρι μελιτώδους συστάσεως. ἔνιοι δὲ χλωρὰν ἐγκύμονα αὐτὴν κόψαντες, ἐκθλίβουσι τὸν χυλὸν καὶ βαλόντες εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον, ἐν ἡλίῳ συστρέφουσι κινοῦντες ἀεὶ ξύλῳ. καὶ τὸ περιπεπηγμένον ἀεὶ ξύοντες καὶ τῷ ὑγρῷ μίσγοντες· σκεπάζοντές τε νυκτὸς ἐπιμελῶς. ἡ γὰρ δρόσος κωλυτικὴ ἐπὶ τῶν ὑγρῶν χυλῶν συστάσεως καθέστηκεν. ὅσα μὲν οὖν ἐκ ξηρῶν τῶν ῥιζῶν ἢ τῶν βοτανῶν ἐγχυλίζεται, ἑψόμενα σκευάζεται. ὡς ἡ γεντιανή. ὅσα δὲ ἐκ φλοιῶν ὑγρῶν ἢ ῥιζῶν ἢ βοτανῶν ἐκθλιβομένων ἐν ἡλίῳ, συστρέφονται ὡς προείρηται. οὕτω καὶ ἡ θαψία καὶ μανδραγόρα καὶ ὄμφαξ. καὶ τὰ ὅμοια τούτοις χυλίζεται. λύκιον μέντοι καὶ ἀψίνθιον καὶ ὑποκιστὶς καὶ τὰ ὅμοια τούτοις ἑψόμενα, συστρέφονται ὃν τρόπον προείρηται.

## Περὶ χαμαιλέοντος λευκοῦ. υέ.

Χαμαιλέων λευκός. οἱ δὲ χρυσίσκηπτρον. οἱ δὲ, ἰξίαν. ῥωμαῖοι κάρδουμ οὐαρίνουμ. αἰγύπτιοι ἐφύρ. οἱ δὲ, ἐφθεὸς χαν. ἰξίαν τοῦτον ἐκάλεσαν, διὰ τὸ ἐν τόποις τισὶν ἰξὸν εὑρίσκεσθαι πρὸς ταῖς ῥίζαις αὐτοῦ. ᾧ καὶ ἀντὶ μαστίχης χρῶνται αἱ γυναῖκες. ἔχει φύλλα ὅμοια σιλύβῳ ἢ σκολύμῳ· τραχύτερα δὲ καὶ ὀξύτερα καὶ ἰσχυρότερα τοῦ μέλανος. καυλὸν δὲ οὐκ ἔχει. ἀναφύει ἐκ τοῦ μέσου ἄκανθαν. ὁμοίαν ἐχίνῳ θαλασσίῳ ἢ κινάρᾳ. αὕτη δὲ πορφυροειδὴς ὥσπερ τρίχας ἐκπετουμένας. καρπὸν δὲ κνίκῳ παραπλήσιον. ῥίζαν δὲ μὲν τοῖς εὐγείοις γεωλόφοις παχεῖαν. ἐν δὲ τοῖς ὀρεινοῖς ἰσχνοτέραν. λευκὴν διὰ βάθους· ὑποβρωματίζουσαν. βαρύοσμον. γλυκεῖαν. ἥτις ποθεῖσα ὀξυβάφου πλῆθος, ἄγει ἕλμινθας πλατείας· λαμβάνεται δὲ σὺν οἴνῳ αὐστηρῷ μετὰ ὀριγάνου ἀφεψήματος. καὶ ὑδρωπικοῖς δὲ ἐπιτηδείως δίδοται ὁλκὴ σὺν οἴνῳ· ἰσχναίνει γὰρ αὐτούς. καὶ πρὸς δυσουρίαν τὸ ἀφέψημα αὐτῆς πίνεται. ἔστι δὲ καὶ θηριακὴ σὺν οἴνῳ ποθεῖσα. ἀποκτείνει καὶ κύνας καὶ ὗς. καὶ μύας σὺν ἀλφίτῳ πεφυραμένη. καὶ ὕδατι καὶ ἐλαίῳ διεθεῖσα.

## Περὶ χαμαιλέοντος μέλανος. υϛ́.

Χαμαιλέων μέλας. οἱ δὲ, πάγκαρπον. οἱ δὲ, οὐλόφονον. οἱ δὲ, ἰξίαν. οἱ δὲ κυνόμαζον. οἱ δὲ ὠκιμοειδές. οἱ δὲ, κνίδιον κόκκον. οἱ δὲ, κυνόξυλον. ῥωμαῖοι κάρδους νίγρα. οἱ δὲ, οὐφιλαγώ. αἰγύπτιοι σεβέλ. καὶ αὐτὸς τοῖς φύλλοις σκολύμῳ ἔοικεν. ἐλάττονα μέντοι καὶ λεπτότερα καὶ διέρυθρα ἔχει ταῦτα. καυλὸν δὲ ἀνίησι δακτύλου τὸ πάχος· σπιθαμιαῖον. ὑπέρυθρον· ἔχον σκιάδιον καὶ αὐτὸ ἀκανθώδη λεπτά. ὑακινθίζοντα ποικίλα. ῥίζα δὲ παχεῖα. μέλαινα. πυκνή. ἐνίοτε δὲ καὶ βεβρωμένη. θλασθεῖσα δὲ ὑπόξανθος. διαμασσηθεῖσα δηκτική. φύεται δὲ ἐν πεδίοις ξηροῖς καὶ βουνώδεσι τόποις καὶ παραθαλασσίοις. δύναται δὲ ἡ ῥίζα λεία μιγεῖσα αὐτῇ χαλκάνθου ὀλίγου καὶ κε-

δρίνου

κεδρίνου ἐλαίου καὶ ἀξουγγίου ψώρας ἐξάγει. σμήχει δὲ καὶ λειχῆνας θείου καὶ ἀσφάλτου προσλαβοῦσα. καὶ συνεψηθεῖσα ὄξει καὶ καταχρισθεῖσα. διακλυζόμενον δὲ τὸ ἀφέψημα αὐτῆς ὀδονταλγίας παύει. μετὰ πεπέρεως καὶ κηροῦ περιπλασσομένη τοῖς ἀλγοῦσιν ὀδοῦσι βοηθεῖ. καὶ πυροῦνται δὲ δι' αὐτῆς οἱ ὀδόντες, καθεψηθείσης σὺν ὄξει καὶ κατα[illegible]θείσης. προσαγομένη τε διὰ γραφείου θερμὴ τῷ ἀλγοῦντι ὀδόντι, θρύπτει αὐτόν. ἔφηλιν δὲ ἀποκαθαίρει καὶ ἀλφοὺς μετὰ θείου. μίσγεται δὲ ταῖς δυνάμεσι ταῖς σηπτικαῖς. καὶ τὰ φαγεδαινικὰ ἕλκη καὶ τὰ τεθηριωμένα καταπλασθεῖσα, ἀνασκευάζουσα θεραπεύει. ὠνόμασται δὲ χαμαιλέων, διὰ τὸ ποικίλον τῶν φύλλων. εὑρίσκεται γὰρ ἢ λίαν χλωρὰ τὰ τοιαῦτα, ἢ ὑπόλευκα, ἢ κυανοειδῆ, ἢ ἐρυθρά. παρὰ τὰς τῶν τόπων διαφοράς.

### Περὶ κροκοδειλίου. κε. νζ.

Κροκοδείλιον. ὅμοιόν ἐστι τῷ μέλανι χαμαιλέοντι. φύεται δὲ ἐν τόποις δρυμώδεσι. ῥίζαν ἔχον μακράν. ἐλαφράν. ὑπόπλατυν. ὀσμὴν δριμεῖαν, ὁμοίως καρδάμῳ. ἰσχὺς δὲ ἡ ῥίζα ζεσθεῖσα ἐν ὕδατι καὶ πινομένη, ἄγει πολὺ αἷμα διὰ ῥωθώνων. δίδοται δὲ καὶ σπληνικοῖς ἐναργῶς ὠφελοῦσα. καὶ τὸ σπέρμα αὐτῆς, διουρητικῆς ὑπάρχει δυνάμεως. περιφερὲς ὂν καὶ διπλοῦν ὡς ἀσπίς.

### Περὶ διψάκου. κε. νη.

Δίψακον. οἱ δὲ κροκοδείλιον. οἱ δὲ, χαμαιλέων. οἱ δὲ, ὀνοπάρδιον. οἱ δὲ, ἀφροδίτης λουτρόν. ῥωμαῖοι λάβρουμ βένερις. οἱ δὲ, κάρδουμ βένερις. αἰγύπτιοι ἀσεντίρ. οἱ δὲ, χείρ. οἱ δὲ μελίττα. δακοὶ σκιαρή. τῶν ἀκανθωδῶν ἐστὶ καὶ αὐτή. καυλὸν δὲ ἔχει ὑψηλόν. ἀκανθώδη. καὶ φύλλα περιειληφότα τὸν καυλόν. ἐμφερῆ θρίδακι. δύο καθ' ἕκαστον γόνυ. προμήκη. ἀκανθώδη καὶ αὐτά. ὥσπερ τινὰς πομφόλυγας ἐπὶ μέσης τῆς ῥάχεως, ἔσωθέν τε καὶ ἔξωθεν ἔχοντα ἀκανθώδεις. κοῖλα δὲ περὶ τὰ δύο μέρη τῶν φύλλων ὥστε ὕδατα ἀπὸ τῶν δρόσων καὶ τῶν ὄμβρων φυλάττειν. ὅθεν καὶ τὸ ὄνομα εἴληχεν. ἐπ' ἄκρου δὲ τοῦ καυλοῦ καθ' ἑκάστην ἀπόφυσιν, κεφαλὴ μία ἐοικυῖα ἐχίνῳ. ὑπομήκης. ἀκανθώδης. ξηρανθεῖσα δὲ λευκὴ φαίνεται. ἔχει δὲ καὶ σκωλήκια κατὰ μέσην τὴν ἐντεριώνην διαιρεθεῖσα ἡ κεφαλή. ἡ ῥίζα δὲ ταύτης σὺν οἴνῳ ἀφεψηθεῖσα, καὶ κοπεῖσα, κηρωτῆς λαβούσης πάχος, τὰς ἐν δακτυλίῳ ῥαγάδας καὶ σύριγγας ἐντιθεμένη θεραπεύει. ἀποτίθεσθαι δὲ δεῖ τὸ φάρμακον εἰς χαλκῆν πυξίδα. φασὶ δὲ καὶ μυρμηκίας αὐτὸ καὶ ἀκροχορδόνας ἰᾶσθαι. οἱ δὲ τῆς κεφαλῆς σκώληκες εἰς κυστίδα ἐνδούμενοι καὶ περιαπτόμενοι τραχήλῳ ἢ βραχίονι, ἱστοροῦνται τεταρταϊκοὺς θεραπεύειν.

### Περὶ ἀκάνθης λευκῆς. κε. νθ.

Ἄκανθα λευκή. οἱ δὲ, ἀγριοκινάρα. οἱ δὲ, δονακῖτις. οἱ δὲ ἐρισίσκηπτρον. ῥωμαῖοι σπίνα ἄλβα. οἱ δὲ ῥῆγχ. οἱ δὲ, κάρδους ῥαμπτάρια. φύεται ἐν ὄρεσι καὶ ὑλώδεσι τόποις. φύλλα χαμαιλέοντι λευκῷ ἐμφερῆ. στενώτερα δὲ καὶ λευκότερα, ὑπόδασέα. ἀκανθώδη. καυλὸν ὑπὲρ δύο πήχεις. δακτύλου τοῦ μεγάλου ἢ καὶ μείζονος πάχος. ὑπόλευκον κενὸν ἔνδοθεν. ἐπ' ἄκρου δὲ αὐτοῦ κεφαλὴ πρόσεστιν ἀκανθώδης. ἐχίνῳ θαλασσίῳ ἐμφερής. πλὴν ἐλάσσων καὶ ὑπομήκης. ἄνθη πορφυρᾶ. ἐν οἷς τὸ σπέρμα ὡς κνίκος. στρογγυλώτερον δέ. ταύτης ἡ ῥίζα πινομένη, ποιεῖ πρὸς αἱμοπτοϊκούς. στομαχικούς. κοιλιακούς. οὐρά τε κινεῖ. καταπλάσσεταί τε πρὸς οἰδήματα. καὶ τὸ ἀφέψη

μα δὲ αὐτῆς πρὸς ὀδονταλγίαν ποιεῖ διακλυζόμενον. τὸ δὲ σπέρμα πινόμενον, παισὶ δὲ οἷς σπωμένοις βοηθεῖ. καὶ ἑρπετοδήκτοις. φασὶ δὲ ὅτι περίαπτον ἐξ αὐτοῦ θηρία διώκει.

Περὶ ἀκάνθης ἀραβικῆς. κεφ. υιʹ.

Ἄκανθα ἀραβική· οἱ δὲ ἄκανθις. ῥωμαῖοι σπίνα. ἔοικε μὲν τὴν φύσιν εἶναι δοκεῖ τῇ λευκῇ ἀκάνθῃ. στύφουσα. καὶ πρὸς ῥοῦν γυναικεῖον καὶ πρὸς ἀναγωγὴν αἵματος καὶ πρὸς τοὺς ἄλλους ῥευματισμοὺς ἡ ῥίζα, παραπλησίως εὐθετεῖ. φύεται ἐν τραχώδεσι τόποις.

Περὶ σκολύμου. κεφ. υιαʹ.

Σκόλυμος. οἱ δὲ, φέρουσα· οἱ δὲ, πυράκανθα. ῥωμαῖοι σουβουλουμ. αἰγύπτιοι κνούς. φύλλα ἔχει χαμαιλέοντος καὶ τῆς λευκῆς ἀκάνθης λεγομένης· μελάντερα δὲ καὶ παχύτερα. καυλὸν αὔξησι μακρόν. περίπλεων φύλλων. ἐφ' οὗ κεφαλὴ ἀκανθώδης. ῥίζα δὲ ὕπεστι μέλαινα. παχεῖα ἥτις δύναμις ποιεῖ πρὸς τοὺς ἔχοντας τὰς μασχάλας καὶ τὸ λοιπὸν σῶμα δυσώδες καταπλασσομένη. καὶ ἀφεψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη ἄγει δὲ οὖρα πολλὰ καὶ δυσώδη. ἡ δὲ πόα ἀρτιφυὴς οὖσα, λαχανεύεται ἑφθὴ ὡς ἡ ἀσπάραγος.

Περὶ ποτηρίου. κεφ. υιβʹ.

Ποτήριον. οἱ δὲ, φρύνιον. ἴωνες δὲ νευράδα. οἱ δὲ ἀκίδωτον καλοῦσι. θάμνος ἐστὶ μέγας. κλῶνας ἔχων μακρούς. μαλακούς. ἱμαντώδεις. λεπτούς· ἐμφερεῖς τραγακάνθῃ. φύλλα λεπτά. περιφερῆ. ὅλος δὲ ὁ θάμνος περιέχεται φλοιόν. καὶ λεπτὸν καὶ πολὺ χνοῶδες ἐριώδη. καὶ ἔστιν ἀκανθώδης. ἄνθη μικρά. λευκά. καρπὸν δὲ γευομένῳ εὐώδη τε δριμύν. ἄχρηστον. φύεται ἐν ἄλσεσι καὶ γηλόφοις χωρίοις. ῥίζαι δ' ὕπεισι πήχεων δύο ἢ τριῶν. ἰσχυραί. νευρώδεις. αἵτινες πρὸς τῇ γῇ ἀποτμηθεῖσαι, ἀνιᾶσι δάκρυον κόμμει ὅμοιον. κοπεῖσαι δὲ καὶ ἐπιπλασθεῖσαι νεύρων διακοπὰς καὶ τραύματα κολλῶσι. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς πινόμενον, ταῖς περὶ νεῦρα διαθέσεσιν ἁρμόζει.

Περὶ ἀκανθίου. κεφ. υιγʹ.

Ἀκάνθιον. ἐμφερῆ τὰ φύλλα ἔχει τῇ λευκῇ ἀκάνθῃ. ἐπ' ἄκρου δὲ ἀκανθώδεις ἐξοχάς. οὗ συλλεγομένου καὶ ὑφ' ἓν τιθεμένου, βαμβακοειδὲς γίνεται. ταύτης ἡ ῥίζα καὶ τὰ φύλλα, ὀπισθοτονικοῖς βοηθεῖ πινόμενα.

Περὶ ἀκάνθης. κεφ. υιδʹ.

Ἄκανθα· ἢ ἑρπάκανθα. οἱ δὲ, μελάμφυλλον. ῥωμαῖοι παιδέρωτα· οἱ δὲ, ἀκανθησόπια· οἱ δὲ, μαμολάρια· οἱ δὲ, κραίπουλα. φύεται ἐν παραδείσοις. καὶ ἐν πετρώδεσι καὶ ἐνύγροις χωρίοις. ἔχει δὲ πλατύτερα φύλλα πολλῷ καὶ μακρότερα θριδακίνης. ἐσχισμένα ὡς τὰ τοῦ εὐζώμου. ὑπομέλανα. λιπαρά. λεῖα. καυλὸν λεῖον. δίπηχυν. πάχος δακτύλου. ἐκ διαστήματος πρὸς τῇ κορυφῇ περιειλημμένον φυλλαρίοις τισί. οἷον ἐκ κιτταρίοις ὑπομήκεσιν. ὑακινθώδεσιν. ἐξ ὧν τὸ ἄνθος προΐεται λευκόν. σπέρμα ὑπόμηκες. μήλινον. θυρσοειδὴς δὲ ἡ κεφαλή. ῥίζαι δὲ ὕπεισι γλίσχραι. μυξώδεις. ἔμπυροι. μακραί. αἵτινες πυρικαύστοις καὶ στρέμμασιν ἁρμόζουσι καταπλασσόμεναι, πινόμεναι, δὲ οὖρα ἄγουσι καὶ κοιλίαν ἱστᾶσι. φθισικοῖς τε καὶ ῥήγμασι καὶ σπάσμασιν εὐθετοῦσιν.

Περὶ ἀγρίας ἀκάνθης. κεφ. υιεʹ.

Γίνεται δὲ καὶ ἀγρία ἄκανθα. ἣν ῥωμαῖοι σπίνα ἀγρέστις. ὁμοία σκολύμῳ. ἀκανθώδης. βραχυτέρα δὲ τῆς ἐν παραδείσῳ καὶ ἡμέρου. δύναται δὲ καὶ ἡ ταύτης ῥίζα ὅσα καὶ ἡ πρὸ αὐτῆς.

# ΤΡΙΤΟΝ.

## Περὶ ἀνωνίδος. υις'.

Ἀνωνίς. οἱ δὲ, ὀνωνίδα καλοῦσι. κλῶνες σπιθαμιαῖοι καὶ μείζονες. θαμνοειδεῖς. πολυγόνατοι. μασχάλας ἔχοντες πολλάς. κεφάλια περιφερῆ. φυλλάρια μικρά. λεπτὰ ὥσπερ φακοῦ. πρὸς τὰ τοῦ πηγάνου ἢ λωτοῦ τοῦ ἐν χορτικοῖς τόποις. ὑπόδασέα. δυσώδη. οὐκ ἀηδῶς ὄζοντα. ἁλμεύεται δὲ πρὸ τοῦ ἀκανθοφυῆσαι. καὶ ἔστιν ἡδύ. ἔχουσι δὲ οἱ κλάδοι ἀκάνθας ὀξείας. σκολοπώδεις. στερεάς. ῥίζαν δὲ λευκὴν θερμαντικήν. λεπτὴν, ἧς ὁ φλοιὸς πινόμενος σὺν οἴνῳ, οὖρα ἄγει καὶ λίθους θρύπτει. ἐσχάρας περιρρήσσει. ἀφεψηθεῖσα δὲ ἐν ὀξυκράτῳ καὶ διακλυζομένη, πόνους ὀδόντων πραΰνει. τὸ δὲ ταύτης ἀφέψημα ποιούμενον, αἱμορροΐδας θεραπεύειν πεπίστευται.

## Περὶ λευκακάνθης. υιζ'.

Λευκάκανθα. οἱ δὲ πολύγονον, οἱ δὲ φύλλον, οἱ δὲ ἰσχιάδα καλοῦσι. ῥωμαῖοι γνικάρδιος. θοῦσκοι σπίνα ἄλβα. ταύτης ἡ ῥίζα ὁμοία κυπείρῳ. πικρὰ, ἰσχυρά. ἥτις μασηθεῖσα, ὀδονταλγίας παραμυθεῖται. τὸ δὲ ἀπόζεμα αὐτῆς σὺν οἴνῳ κυάθων τριῶν ποθὲν, βοηθεῖ πλευριτικοῖς χρονίοις καὶ ἰσχιαδικοῖς. ῥήγμασι, σπωμένοις. καὶ ὁ χυλὸς δὲ τῆς ῥίζης, τὰ αὐτὰ ποιεῖ πινόμενος.

## Περὶ τραγακάνθης. υιη'.

Τραγάκανθα. ῥίζα ἐστὶ πλατεῖα καὶ ξυλώδης. φαινομένη καὶ ὑπὲρ γῆς. ἀφ' ἧς κλάδοι ταπεινοί. ἰσχυροὶ κεχυμένοι ἐπὶ πολύ. καὶ ἐπ' αὐτῶν φυλλάρια πολλά. μεταξὺ λεπτὰ ἀκάνθας ἔχοντα ἐγκεκρυμμένας τοῖς φύλλοις, λευκὰς, ἰσχυράς. ὀρθάς. ἔστι δὲ ἡ τραγάκανθα, δάκρυον τῆς ῥίζης ἀποτμηθείσης ἐπισυνιστάμενον, ἧς διαφέρει ἡ διαυγὴς καὶ λεία καὶ ἰσχνὴ καὶ καθαρὰ καὶ ὑπόγλυκυς. δύναμιν δὲ ἔχει ὁμοίαν κόμμει, ἐμπλαστικήν. χρῆσις δ' αὐτῆς εἰς τὰ ὀφθαλμικά. καὶ πρὸς βῆχας, καὶ πρὸς τὰς περὶ ἀρτηρίαν τραχύτητας. καὶ φωνῆς ἀποκοπάς. καὶ ἐπισεισμοὺς ἐν ἐκλεικτῷ σὺν μέλιτι, ἀν χαλίζεταί τε ὑποτεθεῖσα τῇ γλώσσῃ. καὶ πίνεται δὲ ἀποβραχεῖσα ἐν γλυκεῖ < α' τὸ πλῆθος, πρὸς νεφρῶν ὀδύνην καὶ κύστεως δῆξιν, μιγέντος αὐτῇ κέρατος ἐλαφείου, κεκαυμένου καὶ πεπλυμένου, ἢ στυπτηρίας σχιστῆς ὀλίγης.

## Περὶ ἠρυγγίου. υιθ'.

Ἠρύγγιον. οἱ δὲ ἠρύγγην, οἱ δὲ ἰρωπῖρις, οἱ δὲ κάρυον, οἱ δὲ σεράπιον, οἱ δὲ ἑρμῆν, οἱ δὲ ὀρίγανον, χαρωνεῖον, οἱ δὲ μυράκανθον, οἱ δὲ μῶλυ. αἰγύπτιοι κρόουνσος. προφῆται σίσπερτος, ῥωμαῖοι καπιτουλᾶμ κμαρδίους, οἱ δὲ καρπερούμ, δάκοι σικουπνοὺξ, ἰσπανοὶ κιοτουκαπιτά. ἄφροι χερδάν, οἱ δὲ ὀρεινὸν χλόην, οἱ δὲ χελώνην. τῶν ἀκανθωδῶν ἐστιν, ἧς ἐν ἀρχῇ τὰ φύλλα λαχανεύεται εἰς ἁλμαίας συντιθέμενα. ἔστι δὲ πλατέα, τραχέα τοῖς πέριξ, ἀρωματίζοντα τῇ γεύσει, αὐξανόμενα δὲ κατὰ τὰς πλείστας ἐξοχὰς, ἀκανθοῦνται καυλῶν, ἐφ' ὧν κατὰ τὰ ἄκρα κεφάλιά ἐστι σφαιροειδῆ, ἀκάνθας περικείμενα ὥσπερ ἀστὴρ ὀξυτάτας κύκλῳ, σκληράς, ὧν τὸ χρῶμα χλωρὸν ἢ λευκόν. ἐνίοτε δὲ καὶ κυανοῦν εὑρίσκεται. ῥίζα δὲ ἐπιμήκης, πλατεῖα, μέλαινα κατὰ τὴν ἐπιφάνειαν. ἔνδοθεν λευκὴ, δακτύλου μεγάλου τὸ πάχος, καὶ αὐτὴ εὐώδης καὶ ἀρωματίζουσα. φύεται δὲ ἐν πεδίοις καὶ τραχέσι τόποις. δύναμιν δὲ ἔχει θερμαντικήν. πινομένη ἄγει οὖρα καὶ ἔμμηνα, στρόφους τε καὶ ἐμπνευματώσεις λύει. ἡπατικοῖς δὲ καὶ θηριοδήκτοις καὶ θανάσιμον εἰληφόσιν, ἁρμόζει σὺν οἴνῳ. πίνεται δὲ πρὸς τὰ πλεῖστα σὺν σταφυλίνου σπέρματι, < α' τὸ πλῆθος. ἱστορεῖται δὲ ὅτι περιαπτομένη καὶ καταπλασσομένη, φύματα διαφορεῖ. ῥίζα δὲ αὐτῆς πινομένη μετὰ ὑδρομέλιτος, ὀπισθοτονικοὺς ἰᾶται καὶ ἐπιληπτικούς.

### Περὶ ἀλόης. κε. υκ'.

Ἀλόη· οἱ δὲ, ἀμφίβιον· οἱ δὲ, ἠρύγγιον· οἱ δὲ, ἑρμινεν· οἱ δὲ, τραγόκερως· ῥωμαῖοι ἀλόαμ· παρὰ βαρβάροις ἀλοέ. φύλλον ἔχει σκύλλῃ παραπλήσιον, παχὺ, λιπαρὸν, ὑπόπλατυ, περιφερὲς, εἰς τοὐπίσω κλώμενον. παρ' ἑκάτερα δὲ τὰ μέρη ἔχει τὰ φύλλα ἐκ πλαγίων ἀκανθώδη, ἀραιῶς ἐξέχοντα, κολοβά. καυλὸν δὲ ἀνίησιν ἀνθερικῷ ὅμοιον, ἄνθος δὲ λευκόν· καὶ καρπὸν ἀσφοδέλῳ ἐοικότα. βαρύοσμος δὲ ὅλη, καὶ ἀπογευομένῳ πικροτάτη. ἔστι δὲ μονόρριζος ὥσπερ πάσσαλον ἔχουσα τὴν ῥίζαν. γεννᾶται δὲ ἐν τῇ ἰνδίᾳ πλείστη λιπαρά· ἐξ ἧς καὶ τὸ ὄπισμα κομίζεται. φύεται δὲ καὶ ἐν ἀραβίᾳ, καὶ ἀσίᾳ· καὶ ἔν τισι παραθαλασσίοις τόποις καὶ νήσοις, ὡς ἐν ἄνδρῳ, οὐκ εὔχρηστος εἰς ὀπισμόν· πρὸς δὲ κόλλησιν τραυμάτων ἐπιτήδειος, λεία καταπλασσομένη. διττὸν δέ ἐστι τὸ εἶδος τοῦ χυλίσματος· τὸ μέν τι ψαμμῶδες, ὅπερ ὑποστάθμη τοῦ καθαρωτάτου ἔοικεν εἶναι· τὸ δὲ, ἡπατίζον. ἐκλέγου δὲ τὴν καθαρὰν καὶ ἄδολον καὶ ἄλιθον, στίλβουσαν, ὑπόξανθον, εὔθρυπτον, ἡπατίζουσαν, ῥᾳδίως ὑγραινομένην, ἐπιτεταμένην τῇ πικρίᾳ. τὴν μέντοι μέλαιναν καὶ δυσκάτακτον ἀποκλέγου. δολίζουσι δὲ αὐτὴν κόμμει· ὅπερ ἐλέγχεται γεύσει καὶ πικρίᾳ, καὶ ὀσμῆς ἐπιτάσει, καὶ τῷ μὴ διαλύεσθαι μέχρις ἐλαχίστου ψήγματος θλιβομένην ὑπὸ τῶν δακτύλων. ἔνιοι δὲ καὶ ἀκακίαν μίσγουσι. δύναμιν δὲ ἔχει στυπτικὴν, ὑπνωτικὴν, ξηραντικὴν, πυκνωτικὴν τῶν σωμάτων, κοιλίας τε λυτικὴν, καὶ στομάχου ἀποκαθαρτικήν, κοχλιαρίων β' πλῆθος, μεθ' ὕδατος ψυχροῦ ἢ γαλακτώδους πινομένη. αἵματός τε ἀναγωγὰς ἐπέχει. καὶ ἴκτερον ἀποκαθαίρει, μεθ' ὕδατος τριωβόλου ἢ < α' ὁλκῆς ἐμποθεῖσα. καὶ μετὰ ῥητίνης δὲ καταπινομένη, ἢ ὕδατος ἢ μέλιτος ἑφθοῦ ἀναληφθεῖσα κοιλίαν λύει. δραχμῶν δὲ τριῶν πλῆθος τελείως καθαίρει. μιγνυμένη δὲ τοῖς ἄλλοις καθαρτικοῖς, ἧττον αὐτὰ κακοστόμαχα ποιεῖ. ξηρὸν δὲ ἐπιπλασθὲν, τραύματα κολλᾷ· καὶ ἐπουλοῖ ἕλκη καὶ κατὰ στέλλει. αἰδοῖα δὲ ἡλκωμένα ἰδίως θεραπεύει. καὶ ἐπαγωγία παίδων ῥηχθέντα παρακολλᾷ. θεραπεύει δὲ καὶ κονδυλώματα καὶ ῥαγάδας κιρναμένη σὺν γλυκεῖ οἴνῳ. αἱμορραγίας τε ἵστησι τὰς ἐξ αἱμορροΐδων. καὶ πτερύγια ἀπουλοῖ. αἴρει καὶ πελιώματα καὶ ὑπώπια σὺν μέλιτι. ψωροφθαλμίας τε καὶ κανθῶν κνησμοὺς παρηγορεῖ· καὶ κεφαλαλγίας μετ' ὄξους καὶ ῥοδίνου, μετώπῳ καὶ κροτάφοις ἐπιχριομένη. ἐπέχει καὶ ῥεούσας τρίχας σὺν οἴνῳ. καὶ πρὸς παρίσθμια δὲ καὶ οὖλα, καὶ πάντα τὰ ἐν τῷ στόματι ἁρμόζει σὺν μέλιτι καὶ οἴνῳ. φρύγνυται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ἐπὶ καθαροῦ καὶ διαπύρου ὀστράκου, μεταβαλλόμενον μύστρῳ, μέχρις ἂν ὁμαλῶς πυρωθῇ. πλύνεται δὲ χωριζομένου τοῦ ψαμμώδους ὡς ἀχρήστου, λαμβανομένου δὲ τοῦ λιπαρωτάτου καὶ λείου.

### Περὶ ἀψινθίου. κε. υκα'.

Ἀψίνθιον· βαθύπικρον· αἰγύπτιοι σόμι· ῥωμαῖοι ἀψίνθιουμ ῥούστικουμ. γνώριμος ἡ πόα. ἔστι δὲ αὐτῆς βελτίων ἡ ἐν πόντῳ καὶ καππαδοκίᾳ εὑρισκομένη τῷ καλουμένῳ ταύρῳ ὄρει. δύναμιν δὲ ἔχει θερμαντικὴν, στυπτικὴν, καὶ ἀποκαθαρτικὴν τῶν ἐν στομάχῳ καὶ κοιλίᾳ χολωδῶν. ἔστι δὲ καὶ οὐρητικὸν, καὶ ἀκραίπαλον, προπινόμενον. καὶ πρὸς ἐμπνευματώσεις δὲ ἁρμόζει καὶ κοιλίας καὶ στομάχου ἀλγήματα, πινόμενον μετὰ σεσέλεως ἢ νάρδου κελτικῆς. καὶ ἀνορεξίας καὶ ἰκτερικοὺς θεραπεύει τὸ ἀπόβρεγμα αὐτοῦ ἢ τὸ ἀφέψημα, καθ' ἑκάστην ἡμέραν λαμβανόμενον εἰς πλῆθος κυα-

θῶν τριῶν. ἄγει δὲ καὶ ἔμμηνα. πινόμενόν τε καὶ προστιθέμενον μετὰ μέλιτος πρός τε τοὺς ἀπὸ μυκήτων πνιγμούς, ἁρμόζει σὺν ὄξει πινόμενον, σὺν οἴνῳ δὲ πρὸς ἰξίαν καὶ κώνειον καὶ μυγαλῆς δήγματα. καὶ δράκοντα θαλάσσιον. συναγχικοῖς τε διάχρισμα σὺν μέλιτι καὶ νίτρῳ. καὶ πρὸς ἐπινυκτίδας σὺν ὕδατι. πρὸς δὲ ὑπώπια σὺν μέλιτι. καὶ πρὸς ἀμβλυωπίας. καὶ πρὸς ἰχωροῦντα ὦτα ὁμοίως. καὶ ὁ ὑποθυμιασμὸς δὲ αὐτοῦ τοῦ ἀφεψήματος πρὸς ὦτα λύπας καὶ ὀδονταλγίας. ἀφεψόμενόν τε σὺν γλυκεῖ, κατάπλασμα ὀφθαλμῶν περιωδυνώντων ἐστί. καταπλάσσεται δὲ καὶ πρὸς ὑποχόνδρια, καὶ ἧπαρ καὶ στόμαχον ἐπιπολύ. καὶ χρονίως πάσχοντα. συνεκλεαινόμενον κηρωτῇ κυπρίνῃ. πρὸς δὲ στόμαχον ῥοδίνῃ. ἁρμόζει καὶ ὑδρωπικοῖς. καὶ σπληνικοῖς. μιγνύμενον αὐτῷ σύκων καὶ νίτρου. καὶ αἰρίνου ἀλεύρου. σκευάζεται δὲ ἐξ αὐτοῦ καὶ οἶνος ὁ λεγόμενος ἀψινθίτης. μάλιστα περὶ τὴν προποντίδα καὶ θρᾴκην. ᾧ πρὸς τὰ προειρημένα χρῶνται ἐν ἀπυρεξίᾳ. καὶ ἄλλως δέ, προπίνουσι δὲ αὐτοῦ θέρους ὑγείας ποιητικὸν εἶναι νομίζοντες. δοκεῖ δὲ καὶ περιπλαττόμενον εἰς τὰς κιβωτοὺς ἄβρωτα τηρεῖν τὰ ἱμάτια. ἀλειφόμενόν τε μετὰ ἐλαίου, κώνωπας κωλύει ἅπτεσθαι τοῦ σώματος. τὸ δὲ μέλαν ᾧ γράφομεν ἐκ τοῦ ἀποβρέγματος αὐτοῦ γραφέν, ἄβρωτα μυσὶ τηρεῖ τὰ γράμματα. ἔοικε δὲ καὶ τὸ τοῦ χυλίσματος ἔργα ποιεῖν τὰ αὐτά. πλὴν εἰς τὰς πόσεις οὐ δοκιμάζομεν αὐτό. κακοστόμαχον καὶ κεφαλαλγὲς ὄν. τὸ δὲ χύλισμα ἀμόργῃ ἑψηθείσῃ καὶ μισγομένην, δολοῦσί τινες.

Περὶ ἀψινθίου θαλασσίου. κε. υκβʹ.

Ἀψίνθιον θαλάσσιον. οἱ δέ, σαντόνικον καλοῦσιν. οἱ δέ, σέριφον. ῥωμαῖοι σαντόνικουμ. καλοῦσί τινες καὶ τὸ σέριφον, ἀψίνθιον θαλάσσιον. ὅπερ πλεῖστον ἐν τῷ περὶ καππαδοκίαν ταύρῳ ὄρει γίνεται. καὶ ἐν ταφοσίρει τῆς αἰγύπτου. ᾧ ἀντὶ θαλλοῦ οἱ ἰσιακοὶ χρῶνται. ἔστι δὲ ποάριον λεπτόκαρφον. ἐοικὸς ἀβροτόνῳ μικρῷ. περίπληθες σπερματίων. ὑπόπικρος κακοστόμαχος. βαρύοσμος. στύφουσα μετὰ ποσῆς θερμασίας. ἥτις ἑψηθεῖσα καθ᾽ ἑαυτὴν ἢ μετὰ ὀρύζης καὶ ληφθεῖσα μετὰ μέλιτος, ἀσκαρίδας καὶ ἕλμινθας στρογγύλας κτείνει. ὑπάγει τὴν κοιλίαν κούφως. δύναται δὲ καὶ σὺν ἑψήματι ἢ φακῇ καθεψηθεῖσα τὰ αὐτὰ ποιεῖν. λιπαίνεται δὲ μάλιστα τὰ πρόβατα νεμόμενα. ἔστι δὲ τρίτον εἶδος ἀψινθίου γινόμενον ἐν τῇ κατὰ τὰς ἄλπεις γαλατίᾳ πλεῖστον. ὃ ἐπιχωρίως σαρδώνιον καλοῦσιν ἐπωνύμως τῇ γεννώσῃ αὐτὸ σαρδονίδι χώρᾳ. ἐοικὸς ἀψινθίῳ. οὐ μὴν οὕτω γε πολύσπερμον. ὑπόπικρον δέ, καὶ δυνάμενον τὰ αὐτὰ τῷ σεριφίῳ.

Περὶ ἀβροτόνου. κε. υκγʹ.

Ἀβρότονον. οἱ δέ, ἀβρούτονον. οἱ δέ, ἀψίνθιον. οἱ δέ, ἡρακλεῖον. οἱ δέ, χολοποιόν. οἱ δέ, θηλυφθόριον. οἱ δέ, ἀψινθιόμηλον. οἱ δέ, προκάμπυλον, προφῆται οὐρὰ φοίνικος. οἱ δέ κυναγχίτην. ῥωμαῖοι ἀψίνθιουμ πόντικουμ. τινὲς δὲ αὐτὸ θηλύθαμνον. οἱ δέ, γλυκὺ ἄγκωνα καλοῦσιν. ἔστι δὲ αὐτοῦ τὸ μὲν θῆλυ θάμνος δενδροειδής. ὑπόλευκος φύλλοις λεπτοῖς σχιδέσιν ὡς τοῦ σερίφου περὶ τὰ κλωνία. πλήρεις ἀνθήλης ἄκρα ἔχει κορυμβώδη χρυσίζοντα. θερείας γινόμενον, εὐώδης μετὰ ποσοῦ βάρους. πικρὰ τῇ γεύσει. δοκεῖ δὲ τὸ σικελιωτικὸν εἶναι τοιοῦτον. τὸ δὲ ἕτερον ἄρρεν καλεῖται κλιματῶδες λεπτόκαρπον ὡς ἀψίνθιον. πλεῖστον δὲ ἐν καππαδοκίᾳ γίνεται καὶ γαλατίᾳ τῇ κατὰ τὴν ἀσίαν. καὶ ἐν ἱεραπόλει τῇ κατὰ τὴν συρίαν. τούτου ὁ καρπὸς ἀποζεννύμενος καὶ ὠμὸς λεῖος μεθ᾽ ὕδατος πινόμενος, βοηθεῖ ὀρθοπνοίᾳ. ῥήγμασι. σπάσμασιν.

ἰσχιάσι. δυ-

σουρίαις· ἐμμήνων ἐπισχέσει. καὶ θανασίμων φαρμάκων ἐστὶν ἀντίδοτος. ποθὲν σὺν οἴνῳ. σὺν χρίσματι ῥιγώντων μετ' ἐλαίου ἐστί. διώκει δὲ ἑρπετὰ στιβαδευόμενον, ἢ θυμιώμενον· καὶ πινόμενον δὲ σὺν οἴνῳ ὠφελεῖ τοὺς δηχθέντας. ἰδίως δὲ ἁρμόζει ἐπὶ φαλαγγίων καὶ σκορπίων. βοηθεῖ δὲ καὶ ὀφθαλμῶν φλεγμοναῖς σὺν ἑφθῷ κυδωνίῳ ἢ μετὰ ἄρτου καταπλασθέν. διαφορεῖ καὶ φύματα μετὰ ὠμῆς λύσεως λεῖον ἑψηθέν. μίγνυται δὲ καὶ εἰς τὴν τοῦ ἰρίνου ἐλαίου σκευασίαν.

Περὶ ὑσσώπου. υκδ.

Ὕσσωπος· ῥωμαῖοι ὑσσώπουμ. οἱ δὲ, λάπιρ. οἱ δὲ, κασσιάλα. αἰγύπτιοι πεσαλέμ. πόα γνώριμος. διττὴ μὲν γάρ τις ἐστὶν ὀρεινή. ἡ δὲ κηπευτή. ἀρίστη δ' ἐστὶν ἡ ἐν Κιλικίᾳ γινομένη. δύναμιν δὲ ἔχει λεπτυντικήν. θερμαντικήν. ἀφεψηθεῖσα δὲ μετὰ σύκων καὶ ὕδατος. μέλιτός τε καὶ πηγάνου καὶ πινομένη, ἀρήγει περιπνευμονικοῖς. ἀσθματικοῖς. βηχὶ χρονίᾳ. καταρρόῳ. ὀρθοπνοίᾳ. κτείνει δὲ καὶ ἕλμινθας. σὺν μέλιτι δὲ ἐκλειχομένη τὸ αὐτὸ ποιεῖ. ἄγει δὲ καὶ πάχος κατὰ κοιλίαν τὸ ἀφέψημα αὐτῆς σὺν ὀξυμέλιτι πινόμενον. βιβρώσκεται δὲ καὶ μετὰ χλωρῶν σύκων λύων πρὸς ὑπαγωγὴν κοιλίας. σφοδρότερον δὲ καθαίρει μιγέντος αὐτῷ καρδαμώμου, ἢ ἴριδος ἢ ἐρυσίμου. περιποιεῖ δὲ καὶ εὐχροίας. καταπλάσσεται δὲ μετὰ σύκου καὶ νίτρου πρὸς σπλῆνα καὶ ὕδρωπα. σὺν οἴνῳ δὲ πρὸς φλεγμονάς. διαφορεῖ δὲ καὶ ὑπώπια σὺν ὕδατι ζεστῷ καταπλασθεῖσα. συνάγχοις δὲ ἀναγαργάρισμα μετὰ σύκων ἀφεψήματος ἄριστον. ὀδόντων τε πόνον πραΰνει σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη. λύει δὲ καὶ τὰς περὶ ὦτα ἐμπνευματώσεις ὑποθυμιαθεῖσα.

Περὶ στοιχάδος. υκε.

Στιχάς. οἱ δὲ, συγκλιόπα. οἱ δὲ, ἀλκιβιάδιος. οἱ δὲ πολυκράτιον. οἱ δὲ, συμφωνία. αἰγύπτιοι συφλώ. προφῆται ὀφθαλμὸς πύθωνος. ῥωμαῖοι σκιολεβίνα. γίνεται μὲν ἐν ταῖς κατὰ γαλλίαν νήσοις, ἀντικρὺ μασσαλίας. καλουμέναις δὲ στιχάσιν. ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. πόα λεπτόκαρπός ἐστιν. ὁμοίαν ἔχουσα κόμην θύμῳ. μακροφυλλοτέρα μέντοι γε καὶ δριμεῖα ἐν τῇ γεύσει. καὶ ὑπόπικρος ποσῶς. ποιεῖ δὲ τὸ ἀφέψημα αὐτῆς καθὼς ὁ ὕσσωπος πρὸς τὰ ἐν θώρακι. μίγνυται δὲ καὶ ἀντιδότοις χρησίμως. ἐκφράττει καὶ λεπτύνει τὰ σπλάγχνα πάντα. καὶ ὅλην τοῦ ζῴου τὴν ἕξιν.

Περὶ ὀριγάνου. υκς.

Ὀρίγανος ἡρακλεωτική. ἣ δὲ κονίλην καλοῦσι, φύλλον ἔχει ἐμφερὲς ὑσσώπῳ. σκιάδιον δὲ οὐ τροχοειδές. ἀλλ' ὥσπερ διῃρημένον. καὶ ἐπ' ἄκρων τῶν ῥάβδων τὸ σπέρμα οὐ πυκνόν. ἔστι δὲ θερμαντική. ὅθεν τὸ ἀφέψημα αὐτῆς σὺν οἴνῳ ποθέν, ἁρμόζει θηριοδήκτοις. σὺν γλυκεῖ δὲ τοῖς κώνειον ἢ μηκώνειον πεπωκόσι. σὺν ὀξυμέλιτι δὲ τοῖς πεπωκόσι γύψον ἢ ἐφήμερον. πρὸς δὲ τὰ σπάσματα καὶ ῥήγματα καὶ ὑδρωπικοὺς μετὰ σύκου βιβρωσκομένη. ξηρᾶς δὲ ποθεῖσα ὀξυβάφου πλῆθος, σὺν μελικράτῳ μέλανα κατὰ κοιλίαν ἄγει. ἔμμηνά τε κινεῖ καὶ βῆχας θεραπεύει σὺν μέλιτι ἐκλειχομένη. κνησμοὺς δὲ καὶ ψώρας καὶ ἴκτερον τὸ ἀφέψημα αὐτῆς ἐν λουτρῷ ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτῆς χλωρᾶς οὔσης, καὶ παρίσθμια καὶ κιονίδας καὶ ἄφθας θεραπεύει. καὶ διὰ ῥινὸς ἄγει σὺν ἐλαίῳ ἰρίνῳ ἐγχυματιζόμενος. σὺν γάλακτι δὲ καὶ ὠταλγίας παρηγορεῖ. ἐμμετικόν τε φάρμακον σκευάζεται

ζεται δι' αὐτῆς καὶ κρόμμυον· καὶ ῥόος τοῦ ἐπὶ τὰ ὄψα· πάντων ἐν χαλκῷ κυπρίῳ, ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡλιασθέντων, ἐπὶ ἡμέρας μ΄. ὑποζωννυμένη δὲ ἡ πόα, ἑρπετὰ διώκει.

Περὶ ὀνίτιδος. υκζ.

Ἡ δ' ὀνῖτις καλουμένη, λευκοτέρα τοῖς φύλλοις ἐστί, καὶ μᾶλλον ἔοικεν ὑσσώπῳ· τὸ δὲ σπέρμα ὥσπερ κορύμβους συνεχεῖς ἐπικειμένους ἔχει· δύναται μέντοι τὰ αὐτὰ τῇ ἡρακλεωτικῇ, οὐχ οὕτω μέντοι δραστικὴ καθέστηκεν.

Περὶ ἀγριοριγάνου. υκη.

Ἡ δὲ ἀγριορίγανος, ἣν πάνακες ἡράκλειον, οἱ δὲ κονίλην καλοῦσιν· ὧν ἐστι καὶ Νίκανδρος ὁ κολοφώνιος, ἔχει τὰ μὲν φύλλα ὅμοια ὀριγάνῳ· ῥαβδία δὲ σπιθαμιαῖα λεπτά· ἐφ' ὧν σκιάδια ὅμοια ἀνήθῳ· ἄνθη δὲ λευκά· ῥίζα λεπτὴ ἄχρηστος. ἰδίως δὲ βοηθεῖ θηριοδήκτοις τὰ φύλλα καὶ τὰ ἄνθη σὺν οἴνῳ πινόμενα.

Περὶ τραγοριγάνου. υλθ.

Τραγορίγανος θαμνίσκος ἐστὶν ὀριγάνῳ ἢ ἑρπύλλῳ ἀγρίῳ ὅμοιος τὰ φύλλα καὶ τὰ κλωνία. ἡ μέντοι εὑρίσκεται κατὰ τόποις εὐφυεστέρα, καὶ πλατύφυλλος, κολλώδης ἱκανῶς. ἡ δέ τις λεπτόκαρφος καὶ λεπτόφυλλος, ἣν καὶ πράσιον ἔνιοι καλοῦσιν. ἀρίστη δὲ ἡ κιλίκιος· καὶ ἡ ἐν Κῷ καὶ Χίῳ καὶ Σμύρνῃ καὶ Κρήτῃ. θερμαντικαὶ δὲ πᾶσαι καὶ οὐρητικαὶ καὶ εὐκοίλιοι. πινομένου τοῦ ἀφεψήματος, ὑποβιβάζουσι γὰρ τὰ χολώδη. εὔθετοι καὶ σπληνικοῖς πινόμεναι μετ' ὄξους. καὶ τοῖς ἰξίαν πεπωκόσι μετ' οἴνου. καὶ ἔμμηνα δὲ ἄγουσι. βηξί τε καὶ περιπνευμονικοῖς, σὺν μέλιτι ἐν ἐκλεικτῷ δίδοται. ἔστι δὲ καὶ τὸ πόημα ἐπιεικές. ὅθεν τοῖς ἀσώδεσι καὶ κακοστομάχοις καὶ ὀξυρεγμιῶσι δίδοται. καὶ ἐφ' ὧν ἀλυσμὸς ἢ ναυτία καὶ θέρμη ὑποχονδρίων παρακολουθεῖ. διαφορεῖ δὲ καὶ οἰδήματα καταπλασθεῖσα μετὰ ἀλφίτων.

Περὶ γλήχωνος. υλ.

Γλήχων. οἱ δὲ βλῆχρον. οἱ δὲ ἀρσένικον. ῥωμαῖοι πολέιουμ. ἄφροι ἀπολέιουμ. γάλλοι ἀλβολον. οἱ δέ, γαλίσοψις. πόα γνώριμος. λεπτυντική. θερμαντική. πεπτική. ποθεῖσα δὲ ἔμμηνα καὶ δευτέρα καὶ ἔμβρυα ἄγει. ἀνάγει δὲ καὶ τὰ ἐκ πνεύμονος μετὰ ἁλὸς καὶ μέλιτος ποθεῖσα, καὶ σπωμένοις βοηθεῖ. ναυτίας τε καὶ δηγμοὺς στομάχου μετὰ ὀξυκράτου ποθεῖσα παραμυθεῖται. ἄγει δὲ καὶ κατὰ κοιλίαν μέλανα. βοηθεῖ δὲ καὶ θηριοδήκτοις πινομένη μετ' οἴνου. λειποθυμοῦντας ἀνακτᾶται σὺν ὄξει ταῖς ῥισὶ προσφερομένη. κρατύνει δὲ καὶ οὖλα ξηρὰ λεία κεκαυμένη. ἐπιπλασθεῖσα δὲ πραΰνει πᾶσαν φλεγμονὴν σὺν ἀλφίτῳ. καθ' αὑτὴν δὲ ποδαγρικοῖς ἁρμόζει, ἄχρι φοινίξεως τῆς ἐπιφανείας. σὺν κηρωτῇ δὲ ἰόνθους σβέννυσιν. ὠφελεῖ δὲ καὶ σπληνικοὺς μετὰ ἁλὸς καταπλασσομένη. τὸ δὲ ἀφέψημα αὐτῆς κνησμοὺς λουόμενον παύει. καὶ εἰς ἐγκάθισμα. καὶ πρὸς ἐμπνευματώσεις καὶ σκληρίας καὶ ἀποστροφὰς ὑστέρας ἁρμόζει. καλοῦσι δέ τινες αὐτὴν βλήχωνα. ἐπειδὴ τὰ γευσάμενα κατὰ τὴν ἄνθησιν τῶν ποιμνίων, βληχῆς ὑποπίμπλανται.

Περὶ δικτάμνου. υλα.

Δίκταμνος ἣν καλοῦσί τινες γλήχωνα ἀγρίαν. οἱ δέ, ἔμβακτρον. οἱ δὲ βελουάκος. οἱ δέ, ἀρτεμίδιον. οἱ δέ, κρητική. οἱ δέ, ἐφήμερον. οἱ δέ, ἐλδίαν. οἱ δέ, βελοτόκος. οἱ δέ, δορκίδιον. οἱ δέ, ἐλβούνιον. ῥωμαῖοι ὀστιλαγρούστικα. πόα ἐστὶ κρητικὴ δριμεῖα, λεία, ὁμοία γλήχωνι. μείζω δὲ καὶ χλαφαλώδη τὰ φύλλα ἔχει, καὶ ἐρυώδη τι-

να ἐπίφιον. οὔτε δὲ ἄνθος οὔτε καρπὸν φέρει. ποιεῖ δὲ πάντα ὅσα καὶ ἡ ἥμερος γλή-
χων, ἐνεργέστερον δὲ πολλῷ. ἐμμήνων γὰρ πινομένη ἀγωγὸς καὶ προστιθεμένη καὶ ὑποθυμιωμένη, τὰ
τεθνηκότα ἔμβρυα ἐκτινάσσει. φασὶ δὲ καὶ τὰς αἶγας ἐν κρήτῃ τοξευθείσας καὶ νεμηθείσας
τὴν πόαν ἐκβάλλειν τὰ τοξεύματα. ἔχει δὲ καὶ καθαρτικὴν δύναμιν ὁ χυλὸς αὐτῆς, κατα-
χριόμενος ἢ τριβόμενος ὥσπερ μετὰ ἀλφίτων. καταπλασσομένη δὲ ἡ βοτάνη τοῖς ὑ-
ποκάτω τῶν ποδῶν ἢ τοῦ λοιποῦ σώματος θεραπεύει σκόλοπας. ποιεῖ δὲ καὶ πρὸς τὸ-
ν σπληνός. μειοῖ γὰρ αὐτόν. καρπίζουσι δὲ αὐτὴν ἐν θέρει καὶ φθινοπώρῳ. ἡ δὲ ῥίζα
αὐτῆς γευομένους θερμαίνει. ἔστι δὲ καὶ ὀξυτόκιον. βοηθεῖ δὲ καὶ θηριοδήκτοις ὁ χυλὸς
αὐτῆς μετ' οἴνου πινόμενος. τοιαύτη δὲ τῆς βοτάνης ἡ δύναμις, ὡς καὶ ὀσφραινομένην διώ-
κειν, καὶ προσαπτομένην ἀναιρεῖν τὰ ἰοβόλα θηρία. τὸ δὲ αὐτῆς χύλισμα ἐπιχεόμενον
πληγῇ σιδήρου ἢ ἰοβόλου δήγματι, καὶ πρὸς τῷ ἐπιχυθῆναι καὶ λαμβανόμενον πόσει,
εὐθέως ὑπαλύζει.

Περὶ ψευδοδικτάμνου. κεφ. υλβ'.

Τὸ δὲ ψευδοδίκταμνον καλούμενον, φύεται ἐν πολλοῖς τόποις. ἐμφερὲς δὲ τῷ πρὸ αὐ-
τοῦ. ἔλαττον δὲ δριμύ. ποιεῖ δὲ τὰ αὐτὰ τῷ δικτάμνῳ οὐχ ὁμοίως ἐνεργοῦν.

Περὶ τοῦ ἀπὸ κρήτης δικτάμνου. κεφ. υλγ'.

Φέρεται δὲ καὶ ἀπὸ κρήτης ἕτερον εἶδος δικτάμνου. φύλλοις ἐοικὸς σισυμβρίου. κλά-
δοι δὲ μείζον. ἐφ' ὧν ἄνθος ὀριγάνῳ ἀγρίῳ ἐοικός. μέλαν. μαλακόν. ὀσμὴ δὲ τῶν φύλ-
λων μεταξὺ σισυμβρίου καὶ ἐλελισφάκου ἡδίστη. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ πρὸ αὐτῆς.
ἧσσον πληκτικὴ ὑπάρχουσα. μίγνυται δὲ καὶ ἐμπλάστροις καὶ θηριακαῖς.

Περὶ ἐλελισφάκου. κεφ. υλδ'.

Ἐλελίσφακον. οἱ δὲ ἐλαφόβοσκον. οἱ δὲ, σφακόν. οἱ δὲ, κίοσμιν. οἱ δὲ, φαύσινον. αἰγύπτιοι βέ-
κι. ῥωμαῖοι ἀκνισί. οἱ δὲ, κόσαλον. οἱ δὲ, σάλβια. θάμνος ἐστὶν ἐπιμήκης. πολύκλωνος. ῥάβ-
δους τετραγώνους καὶ ὑπολεύκους ἔχων. φύλλα δὲ μηλέᾳ κυδωνίᾳ ἐοικότα. ἐπιμηκέστερα
μέντοι καὶ τραχύτερα καὶ παχύτερα λελησθότως ὥσπερ τὰ ἀνάτριπτα τῶν ἱματίων δασέα.
ὑπόλευκα. σφοδρῶς εὐώδη. βρωμώδη. καρπὸν δὲ ἐπ' ἄκρων τῶν καυλῶν ὥσπερ ὁρμίνου
ἀγρίου ἔχει. φύεται δὲ ἐν τραχέσι χωρίοις. δύναμιν δὲ ἔχει τὸ ἀφέψημα τῶν φύλ-
λων καὶ τῶν κλάδων οὖρα ἄγειν πινόμενον. καὶ ἔμμηνα καὶ ἔμβρυα κατασπᾶν. καὶ
τρυγόνος πληγαῖς ἀρήγειν. μελαίνει δὲ καὶ τρίχας. καὶ τραυματική. καὶ ἴσχαιμος.
καὶ ἀποκαθαρτικὴ τῶν θηριωδῶν ἐστὶν ἑλκῶν. παύει δὲ σὺν οἴνῳ τὸ ἀφέψημα τῶν φύλ-
λων καὶ τῶν κλάδων αὐτῶν προσκλυζόμενον, τοὺς περὶ τὰ αἰδοῖα κνησμούς.

Περὶ ἡδυόσμου ἡμέρου. κεφ. υλε'.

Ἡδύοσμος ἥμερος. οἱ δὲ, μίνθα. οἱ δὲ, καλαμίνθην. ῥωμαῖοι μέντα. οἱ δὲ, νέπιταμ. αἰ-
γύπτιοι τίς. οἱ δὲ φθερουμφθουμονθού. οἱ δὲ, περξώ. οἱ δὲ, μακηθό. γνώριμον βοτάνιον. δύ-
ναμιν ἔχον θερμαντικὴν στυπτικὴν ξηραντικήν. ὅθεν αἷμα ἵστησι πινόμενος ὁ χυλὸς αὐ-
τοῦ μετ' ὄξους. καὶ ἕλμινθας κτείνει στρογγύλας. ἀφροδίσια παρεθίζει. καὶ λυγμούς. καὶ ἐ-
μέτους. καὶ χολέρας παύει δύο ἢ τρία κλωνάρια σὺν ῥόας ὀξείας χυλῷ ποθέντα. διαφορεῖ δὲ καὶ
ἀποστήματα μετὰ ἀλφίτου καταπλασθέν. καὶ κεφαλαλγίας παρηγορεῖ ἐπιτιθέμενον τῷ μετώ-
πῳ. μαστῶν τε περίτασιν καὶ σπαργῶσιν πραΰνει. σὺν ἁλὶ δὲ τοῖς κυνοδήκτοις καταπλασ-

μα. ὠταλγίαις δὲ ὁ χυλὸς σὺν μελικράτῳ ἀρήγει. γυναιξὶ δὲ πρὸ τοῦ πλησιάζειν προστιθέμενον, ἀσυλληψίας ἐργάζεται. γλῶσσαν τε τραχεῖαν παρατριβόμενον λεαίνει. καὶ γάλα ἀτύρωτον φυλάσσει ἐναποπλυθέντων αὐτῷ τῶν φύλλων. καθόλου δέ ἐστιν εὐστόμαχον καὶ ἀρτυματῶδες.

## Περὶ ἡδυόσμου ἀγρίου. κεφ. νλϛʹ.

Τὸ δὲ ἄγριον ἡδύοσμον ὃ ῥωμαῖοι μενθάστρουμ καλοῦσι, γίνεται δασύτερον τοῖς φύλλοις. καὶ πάντη μεῖζον σισυμβρίου. ἐν ὀσμῇ δὲ βρωμωδέστερον. καὶ ἧττον εἰς τὴν ἐν ὑγείᾳ χρῆσιν εὔθετον.

## Περὶ καλαμίνθης. κεφ. νλζʹ.

Καλαμίνθη. ἡ μέν τις ὀρεινοτέρα ἐστίν. ἔχει δὲ φύλλα ὅμοια ὠκίμῳ. ὑπόλευκα. κλωνία δὲ καὶ καρφὴ γεγωνιωμένα. ἄνθη πορφυροῦν. ἡ δέ τις γλήχωνι ἔοικε. μείζων δέ. ὅθεν τινὲς ἀγρίαν αὐτὴν γλήχωνα ἐκάλεσαν. διότι καὶ τῇ ὀσμῇ παρέοικε. ταύτην ῥωμαῖοι νεπέταν καλοῦσιν. ἡ δὲ τρίτη ἔοικεν ἡδυόσμῳ ἀγρίῳ. ἐπιμηκεστέρα τοῖς φύλλοις. καυλῷ καὶ κλάδων μείζων τῶν προειρημένων. καὶ ἧττον ἐνεργής. πασῶν δὲ τὰ φύλλα γευομένων, πυρωτικὰ ἰσχυρῶς καὶ δριμέα. ῥίζα ἄχρηστος. φύεται δὲ ἐν πεδίοις καὶ ἐν τραχέσι τόποις καὶ καθύγροις. πινομένη δὲ καὶ καταπλασσομένη, ἀρήγει ἑρπετοδήκτοις. ἄγει δὲ καὶ οὖρα τὸ ἀφέψημα πινόμενον. βοηθεῖ δὲ καὶ ῥήγμασι. σπάσμασι. ὀρθοπνοίαις. στρόφοις. χολέρᾳ καὶ ῥίγει. καὶ πρὸς τὰ θανάσιμα προπινομένη ποιεῖ σὺν οἴνῳ. καὶ ἴκτερον ἀποκαθαίρει. ἕλμινθάς τε κτείνει καὶ ἀσκαρίδας σὺν ἁλσὶ καὶ μέλιτι πινομένη. ἑφθή τε καὶ ὠμὴ τετριμμένη. ὠφελεῖ καὶ ἐλεφαντιῶντας βρωθεῖσα. ἐπιπινομένου ὀῤῥοῦ γάλακτος. φθείρει δὲ καὶ ἔμβρυα. καὶ ἔμμηνα ἄγει τὰ φύλλα λεῖα ἐν προσθέτῳ. θυμιαθεῖσα δὲ ἑρπετὰ διώκει καὶ ὑποστρωννυμένη. λευκαίνει τε καὶ τὰς μελαίνας οὐλὰς ἑψηθεῖσα ἐν οἴνῳ καὶ καταπλασθεῖσα. καθαίρει καὶ ὑπώπια. ἰσχιαδικοῖς τε ἐπιτίθεται εἰς μετασύγκρισιν. ἐπικαίουσα τὴν ἐπιφάνειαν. καὶ σκώληκας τοὺς ἐν ὠσὶ κτείνει ὁ χυλὸς ἐνσταζόμενος.

## Περὶ θύμου. κεφ. νληʹ.

Θύμος. οἱ δὲ θύμος λευκός. οἱ δὲ κεφαλωτός. οἱ δὲ ἐπιθυμίς. οἱ δὲ θυρσί. ῥωμαῖοι θύμουμ. αἰγύπτιοι στεφάνη. δάκοι μόζουλα. γνώριμος πᾶσι θαμνίσκιον φρυγανῶδες. φυλλαρίοις πολλοῖς καὶ στενοῖς περιειλημμένον. ἔχον ἐπ᾽ ἄκρου κεφάλια ἄνθους πορφυρίζοντα. μάλιστα δὲ φύεται ἐν πετρώδεσι καὶ λεπτογέοις τόποις. δύναμιν δὲ ἔχει πινόμενον μετὰ ἁλῶν καὶ ὄξους, ἄγειν φλεγματώδη κατὰ κοιλίαν. τὸ δὲ ἀφέψημα αὐτοῦ μετὰ μέλιτος ὀρθοπνοικοῖς καὶ ἀσθματικοῖς βοηθεῖ. ἕλμινθάς τε ἐξάγει καὶ ἔμμηνα. καὶ ἔμβρυα καὶ δεύτερα. ἔστι δὲ καὶ οὐρητικόν. μιχθὲν δὲ μέλιτι καὶ ἐκλειχθέν, εὐανάγωγα τὰ ἐκ θώρακος ποιεῖ. διαφορεῖ δὲ οἰδήματα πρόσφατα καταπλασθὲν μετ᾽ ὄξους. αἵματος θρόμβους διαλύει. καὶ θύμους καὶ ἀκροχορδόνας αἴρει. καὶ ἰσχιαδικοῖς μετ᾽ οἴνου καὶ ἀλφίτων ἐπιτεθὲν ἁρμόζει. ἀμβλυωποῦσί τε ἐσθιόμενον σὺν τροφῇ ὠφελεῖ. εὔχρηστον δὲ καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν ἀντὶ ἀρτύματος.

## Περὶ θύμβρας. κεφ. νλθʹ.

Θύμβρα. καὶ αὐτὴ γνώριμος. γεννωμένη ἐν λεπτογέοις. καὶ τραχέσι τόποις. ὁμοία θύμῳ, ἐλάττων μέντοι καὶ ἁπαλωτέρα. φέρουσα στάχυν ἀνθοὺς μεστόν. ἔγχλωρον. δύνα-

πτεῖ δὲ τὰ αὐτὰ τῷ θύμῳ ὁμοίως λαμβανόμενον· καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν εὐθετεῖ. σίεται δὲ καὶ ἡ σπορτὴ θύμβρα. κατὰ πάντα δὲ ἀγρίας ἐλάσσων, ἀχρειοτέρα δὲ πρὸς βρῶσιν διὰ τὸ μὴ ἐπιτείνεσθαι τὴν δριμύτητα.

Περὶ ἑρπύλλου. νμ΄.

Ἕρπυλλος. οἱ δὲ, ζυγὶς ἀγρία. οἱ δὲ, πόλιον, αἰγύπτιοι μερουόπυος· ῥωμαῖοι σερπύλλουμ. οἱ δὲ, κερβαλατικούμ. ὁ μέν τις ἐστὶ κηπευτὸς. σαμψυχίζων τῇ ὀσμῇ. καὶ στεφανωματικός. ὠνόμασται δὲ ἀπὸ τοῦ ἕρπειν τε καὶ ὅ,τι ἂν αὐτοῦ μέρος θίγῃ τῆς γῆς ῥιζοβολεῖν. ἔχει δὲ φύλλα καὶ κλωνία ὀριγάνῳ ἐμφερῆ. πλὴν λευκότερα. ἀπὸ δὲ αἱμασιῶν κατατιθέμενος, εὐαυξέστερος γίνεται. ὁ δέ τις ἐστὶν ἄγριος· ὃς καὶ ζυγὶς καλεῖται· οὐχ ἕρπων. ἀλλ᾽ ὀρθὸς κλωνία ἀνιεὶς λεπτὰ φρυγανώδη· φύλλων περίπλεα ὁμοίων πηγάνῳ. ὑπόστενα δὲ ἐστὶ καὶ ἐπιμηκέστερα. καὶ σκληρότερα. ἄνθη γευομένῳ δριμέα. ὀσμὴν ἡδεῖα. ῥίζα ἄχρηστος. φύεται ἐν πέτραις ἐνεργέστερος καὶ θερμαντικώτερος τοῦ κηπευτοῦ ὑπάρχων. καὶ πρὸς τὴν ἰατρικὴν χρῆσιν ἐπιτηδειότερος. ἔμμηνα γὰρ ἄγει καὶ οὖρα κινεῖ ποτιζόμενος. ὠφελεῖ στρόφους. ῥήγματα, σπάσματα. ἥπατος φλεγμονάς. καὶ πρὸς ἑρπετὰ πινόμενός τε καὶ καταπλασσόμενος. κεφαλῆς τε ὀδύνην παραμυθεῖται ἑψηθεὶς ῥοδίνου μιγέντος αὐτῷ, σὺν ὄξει καὶ καταβραχεὶς μάλιστα δὲ ἐπὶ ληθάργου καὶ φρενίτιδος ἁρμόζει. παύει δὲ καὶ ἔμετον αἵματος < δ΄ πλῆθος μετ᾽ ὄξους ποθεὶς ὁ χυλὸς αὐτοῦ.

Περὶ σαμψύχου. νμα΄.

Σάμψυχον. οἱ δὲ, τρίφυλλον. οἱ δὲ, ἀμάρακον. οἱ δὲ, ἀγαθίδες. οἱ δὲ, κνίκιον. οἱ δὲ, ἀκαπνόν. Πυθαγόρας θραμβεῖς. αἰγύπτιοι σοφό. ἀρμένιοι μύουρον. προφῆται ὄνος ἴχεως. οἱ δὲ, ἠκίζγιος ἴσεως. ῥωμαῖοι μαιζουράνα. κράτιστον τὸ κυζικηνὸν καὶ κύπριον. δεύτερον δὲ τούτων τὸ αἰγύπτιον. καλεῖται δὲ ὑπὸ κυζικηνῶν καὶ τῶν ἐν σικελίᾳ ἀμάρακον. πόα δὲ ἐστὶ πολύκλωνος. ἕρπουσα ἐπὶ τῆς γῆς. φύλλα δασέα καὶ περιφερῆ ἔχουσα. ὅμοια τοῖς τῆς λεπτοφύλλου καλαμίνθης. σφόδρα εὐώδης καὶ θερμαντική. πλεκομένη καὶ εἰς στεφάνους. ἁρμόζει δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον ἐπὶ ἀρχομένων ὑδρωπικῶν. καὶ δυσουρούντων καὶ στροφουμένων. ξηρὰ δὲ τὰ φύλλα ἐπιπλασθέντα μετὰ μέλιτος, αἴρει ὑπώπια. καὶ ἔμμηνα ἄγει ἐν προσθέτῳ. πρὸς δὲ σκορπίου πληγὴν μετὰ ἁλῶν καὶ ὄξους καταπλάσσεται. πρὸς δὲ στρέμματα μετὰ κηρωτῆς ἀναληφθέντα ἐπιτίθεται. καὶ πρὸς οἰδήματα ὁμοίως ἀναληφθέντα κηρωτῇ. καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς καταπλάσσεται μετὰ παιπάλης ἀλφίτου. ὁμοίως καὶ πρὸς οἰδήματα. μίγνυται δὲ καὶ ἀκόποις καὶ μαλάγμασι πρὸς τὸ θερμαίνειν.

Περὶ μελιλώτου. νμβ΄.

Μελίλωτος κράτιστος ὁ ἀττικὸς καὶ ὁ ἐν κυζίκῳ. καὶ ὁ ἐν καλχηδόνι γεννώμενος. κροκίζων καὶ εὐώδης. φύεται δὲ καὶ ἐν καμπανίᾳ περὶ νώλαν. μηλίζων. καὶ ἄτονος κατὰ τὴν εὐωδίαν. δύναμιν δὲ ἔχει στυπτικήν. μαλακτικὴν πάσης φλεγμονῆς. μάλιστα δὲ τῆς περὶ ὀφθαλμοὺς καὶ μήτρας καὶ δακτύλιον καὶ διδύμους μετὰ γλυκέος ἑψηθεὶς καὶ καταπλασθείς. ἐνίοτε δὲ καὶ ᾠοῦ λεκύθου ὀπτῆς παραμιγείσης, ἢ τηλίνου ἀλεύρου. ἢ λινοσπέρμου ἢ γύρεως. ἢ κωδιῶν. ἢ σέρεως. θεραπεύει καὶ μελικηρίδας προσφάτους καθ᾽ ἑαυτὸν ἐν ὕδατι. καὶ ἀχῶρας σὺν γῇ χίᾳ καὶ οἴνῳ ἢ κηκῖδι καταχριόμενος. ἀλγήματί τε στομάχου μετ᾽ οἴνου ἑφθὸς καὶ ὠμὸς σύν τινι τῶν προειρημένων. καὶ ὠταλγίας παύει σὺν γλυκεῖ ὠμὸς χυλισθεὶς καὶ ἐνσταζόμενος. καὶ κεφαλαλγίας

πραΰνει

πραΰνει ἐμβρεχόμενος μετ' ὄξους καὶ ῥοδίνου.

Περὶ μάρου. κεφ. υμγ.

Μάρον. οἱ δὲ, ὀριγανίδα καλοῦσιν ἢ ὑσσώπειον. πόα γνώριμος. φρυγανώδης. ὁμοία τῷ ἀφ' ὀριγάνῳ. τὰ μέντοι φύλλα τούτου λευκότερα πολλῷ καὶ τὸ ἄνθος εὐωδέστερον. ἔχει δὲ δύναμιν ὁμοίαν σισυμβρίῳ. ὑπόστυφον καὶ θερμαῖνον ἠρέμα. ὅθεν νομάς τε ἵστησι καταπλασσόμενον. καὶ εἰς τὰ θερμὰ τῶν συγχρισμάτων μίσγονται. γίνεται δὲ καὶ κατὰ μαγνησίαν καὶ τράλλεις πλεῖστον.

Περὶ ἀκίνου. κεφ. υμδ.

Ἄκινος ἢ ἄκονος. οἱ δὲ ἄγριον βασιλικόν. ῥωμαῖοι ὠκιμάστρουμ. πόα ἐστὶ λεπτόκαρφος, στεφανωματική. παραπλησία ὠκίμῳ. δασυτέρα δὲ καὶ εὐώδης. παρ' ἐνίοις δὲ καὶ κηπεύεται. ἵστησι δὲ κοιλίας καὶ ἔμμηνα πινομένη. φύγεθλά τε καὶ ἐρυσιπέλατα καταπλασσομένη ἰᾶται.

Περὶ βακχάριος. κεφ. υμε.

Βάκχαρις βοτάνη ἐστὶ θυμιατώδης καὶ στεφανωματική, ἧς τὰ φύλλα τραχέα, μέγεθος ἔχοντα μεταξὺ ἴου καὶ φλόμου. καυλὸς δὲ γωνιώδης. πῆχυς τὸ ὕψος. ὑπότραχυς ἔχων παραφυάδας. ἄνθη δὲ ἐμπόρφυρα. ὑπόλευκα εὐώδη. ῥίζαι δὲ ὅμοιαι ταῖς τοῦ μέλανος ἐλλεβόρου. ἐοικυῖαι τῇ ὀσμῇ κινναμώμῳ. φιλεῖ δὲ τραχέα χωρία καὶ ἔνικμα. ταύτης ἡ ῥίζα ἑψηθεῖσα σὺν ὕδατι, βοηθεῖ σπάσμασι. ῥήγμασι. πτώμασι. δυσπνοίαις. βηχὶ χρονίᾳ. δυσουρίᾳ. ἄγει δὲ καὶ ἔμμηνα. καὶ θηριοδήκτοις χρησίμως σὺν οἴνῳ δίδοται. προστεθεῖσα δὲ μία τῶν ἁπαλῶν ῥιζῶν, ἕλκει ἔμβρυα. ταῖς λεχοῖς εἰς ἐγκάθισμα τὸ ἀφέψημα αὐτῆς ἁρμόζει. καὶ εἰς διαπάσματα χρησιμεύει. ἱκανὴν ἔχουσα τὴν εὐωδίαν. τὰ δὲ φύλλα στυπτικὰ ὄντα καταπλασσόμενα ὠφελεῖ κεφαλαλγίας. ὀφθαλμῶν φλεγμονάς. καὶ αἰγίλωπας ἀρχομένους. καὶ μαστοὺς ἐκ τόκου φλεγμαίνοντας. καὶ ἐρυσιπέλατα. ἔστι δὲ καὶ ὑπνοποιὸς ἡ ὀσμή.

Περὶ πηγάνου. κεφ. υμϛ.

Πήγανον ὀρεινόν. οἱ δὲ, ῥυτὴ ὀρεινή. ῥωμαῖοι ῥοῦτα μοντάνα. πήγανον κηπευτόν. ῥωμαῖοι ῥοῦτα ὁρτένσις. αἰγύπτιοι ἐπνουβοῦ. σύροι ἀρμαλᾶ. οἱ δὲ, βησασᾶ. ἄφροι χυρμᾶ. πήγανον τὸ ὀρεινὸν καὶ ἄγριον, τοῦ ἡμέρου καὶ κηπευτοῦ δριμύτερον καὶ ἄβρωτον πρὸς βρῶσιν. τὸ δὲ κηπευτὸν ἐδωδιμώτερον τὸ παρὰ ταῖς συκαῖς φυόμενον. ἀμφότερα δὲ καυστικά. θερμαντικά. ἑλκωτικά. οὐρητικά. ἐμμήνων ἀγωγά. ἐσθιόμενά τε καὶ πινόμενα, κοιλίαν ἱστῶσι. καὶ τῶν φθαρτικῶν φαρμάκων ἐστὶν ἀντίδοτος. ὅσον ὀξύβαφον τοῦ σπέρματος ποθέντος σὺν οἴνῳ. καὶ προβρωθέντα δὲ τὰ φύλλα καθ' ἑαυτά, καὶ μετὰ καρύων βασιλικῶν καὶ σύκων ξηρῶν, ἄπρακτα καθίστησι τὰ θανάσιμα. καὶ πρὸς ἑρπετὰ ἁρμόζει ὁμοίως λαμβανόμενα. γονήν τε σβεννύουσιν ἐσθιόμενα καὶ πινόμενα. ἑψηθὲν δὲ σὺν ἀνήθῳ ξηρῷ καὶ ποθὲν, στρόφους παύει. ποιεῖ δὲ καὶ πρὸς πλευρῶν πόνον καὶ θώρακος. δύσπνοιαν. βῆχας. περιπνευμονίας. ἀλγήματα ἰσχίων. ἄρθρων. ῥίγη περιοδικὰ πινόμενον ὡς προείρηται. καὶ πρὸς ἐμπνευματώσεις δὲ κώλου καὶ ὑστέρας καὶ ἀπευθυσμένου, ἑψηθὲν καὶ ἐνεθέν. πνίγας τε ὑστερικὰς μετὰ μέλιτος κατὰ τοῦ αἰδοίου ἄχρι δακτυλίου ἐπιτεθὲν παραιτεῖται. ἀναζεσθὲν δὲ σὺν ἐλαίῳ καὶ ποθὲν, ἕλμινθας ἐκτινάσσει. καταπλάσσεται δὲ καὶ πρὸς ἄρθρων ἀλγήματα σὺν μέλιτι. σὺν δὲ σύκῳ πρὸς ὕδρωπας ὑποσαρκίους. καὶ πινόμενον δὲ βοηθεῖ τούτοις, καὶ καθεψηθὲν ἐν οἴνῳ ἄχρις ἡμίσους καὶ περισμηχόμενον. ἔστι δὲ καὶ ὀξυωπὲς ἐσθιόμενον ὠμὸν καὶ ταριχευτόν. καὶ τὰς ἐν ὀφθαλμοῖς περιωδυνίας σὺν ἀλφίτῳ καταπλασθὲν πραΰνει. σὺν ῥοδίνῳ δὲ καὶ ὄξει κεφαλαλγοῦσι βοηθεῖ. καὶ αἱμορραγίας τὰς ἐκ τῶν μυκτήρων λεῖον ἐπιτιθὲν ἵστησι. τὰς δὲ τῶν δι-

διδύμων φλεγμονὰς σὺν δάφνης φύλλοις καταπλασθὲν ὠφελεῖ. καὶ τὰ ἐξανθήματα σὺν μυρσίνῃ καὶ κηρωτῇ. σὺν οἴνῳ δὲ καὶ πεπέρει καὶ νίτρῳ περισμώμενον, λεύκην ἀλφὸν ἰᾶται. καὶ καταπλασθὲν δὲ μετὰ τῶν αὐτῶν, θύμους καὶ μυρμηκίας αἴρει. ὠφελεῖ καὶ λειχῆνας σὺν μέλιτι καὶ στυπτηρίᾳ ἐπιτιθέμενον. ὁ δὲ χυλὸς ποιεῖ πρὸς ὠταλγίαν ἐν σιδίῳ θερμαινόμενος καὶ ἐγχεόμενος. καὶ ἀμβλυωπίαις βοηθεῖ μετὰ μαλάθρου χυλοῦ καὶ μέλιτος ἐγχριόμενος. ἐρυσιπέλατά τε καὶ ἕρπητας καὶ ἀχῶρας σὺν ὄξει καὶ ψιμμυθίῳ καὶ ῥοδίνῳ καταχριόμενος ἰᾶται. τάς τε ἀπὸ σκορόδων καὶ κρομμύων δριμύτητας, παύει ἐπιμασηθέν. τὸ δὲ ὀρεινὸν πολὺ βρωθὲν κτείνει. ὑπὸ δὲ τὴν ἄνθησιν εἰς τὰς ἁλμεύσεις συλλεγόμενον, φοινίσσει. καὶ φυσᾷ τὸν χρῶτα σὺν κνησμῷ καὶ φλεγμονῇ σφοδρᾷ. δεῖ δὲ προαλειψαμένους τὸ πρόσωπον καὶ τὰς χεῖρας, οὕτω συλλέγειν. φασὶ δὲ τὸν χυλὸν ἐπιρραθέντα ὀρνιθίοις, ἀπερύκειν τοὺς αἰλούρους. τὸ δὲ ἐν μακεδονίᾳ φυόμενον περὶ τὸν ὅλκιμον ποταμὸν ἀναιρεῖν φασὶ βρωθέν. ὀρεινὸς δὲ ὁ τόπος ὑπάρχει καὶ ἐχιδνῶν πλήρης. τὸ δὲ σπέρμα αὐτοῦ πινόμενον, πρὸς τὰ ἐντὸς ποιεῖ. καὶ ἀντιδότοις μίγνυται χρησίμως. καὶ φρύξας δὲ τὸ σπέρμα αὐτοῦ, δὸς πίνειν ἐπὶ ἡμέρας ζ΄ τῷ ἐνουροῦντι. καὶ παύσει. ἡ δὲ ῥίζα αὐτοῦ λέγεται μῶλυ ὀρεινόν. τὸ οὖν ἄγριον πήγανον ὅμοιον τῷ ἡμέρῳ. πινόμενον δὲ ὠφελεῖ ἐπιληπτικοῖς καὶ ἰσχιαδικοῖς. κινεῖ δὲ καὶ καταμήνια. τὰ δὲ ἔμβρυα φθείρει. δριμύτερον δέ ἐστι τοῦ ἡμέρου. καὶ τῇ ἐνεργείᾳ δυνατώτερον. οὐ δεῖ δὲ τὴν ἀγρίαν ἐσθίειν. διότι ἐπιβλαβής ἐστι.

### Περὶ πηγάνου ἀγρίου. υμζ.

Πήγανον ἄγριον. οἱ δὲ, ὑπερικόν. οἱ δὲ, ἀνδρόσαιμον. οἱ δὲ, κόριον. οἱ δὲ, χαμαιπίτυν. ῥωμαῖοι ἑδεράλις. οἱ δὲ, σεντουνιάλις. ἄφροι χουρμα σεμμακειδ. διὰ δὲ τὸ τὴν περὶ τὸ σπέρμα ὀσμὴν ἐοικέναι πιτυίνῃ ῥητίνῃ, ὠνόμασται χαμαιπίτυς. φύλλα ἔχει πηγάνῳ παραπλήσια. θαμνίον φρυγανῶδες. ὑπέρυθρον. ἄνθος ἔχον μήλινον. ὃ διατριβὲν ἐν τοῖς δακτύλοις, αἱματώδη τὸν χυλὸν ἐκκρίνει. ὅθεν καὶ ἀνδρόσαιμον ἐκλήθη. κλωνάρια δὲ ὑπόδασεα. προμήκη ἐν τῷ περιφερεῖ ὅμοιον κριθῇ. ἐν ᾧ σπέρμα μέλαν. ῥητίνης ὄζον. φύεται ἐν ἐργασίμοις καὶ τραχέσι χωρίοις. δύναμιν δὲ ἔχει διουρητικὴν. καὶ ἐμμήνων ἀγωγὸν προστιθέμενον. τεταρταίου ἀπαλλακτικὴν μετ᾽ οἴνου πινόμενον. τὰ δὲ φύλλα σὺν τῷ σπέρματι καταπλαττόμενα, κατακαύματα ἰῶνται. θεραπεύει δὲ καὶ ἰσχιάδας ἐφ᾽ ἡμέρας τεσσαράκοντα πινόμενον. ἐν ἄλλοις καὶ ταῦτα. καλοῦσι δέ τινες οὕτως ἄγριον πήγανον, καὶ τὸ ἐν τῇ καππαδοκίᾳ. καὶ τὸ ἐν τῇ κατὰ τὴν ἀσίαν γαλατίᾳ λεγόμενον μῶλυ. ἔστι δὲ θάμνος ἀπὸ μιᾶς ῥίζης πλείονας ῥάβδους ἀναφέρων. ἔχει φύλλα μακρότερα πολλῷ τοῦ ἄλλου πηγάνου καὶ τρυφερώτερα. βαρύοσμα. ἄνθος λευκόν. ἐπάκρου τε κεφάλια ὀλίγῳ μείζονα τοῦ ἡμέρου πηγάνου. ἐκ τριῶν μάλιστα μερῶν συγκείμενα. ἐν οἷς σπέρμα τρίγωνον. ὑπόκιρρον. πικρὸν μάλιστα πρὸς τὴν γεῦσιν, οὗ καὶ ἡ χρῆσις. φθινοπώρου δὲ ἐκπεπαίνεται τὸ σπέρμα. ἁρμόζον πρὸς ἀμβλυωπίας, μετὰ μέλιτος λειαινόμενον καὶ οἴνου καὶ χολῆς ἀλεκτορίδων. κρόκου τε καὶ μαράθρου χυλοῦ. καλοῦσι δέ τινες αὐτὸ ἅρμαλα. σύροι βησασᾶ. καππαδόκαι δὲ μῶλυ. ἐπειδὴ κατά τι ποσὸν σώζει τὴν πρὸς τὸ μῶλυ ἐμφέρειαν. τῇ ῥίζῃ μέλαν καὶ τῷ ἄνθει λευκὸν ὑπάρχον. φύεται δὲ ἐν γεωλόφοις καὶ εὐγείοις χωρίοις.

### Περὶ μώλυος. υμη.

Μῶλυ. οἱ δὲ, λευκόιον ἄγριον καλοῦσι. τὰ μὲν φύλλα ἔχει ἀγρώστει ὅμοια. πλατύτε-

ΤΡΙΤΟΝ

ρα δὲ ἐπὶ γῆν ὄντα. ἄνθη λευκά. ὅμοια γαλακτόχροα. ἥσσονα δὲ πρὸς τὰ τοῦ ἴου. καυλὸν δὲ λευκόν. πήχεων τε ἀπέρων. ἐπ' ἄκρου δὲ ἔπεστιν ὡς σκοροδοειδές. ἡ ῥίζα δὲ μικρὰ βολβοειδής. αὕτη σφόδρα ἀγαθὴ πρὸς ὑστέρας ἀναστομώσεις. τετριμμένη μετὰ ἰρίνου μύρου καὶ προστιθεμένη ἐν πεσσῷ.

Περὶ πάνακος. νμθ.

Πάναξ οἱ δὲ ἡράκλειον. ἐξ οὗ ὁ ὀπόπαναξ συλλέγεται. πλεῖστος γίνεται ἐν Βοιωτίᾳ. καὶ ἐν Φωκίδι τῆς Ἀρκαδίας. ὥστε καὶ ἐπίτηδες κηπεύεσθαι διὰ τὴν ἐκ τοῦ ὀποῦ πρόσοδον. φύλλα δὲ ἔχει τραχέα. χαμαιπετῆ. χλωρὰ σφόδρα πρὸς τὰ τῆς συκῆς. ἐν τῷ περιφερεῖ ἐπισχισμένα πενταμερῶς. καυλὸν δὲ ὥσπερ νάρθηκα ὑψηλότατον. ἔχοντα χνοῦν λευκὸν καὶ φύλλα περὶ αὐτὸν μικρότερα. σκιάδιον δὲ ὥσπερ νάρθηκα ἐπ' ἄκρου ὡς ἀνήθου. ἄνθος δὲ μήλινον. σπέρμα εὐῶδες καὶ πυρωτικόν. ῥίζας πλείονας ἐκ μιᾶς ἀρχῆς. λευκάς. βαρυόσμους. παχὺν ἐχούσας τὸν φλοιόν. ὑπόπικρον τῇ γεύσει. φύεται δὲ ἐν Κυρήνῃ τῆς Λιβύης καὶ ἐν Μακεδονίᾳ. ὀπίζεται δὲ ἡ ῥίζα, περιτεμνομένη ἀρτιβλαστῶν ὄντων τῶν καυλῶν. ἀνίησι δὲ λευκὸν ὀπόν. ὃς ξηρανθεὶς κατὰ τὴν ἐπιφάνειαν κροκίζει. δέχονται δὲ τὸν ῥέοντα εἰς φύλλα προϋποτιθέντες εἰς κεκοιλωμένον ἔδαφος. ἀναιροῦνται ξηρανθέντα. ὀπίζουσι δὲ καὶ τὸν καυλὸν περιτέμνοντες εἰς τὸν πυραμητόν. ὁμοίως δεχόμενοι τὸ ἀπορρέον. εἰσὶ δὲ τῶν ῥιζῶν βελτίους αἱ τεταναὶ καὶ λευκαὶ καὶ ξηραί. ἄβρωτοί τε καὶ πυρώδεις ἐν τῇ γεύσει καὶ ἀρωματίζουσαι. καρπὸς δὲ εὔθετος ὁ ἐκ μέσου τοῦ νάρθηκος. ὁ γὰρ ἐκ τῶν παραφυάδων ἐστὶν ἀτροφώτερος. τοῦ δὲ ὀποῦ διαφέρει ὁ πικρότατος τῇ γεύσει. ἔνδοθεν μὲν λευκὸς καὶ ὑπόκιρρος. ὁ ἔξωθεν δὲ κροκίζων. λεῖος. λιπαρός. εὔθρυπτος. εὔτηκτος. ταχὺ δὲ διιέμενος. βαρύοσμος. ὁ δὲ μέλας φαῦλος καὶ μαλακός. δολοῦται γὰρ ἀμμωνιακῷ ἢ κηρῷ. δοκιμάζεται δὲ ὕδατι διατριβόμενος τοῖς δακτύλοις. ὁ γὰρ ἄδολος ἀνίεται καὶ γαλακτοῦται. δύναμις δὲ αὐτοῦ ἐστὶ θερμαντική. μαλακτική. λεπτυντική. ὅθεν ἁρμόζει πρὸς περιόδους καὶ ῥίγη. σπάσματα. ῥήγματα. πλευρᾶς ἀλγήματα. βῆχας. στρόφους. στραγγουρίας. ψώρας τὰς ἐν κύστει σὺν μελικράτῳ ἢ οἴνῳ πιπιζόμενος. ἔμμηνά τε ἄγει. καὶ ἔμβρυα φθείρει. καὶ ἐμπνευματώσεις τὰς ἐν ὑστέρᾳ καὶ σκληρίας διαφορεῖ σὺν μέλιτι ἀνεθείς. ἔστι δὲ καὶ σύγχρισμα ἰσχιάδος. μίγνυται δὲ καὶ ἀκόποις καὶ κεφαλικαῖς δυνάμεσι. περιρρήγνυσι δὲ καὶ ἄνθρακας. ἁρμόζει καὶ ποδαγρικοῖς μετὰ σταφίδος ἡμέρου καταπλασσόμενος. παρηγορεῖται δὲ καὶ τὰ τῶν ὀδόντων ἀλγήματα ἐντιθέμενος τοῖς βρώμασι. ὀφθαλμῶν τε ἐστὶν ὀξυδερκὲς ὑπεγχριστόν. μιγεὶς δὲ πίσσῃ ἔμπλαστρός ἐστι πρὸς τὰ λυσσοδήκτων [illegible]. καὶ ἡ ῥίζα δὲ ξυσθεῖσα καὶ προστιθεμένη μήτρᾳ, ἄγει ἔμβρυα. πρός τε ἕλκη ποιεῖ παλαιά. καὶ τὰ ἐψιλωμένα τῶν ὀστέων σαρκοῖ λεία καταπλασσομένη καὶ σὺν μέλιτι ἐγχριομένη. ὁ δὲ καρπὸς αὐτοῦ σὺν ἀψινθίῳ ληφθεὶς ἄγει ἔμμηνα. σὺν ἀριστολοχίᾳ δὲ πρὸς τὰ ἰοβόλα ἁρμόζει. καὶ πρὸς τὰς ὑστερικὰς πνίγας σὺν οἴνῳ πιπιζόμενος.

Περὶ πάνακος ἀσκληπιοῦ. νν.

Πάναξ ἀσκληπιοῦ, ἀνίησιν ἀπὸ γῆς καυλὸν λεπτόν. πηχυαῖον. γόνασι διειλημμένον. περὶ ὃν τὰ φύλλα ὅμοια μαράθρῳ. μείζονα δὲ καὶ δασύτερα. εὐώδη. καὶ ἐπ' ἄκρου σκιάδιον. ἐφ' οὗ τὰ ἄνθη χρυσοειδῆ, δριμέα. εὐώδη. ῥίζα δὲ μικρά. λεπτή. δύναμιν δὲ ἔχει εὔθετον τὸ ἄνθος καὶ ὁ καρπὸς πρὸς ἕλκη καὶ φύματα καὶ φαγεδαίνας. λεῖος σὺν μέλιτι ποι-

πιθέμενος. καὶ πρὸς ἑρπετὰ πινόμενος σὺν οἴνῳ. καὶ συναλειφόμενος σὺν ἐλαίῳ. καλοῦσι δέ τινες πάνακες καὶ τὴν ἀγρίαν ὀρίγανον. οἷον, κονίλην περὶ ἧς εἴρηται ἐν τοῖς περὶ ὀριγάνου.

Περὶ πάνακος χειρωνίου. κεφ. να.

Πάνακες χειρώνιον. φύεται μάλιστα ἐν τῷ πηλείῳ ὄρει. φύλλα δὲ ἔχει ἀμαράκῳ ἐμφερῆ. ἄνθη χρυσοειδῆ. ῥίζαν λεπτὴν, καὶ οὐ βαθεῖαν. γευομένῳ δὲ δριμεῖαν. δύναμιν δὲ ἔχει ἡ ῥίζα πρὸς ἑρπετὰ πινομένη. καὶ ἡ κόμη δὲ ἐπιπλαττομένη πρὸς τὰ αὐτὰ ποιεῖ.

Περὶ λιγυστικοῦ. κεφ. νβ.

Λιγυστικὸν οἱ δὲ, πανάκεα καλοῦσιν. οἱ δὲ, πάνακες. φύεται μὲν πλεῖστον ἐν Λιγυρίᾳ. ὅθεν καὶ τὴν προσωνυμίαν ἔσχηκεν ἐν τῷ καλουμένῳ ἀπεννίνῳ. ὄρος δέ ἐστιν ὁμοροῦν ταῖς ἄλπεσι. πάνακες δὲ αὐτὸ καλοῦσιν οἱ ἐπιχώριοι οὐκ ἀλόγως. ἐπεὶ ἡ ῥίζα καὶ ὁ καυλὸς ἔοικε τῇ τοῦ ἡρακλειωτικοῦ πάνακος. καὶ ἡ δύναμις ὁμοία καθέστηκε. φύεται δὲ ἐν τοῖς ὑψηλοτάτοις καὶ τραχυτέροις καὶ συσκίοις ὄρεσι. μάλιστα δὲ παρὰ τοῖς ῥύαξι. καυλίον δὲ φέρει λεπτόν. ὅμοιον ἀνήθῳ. γονατώδη. περὶ ὃ φύλλα ἐοικότα τοῖς τοῦ μελιλώτου. μαλακώτερα δὲ καὶ εὐώδη. ἰσχνότερα δὲ τὰ πρὸς ἄκρῳ τῷ καυλῷ. καὶ μᾶλλον ἐσχισμένα. ἐπ' ἄκρου δὲ σκιάδιον. ἐφ' οὗ καὶ τὸ σπέρμα. μέλαν. ναστόν. ὑπομῆκες πρὸς τὸ τοῦ μαράθρου. γευομένῳ δὲ δριμὺ καὶ ἀρωματίζον. ῥίζα λευκή. ὁμοία τῇ τοῦ ἡρακλεωτικοῦ πάνακος. εὐώδης. δύναμις δὲ τοῦ σπέρματος καὶ τῆς ῥίζης θερμαντική. πεπτική. ἁρμόζουσα πρὸς τὰ ἐντὸς ἀλγήματα καὶ σπασμοὺς καὶ οἰδήματα καὶ ἐμπνευματώσεις. καὶ μάλιστα τὰ περὶ στόμαχον. καὶ πρὸς θηρίων πληγάς. ἄγει δὲ καὶ οὖρα καὶ ἔμμηνα πινομένη. καὶ ἡ ῥίζα δὲ προστιθεμένη τὸ αὐτὸ ποιεῖ. μίγνυται δὲ ἡ ῥίζα καὶ τὸ σπέρμα χρησίμως καὶ τοῖς ὀξυπόροις καὶ ταῖς πεπτικαῖς δυνάμεσιν. ἱκανῶς δὲ εὐστόμαχόν ἐστιν. ὅθεν καὶ ἀντὶ πεπέρεως αὐτῷ χρῶνται οἱ ἐπιχώριοι. μίσγοντες τοῖς προσοψήμασι. δολοῦται δὲ σπέρματί τινι προσομοίῳ. ὃ διακρινεῖς τῇ γεύσει. πικρὸν γάρ ἐστιν. ἔνιοι δὲ καὶ σπέρμα μαράθρου ἢ σεσέλεως συμμίσγοντες, δολοῦσιν αὐτό.

Περὶ σταφυλίνου. κεφ. νγ.

Σταφυλῖνος ἄγριος. οἱ δὲ, κερασηόμην. ῥωμαῖοι καρότταμ. οἱ δὲ φασινάκα ρούστικα. αἰγύπτιοι βαβιβυρού. ἀφροσιγάμ. φύλλα ἔχει ὅμοια γιγγιδίῳ. πλατύτερα δὲ καὶ ὑπόπικρα. καυλὸν δὲ ὄρθιον. τραχύν. σκιάδιον ἔχοντα ἀνήθῳ παραπλήσιον. ἐφ' οὗ ἄνθη λευκά. ἐν μέσῳ δὲ πορφυροειδές τι μικρόν. καὶ οἱονεὶ κροκίζον. ῥίζα δὲ δακτύλου τὸ πάχος. σπιθαμιαία. εὐώδης. ἑψομένη ἐσθίεται. τούτου ὁ καρπὸς ποθεὶς ἢ προστεθεὶς, ἔμμηνα κινεῖ. ἁρμόζει καὶ δυσουροῦσι καὶ ὑδρωπικοῖς καὶ πλευριτικοῖς ἐν πόμασι. καὶ πρὸς θηρίων δὲ δήγματα καὶ πληγάς. τοὺς δὲ προλαβόντας φασὶ μὴ ἀδικεῖσθαι ὑπὸ θηρίων. συνεργεῖ δὲ καὶ συλλήψει. ἡ δὲ ῥίζα καὶ αὐτὴ οὐρητικὴ οὖσα συνουσίας τε παρορμᾷ καὶ ἔμβρυα ἐκβάλλει προστιθεμένη. τὰ δὲ φύλλα λεῖα μετὰ μέλιτος ἐπιτιθέμενα, τὰ φαγεδαινικὰ ἕλκη ἀνακαθαίρει. ὁ δὲ κηπευτὸς σταφυλῖνος ἐδωδιμώτερος ὤν, ἁρμόζει πρὸς τὰ αὐτὰ ἐνδεέστερον ἐνεργῶν.

Περὶ σεσέλεως μασσαλεωτικοῦ. κεφ. νδ.

Σέσελι τὸ μασσαλεωτικόν. οἱ δὲ, σφάγνον. φύλλα ἔχει ἐοικότα μαράθρῳ. παχύτερα δὲ καὶ τὸν καυλὸν εὐερνέστερον ἔχει. ἔχει δὲ σκιάδιον ἀνήθῳ ὅμοιον. ἐφ' οὗ ὁ καρπὸς ἐπιμήκης γωνιούμενος. δριμὺς βιβρωσκόμενος ταχέως. ῥίζα μακρὰ εὐώδης. δύναμιν δὲ

μιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα θερμαντικήν. πινόμενα δὲ στραγγουρίαν ἰᾶται καὶ ὀρθόπνοιαν· ὠφελεῖ δὲ καὶ ὑστερικὰς πνίγας καὶ ἐπιληπτικούς. ἔμμηνά τε ἄγει καὶ ἔμβρυα. καὶ πρὸς τὰ ἐντὸς πάντα ποιεῖ. καὶ βῆχας ἰᾶται παλαιάς. πινόμενός τε μετὰ οἴνου ὁ καρπὸς, πεπτικός ἐστι καὶ στρόφων λυτικός. ἢ παλαιός τε χρήσιμος δὲ πρὸς τοὺς ἐν ὁδοῖς κρυμοὺς σὺν πεπέρει καὶ οἴνῳ πίνεται. δίδοται δὲ καὶ αἰξὶ καὶ τοῖς λοιποῖς κτήνεσι πρὸς εὐτοκίαν ποτόν.

Περὶ σεσέλεως αἰθιοπικοῦ. κε. νε.

Τὸ δὲ αἰθιοπικὸν λεγόμενον σέσελι, ὃ αἰγύπτιοι κυόνον φρίκην καλοῦσι, φύλλα μὲν ἔχει ὅμοια κισσοῦ, ἐλάσσονα δὲ καὶ ὑπομήκη πρὸς τὰ τοῦ περικλυμένου. θάμνος δὲ μέλας ἐστὶ κλήματα ὡς δύο πηχῶν ἔχων· ἐφ᾽ οὓς κλάδοι σπιθαμιαῖοι. κεφάλια δὲ ὡς ἀνήθου. σπέρμα δὲ πυκνὸν ὡς πυρὸς, μέλαν, πικρόν. δριμύτερον δὲ καὶ εὐωδέστερον τοῦ μασσαλεωτικοῦ, ἡδὺ ἰσχυρῶς.

Περὶ σεσέλεως πελοποννησιακοῦ. κε. νς.

Τὸ δὲ ἐν πελοποννήσῳ γεννώμενον, φύλλα ἔχει κωνείῳ παραπλήσια, πλατύτερα δὲ καὶ παχύτερα. καυλὸν μείζονα τοῦ μασσαλεωτικοῦ, ναρθηκοειδῆ, ἐπ᾽ ἄκρῳ δὲ τούτου σκιάδιον πλατύ. ἐν δὲ τούτῳ καρπὸς πλατύτερος καὶ εὐώδης καὶ σαρκωδέστερος. δύναμιν δὲ τὴν αὐτὴν ἔχει. φύεται ἐν τόποις τραχέσι καὶ ἐφύγροις καὶ γεωλόφοις. φύεται δὲ καὶ ἐν ἴδῃ.

Περὶ τορδύλου. κε. νζ.

Τορδύλιον· οἱ δὲ, τόρδυλον· ἔνιοι ἡ σέσελι κρητικὸν καλοῦσι. φύεται ἐν τῷ κατὰ κιλικίαν ἀμανῷ. ἔστι δὲ βοτάνιον φρυγανῶδες, ἔχον σπέρμα τι περιφερὲς, διπλοῦν, ὅμοιον ἀσπιδίσκοις, ὑπόδριμυ, εὐαρωματίζον. πινόμενον πρὸς δυσουρίαν καὶ ἔμμηνα ἀγωγόν. ὁ δὲ χυλὸς τοῦ καυλοῦ καὶ τοῦ σπέρματος ἐγχλώρου ὄντος, ἐστὶ τριωβόλου ποθεὶς σὺν γλυκεῖ ἐν ἡμέραις δέκα, νεφριτικοὺς ὠφελεῖ. ἡ δὲ ῥίζα πρακτική, ἀνάγουσα καὶ τὰ ἐκ θώρακος ἐκλειχομένη μετὰ μέλιτος. Ἐν ἄλλῳ ἔχει δὲ κλωνία πολλὰ πρασινίζοντα, μηλίζοντα, πορφυρίζοντα. καὶ ἐπ᾽ ἄκρων ὅμοια στροβιλοειδῆ. ἔχοντα ἔσωθεν ὡς σπέρματα τὰ ἄνθη.

Περὶ σίσωνος. κε. νη.

Σίσων σπερμάτιόν ἐστιν ἐν συρίᾳ γεννώμενον, παρόμοιον σελίνῳ, ἐπίμηκες, μέλαν, πυρωτικόν. πινόμενον πρὸς σπλῆνα καὶ δυσουρίαν καὶ ἐμμήνων ἐποχήν. χρῶνται δὲ αὐτῷ οἱ ἐπιχώριοι ἀρτύματι μετὰ κολοκύνθης ἑφθῆς σὺν ὄξει λαμβάνοντες. ἔχει δὲ ὡς κωνία πολλὰ ἐπ᾽ ἄκρων.

Περὶ ἀνίσου. κε. νθ.

Ἄνισον· οἱ δὲ, σίον· ῥωμαῖοι ἄνισουμ. σπερμάτιόν ἐστιν ἐν συρίᾳ γεννώμενον, ἐοικὸς σελίνῳ, περιμηκὲς, μέγα, πυρωτικόν. πινόμενον δὲ πρὸς σπλῆνα καὶ δυσουρίαν ἢ ἐμμήνων ἐποχήν. χρῶνται δὲ αὐτῷ οἱ ἐπιχώριοι ἀρτύματι μετὰ κολοκύνθης ἑφθῆς σὺν ὄξει λαμβάνοντες. τοῦτο δὲ τὸ ἄνισον, τὴν μὲν καθόλου δύναμιν ἔχει θερμαντικὴν, ξηραντικὴν, εὔπνοιαν ἀποδίδωσιν, οὐρητικὴν, διαχυτικὴν, ὑδρωπικοῖς ἄδιψον πινόμενον. ἁρμόζει δὲ πρὸς τὰ ἰοβόλα τῶν ζώων καὶ πρὸς ἐμπνευματώσεις. κοιλίαν τε ἵστησι καὶ λευκὸν ῥοῦν. καὶ γάλα κατασπᾷ· καὶ συνουσίας παρορμᾷ. ὑποθυμιώμενον δὲ ταῖς ῥισὶ κεφαλαλγίαν παύει. καὶ τὰς ῥήξεις δὲ τῶν ὤτων, λεῖον σὺν ῥοδίνῳ ἐνσταζόμενον ἰᾶται. ἔστι δὲ αὐτοῦ κρεῖσσον τὸ νέον καὶ ἀδρόν. καὶ μὴ πιτυρῶδες, εὔπνοον τῇ ὀσμῇ. πρωτεύει δὲ τὸ κρητικόν, ἔπειτα δὲ καὶ τὸ αἰγύπτιον.

τὸ ἄνηθον γνώριμον διουρητικόν. θερμαντικόν. εὐστόμαχον εὔστομον. πεπτικόν. μιγνύμενον ταῖς ἀντιδότοις καὶ ὀξυπόροις ἀναλογοῦν ἀνίσῳ καὶ ἡ ῥίζα ἑφθὴ ἐδώδιμος ὥσπερ σταφυλῖνος.

# ΒΙΒΛΙΟΝ

## Περὶ κάρου. κεφ. νζ.

Κάρος, σπερμάτιόν ἐστι γνώριμον. οὐρητικόν. θερμαντικόν. εὐστόμαχον. εὔστομον. πεπτικόν. μιγνύμενον ἐν ταῖς ἀντιδότοις καὶ ὀξυπόροις χρήσιμος. ἀναλογῶν ἀνίσῳ. ἡ δὲ ῥίζα ἑφθὴ ἐδώδιμος ὥσπερ σταφυλῖνος.

## Περὶ ἀνήθου. κεφ. νξα.

Ἄνηθον τὸ ἐσθιόμενον. οἱ δὲ, πόληθος. οἱ δὲ, ἀνίκητον. προφῆται γόνος κυνοκεφάλου. ὁμοίως τρίχες κυνοκεφάλου. οἱ δὲ, γόνος ἑρμοῦ. αἰγύπτιοι ἀραχοῦ. ῥωμαῖοι ἄνηθουμ. ἄφροι σικκίρια. δάκοι πόλποῦμ. ἀνήθου ξηροῦ ἡ κόμη καὶ τοῦ καρποῦ τὸ ἀφέψημα πινόμενον, γάλα κατάγει. στρόφους τε καὶ ἐμπνευματώσεις παύει. κοιλίαν τε καὶ τοὺς ἐπιπολαίους ἐμέτους ἵστησι. οὖρά τε κινεῖ. λυγμοὺς παρηγορεῖ. ἀμβλυωπεῖ τε τὰς ὄψεις καὶ γονὴν σβέννυσι συνεχῶς πινόμενον. χρήσιμον δὲ τὸ ἀφέψημα αὐτοῦ γυναιξὶν ὑστερικαῖς εἰς ἐγκάθισμα. τὸ δὲ σπέρμα καυθὲν καὶ καταπλασθὲν, κονδυλώματα αἴρει.

## Περὶ κυμίνου ἡμέρου. κεφ. νξβ.

Κύμινον τὸ ἥμερον εὔστομον. καὶ τούτου μᾶλλον τὸ αἰθιοπικόν. ὅπερ ἱπποκράτης βασιλικὸν ἐκάλεσε. δεύτερον τὸ αἰγύπτιον. εἶτα τὸ λοιπόν. φύεται ἐν γαλατίᾳ καὶ ἐν ἀσίᾳ καὶ κιλικίᾳ καὶ ταραντίνῃ. καὶ ἐν ἄλλοις πλείοσι τόποις. ἔστι δὲ θερμαντικόν. στυπτικόν. ξηραντικόν. ἁρμόζον πρὸς στρόφους καὶ ἐμπνευματώσεις. ἐγκλυζόμενον ἑφθὸν σὺν ἐλαίῳ καὶ καταπλασσόμενον σὺν ὠμηλύσει. δίδοται δὲ ὀρθοπνοικοῖς σὺν ὀξυκράτῳ. θηριοδήκτοις δὲ σὺν οἴνῳ. διδύμων τε φλεγμοναῖς ἀρήγει σὺν σταφίδι καὶ αἰρίνῳ ἀλεύρῳ ἢ κηρωτῇ ἐπιτιθέμενον. ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον. καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας. σὺν ὄξει λεῖον προσενεχθέν. τρέπει δὲ καὶ χρῶτα ἐπὶ τὸ ὠχρότερον πινόμενόν τε καὶ συγχριόμενον.

## Περὶ κυμίνου ἀγρίου. κεφ. νξγ.

Κύμινον ἄγριον. ῥωμαῖοι κύμινουμ ἀγρέστεμ. οἱ δὲ κύμινουμ σιλβάτικουμ. φύεται μὲν πλεῖστον καὶ ἐνεργέστερον ἐν λυκίᾳ καὶ ἀσίᾳ τῆς γαλατίας. καὶ ἐν καρχηδόνι τῆς ἱσπανίας. ἔστι δὲ θαμνίον ἔχον καυλὸν σπιθαμιαῖον. λεπτόν. ἐφ' οὗ φυλλάρια δ' ἢ ε' λεπτά. οἷον ἐπεπρισμένα. τῇ κατασχίσει ὡς γιγγίδιον. κεφάλια δὲ ἔχει ἐπ' ἄκρων ε' ἢ ς' στρογγύλα. μαλακά. ἐν οἷς ὁ καρπὸς ἀχυρώδης. γινόμενος δὲ δριμύτερος τοῦ ἡμέρου. φύεται ἢ ἐν γεωλόφοις. πίνεται δὲ τὸ σπέρμα πρὸς στρόφους καὶ ἐμπνευματώσεις σὺν ὕδατι. σὺν ὄξει δὲ λυγμοὺς παύει. πρὸς δὲ τὰ ἰοβόλα καὶ πλάδον στομάχου σὺν οἴνῳ. αἴρει δὲ καὶ ὑπώπια μασηθὲν καὶ καταπλασθὲν σὺν μέλιτι καὶ σταφίδι. φλεγμονάς τε διδύμων ἰᾶται μετὰ τοῦ αὐτοῦ καταπλασσόμενον. Ἔστι καὶ ἕτερον γένος ἀγρίου κυμίνου ἐμφερὲς τῷ ἡμέρῳ. ἐξ ἑκάστου δ' ἄνθους ἀφίησι κεράτια μετέωρα. ἐν οἷς ἐστι σπέρμα ὅμοιον μελανθίῳ. τοῦτο πινόμενον, πρὸς ἑρπετοδήκτους ἄριστον ἀλέξημα. βοηθεῖ καὶ στραγγουριῶσι καὶ λιθιῶσι καὶ αἵματος θρόμβους οὐροῦσιν. ἐπιπινέτωσαν δὲ σελίνου σπέρμα ἀποζεσθέν.

## Περὶ ἄμμινος. κεφ. νξδ.

Ἄμμι. ῥωμαῖοι ἄμμιουμ ἀλεξανδρῖνουμ. ἔνιοι καὶ τοῦτο αἰθιοπικόν. οἱ δὲ, βασιλικὸν κύμινον καλοῦσιν. ἔνιοι δὲ ἑτέρας φύσεως τὸ αἰθιοπικὸν κύμινον ἔφασαν εἶναι.

# ΤΡΙΤΟΝ.

αἰ τέρας τὸ ἄμμι. γνώριμον δὲ τὸ σπερμάτιον μικρότερον πολλῷ τοῦ κυμίνου· καὶ ὀρειγανίζον τῇ γεύσει. ἐκλέγου δὲ τὸ καθαρὸν καὶ μὴ πιτυρῶδες. δύναμιν δὲ ἔχει καὶ τοῦτο θερμαντικὴν πυρωτικὴν καὶ ξηραντικήν. ποιοῦν πρὸς στρόφους, δυσουρίας, καὶ θηριοδήκτοις πινόμενον σὺν οἴνῳ. ἄγει δὲ ἔμμηνα. μίγνυται καὶ τοῖς διὰ κανθαρίδων ἐνδορίοις πρὸς τὸ ἀντιπάσχειν ταῖς ἐπιγινομέναις δυσουρίαις. καὶ ὑπώπια καταπλασθὲν σὺν μέλιτι αἴρει. ξέει δὲ χρόαν πινόμενον καὶ συγχριόμενον ἐπὶ τὸ ὠχρότερον. καὶ μετὰ σταφίδος ἢ ῥητίνης ὑποθυμιώμενον, ὑστέραν ἀποκαθαίρει. Περὶ κορίου. κεφ. νξε.

Κόριον ἢ κορίαννον. αἰγύπτιοι ὄχιον. ἄφροι γοίδ. γνώριμον. δύναμιν ἔχει ψυκτικήν. ὅθεν καταπλασσόμενον μετὰ ἄρτου ἢ ἀλφίτου, ἐρυσιπέλατα καὶ ἕρπητας ἰᾶται. σὺν μέλιτι δὲ καὶ σταφίδι ἐπινυκτίδας. καὶ διδύμων φλεγμονὰς καὶ ἄνθρακας θεραπεύει. μετὰ δὲ ἐρεβίνθων χοιράδας καὶ φύματα διαλύει. τὸ δὲ σπέρμα ὀλίγον μετὰ γλυκέος ποθὲν ἕλμινθας ἐκβάλλει καὶ σπέρματός ἐστι γεννητικόν. πλεῖον δὲ ληφθὲν κινεῖ τὴν διάνοιαν ἐπικινδύνως. ὅθεν δεῖ φυλάττεσθαι τὴν πλείονα καὶ συνεχῆ χρῆσιν αὐτοῦ. ὁ δὲ χυλὸς σὺν ψιμμυθίῳ ἢ λιθαργύρῳ καὶ ὄξει καὶ ῥοδίνῳ καταχριόμενος, ὠφελεῖ τὰς κατὰ τὴν ἐπιφάνειαν φλεγμονὰς τὰς πυρώδεις.

Περὶ ἱερακίου τοῦ μεγάλου. κεφ. νξϛ.

Ἱεράκιον τὸ μέγα. οἱ δὲ, σογχίτην. ῥωμαῖοι λαμπούκα. ἄφροι σιθλέας. καυλὸν ἀνίησι τραχὺν. ὑπέρυθρον. ἀκανθώδη. ὑπόκενον. φύλλα ἔχει ἐκ διαστημάτων ἐσχισμένα ἀραιῶς. σόγχῳ ἐμφερῆ τὴν περιφέρειαν. ἄνθη μήλινα ἐν κεφαλίοις ὑπομήκεσι. δύναμιν ἔχει ψυκτικὴν. μετρίως ὑποστύφουσαν. ὅθεν στομάχῳ καυσουμένῳ καὶ φλεγμοναῖς καταπλασσόμενον ἁρμόζει. ὁ δὲ χυλὸς καταῤῥοφούμενος, δηγμὸν πραΰνει. ἡ δὲ πόα σὺν τῇ ῥίζῃ καταπλασθεῖσα, σκορπιοπλήκτοις ἀρήγει.

Περὶ ἱερακίου τοῦ μικροῦ. κεφ. νξζ.

Ἱεράκιον τὸ μικρόν. οἱ δὲ καὶ τοῦτο σογχίτην καλοῦσιν. οἱ δὲ, ἔντιμον ἄγριον. ῥωμαῖοι ἰντύβουμ ἀγρέστεμ. σιθλέσαδε. φύλλα ἔχει καὶ αὐτὸ ἐκ διαστημάτων ἐσχισμένα τὴν περιφέρειαν. καυλία δὲ ἀνίησι τρυφερὰ καὶ χλωρά. ἐν οἷς ἄνθη μήλινα. κυκλοτερῆ ἐγγράφονται. δύναμιν δὲ ἔχει καὶ αὐτὸ τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ σελίνου. κεφ. νξη.

Σέλινον κηπαῖον. ἁρμόζει ἡ πόα πρὸς ἃ καὶ τὸ κορίαννον. καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς μετὰ ἄρτου, ἢ παιπάλης ἀλφίτου καταπλασσόμενον. καὶ καῦσιν στομάχου παρηγορεῖ. μαστούς τε χονδριοῦντας ἀνίησι. κινεῖ τε οὖρα ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον. καὶ τὸ ἀφέψημα αὐτοῦ τε καὶ τῶν ῥιζῶν πινόμενον, ἀντιπάσχει θανασίμοις φαρμάκοις. ἐμέτους κινοῦν. κοιλίαν τε ἐπέχει. τὸ δὲ σπέρμα ἐστὶν οὐρητικώτερον. βοηθοῦν καὶ θηριοδήκτοις. καὶ τοῖς λιθάργυρον πεπωκόσι. πνευμάτων τε ἐστὶ διαλυτικόν. μίγνυται δὲ καὶ ἀνωδύνοις καὶ θηριακαῖς καὶ βηχικαῖς χρησίμως.

Περὶ ἐλαιοσελίνου. κεφ. νξθ.

Ἐλεοσέλινον. οἱ δὲ, πηδινόν. οἱ δὲ, ὑδροσέλινον ἄγριον. ῥωμαῖοι ἄπιουμ ῥούστικουμ. γεννώμενον ἐν τοῖς ἐφύδροις τόποις, μεῖζον τοῦ ἡμέρου σελίνου. ποιεῖ δὲ ὅσα καὶ τὸ κηπευτόν.

Περὶ ὀρεοσελίνου. κεφ. ο.

Ὀρεοσέλινον. οἱ δὲ, πετροσέλινον ἄγριον, ῥωμαῖοι ἄπιουμ. αἰγύπτιοι ἀνωτιμ. καυλὸς ἐστὶ

ἀπὸ θαμνίσκου εἰς ἐκ ῥίζης λεπτῆς. περὶ δὲ αὐτὴν κλωνάρια καὶ κεφάλια μικρὰ κωνίῳ παρεμφερῆ. λεπτότερα μέντοι ἱκανῶς. ἐφ' ὧν ὁ καρπὸς ὑπομήκης. δριμύς. λεπτὸς εὐώδης. ἐοικὼς κυμίνῳ. φύεται δὲ ἐν τόποις πετρώδεσι καὶ ὀρεινοῖς. δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα οὐρητικήν. ποθέντες ἐν οἴνῳ. ἄγει δὲ καὶ ἔμμηνα. μίσγονται δὲ καὶ ἀντιδότοις ἐν ταῖς διουρητικαῖς καὶ θερμαντικαῖς δυνάμεσιν. οὐ δεῖ δὲ πλανᾶσθαι νομίζοντας τὸ ὀρεοσέλινον εἶναι τὸ ἐν πέτραις φυόμενον. ἄλλο γάρ ἐστι τὸ πετροσέλινον.

## Περὶ πετροσελίνου. κεφ. νοα.

Σέλινον τὸ καὶ πετροσέλινον. τοῦτο φύεται ἐν Μακεδονίᾳ ἐν ἀποκρήμνοις τόποις. σπέρμα ἔχον ἐοικὸς ἄμμει. εὐωδέστερον δὲ καὶ δριμὺ καὶ ἀρωματίζον. οὐρητικόν. ἐμμήνων ἀγωγόν. ἁρμόζει δὲ καὶ πρὸς στομάχου καὶ κώλου ἐμπνευματώσεις καὶ στρόφους. πρός τε πλευρᾶς πόνους καὶ νεφρῶν καὶ κύστεως ἐν ποτῷ λαμβανόμενον. μίσγονται δὲ ἐν ταῖς οὐρητικαῖς ἀντιδότοις.

## Περὶ ἱπποσελίνου. κεφ. νοβ.

Ἱπποσέλινον. οἱ μὲν, γρίελον. οἱ δὲ, ἀγριοσέλινον. οἱ δὲ, σμύρνιον καλοῦσι. ῥωμαῖοι δὲ ὄλυς ἄτρουμ. ἑτέρου τοῦ κυρίως λεγομένου σμυρνίου ὑπάρχοντος ὡς αὐτίκα ἱστορήσομεν. ἔστι δὲ μεῖζον καὶ λευκότερον τοῦ κηπευτοῦ σελίνου. καυλὸς κοῖλος. ὑψηλός. τρυφερός. οἱονεὶ γραμμὰς ἔχων. φύλλα πλατύτερα. ὑποφοινιζόμενα. ἐν οἷς ἐστιν ὡς λιβανωτίδος κόμη μεστὴ ἀνθοῦς. κατὰ κορύμβους πρὶν ἐξανθῆσαι συνεστῶσα. σπέρμα δὲ μέλαν. ὑπόμηκες. ναστόν. δριμύ. ἀρωματίζον. ῥίζα εὐώδης. λευκή. εὔστομος. οὐ παχεῖα. φύεται ἐν συσκίοις. καὶ παρ' ἕλεσι. λαχανεύεται δὲ ὥσπερ τὸ σέλινον. καὶ ἡ ῥίζα δὲ ἑφθὴ καὶ ὠμὴ ἐσθίεται. τά τε φύλλα καὶ οἱ καυλοὶ ἐσθίονται ἑφθά. καθ' αὑτά τε καὶ μετὰ ἰχθύων σκευάζεται. ὠμὰ δὲ περιχύνεται εἰς ἁλμαίας. δύναμιν δὲ ἔχει ὁ καρπὸς πινόμενος ἐν οἰνομέλιτι, ἐμμηνίων ἀγωγόν. θερμαίνει τε τοὺς ῥιγοῦντας πινόμενος καὶ συγχριόμενος. στραγγουρίαις τε βοηθεῖ. καὶ ἡ ῥίζα δὲ τὰ αὐτὰ ποιεῖ.

## Περὶ σμυρνίου. κεφ. νογ.

Σμύρνιον ὅπερ ἐν Κιλικίᾳ πετροσέλινον καλοῦσι γεννώμενον πλεῖστον ἐν τῷ λεγομένῳ Ἀμανῷ ὄρει. καὶ τοῦτο καυλὸν μὲν ἔχει ὅμοιον σελίνῳ. παραφυάδας ἔχον πολλάς. φύλλα δὲ πλατύτερα πρὸς τὴν γῆν καὶ ὑποκεκλᾶται. ὑπολίπαρα. ῥωμαλέα καὶ εὐώδη σὺν δριμύτητι. φαρμακώδη τε καὶ ὑπομηλίζοντα τῇ χρόᾳ. σκιάδιον δὲ ἐπὶ τοῦ καυλοῦ ἀνηθοειδές. σπέρμα στρογγύλον. ὅμοιον τῷ τῆς κράμβης. μέλαν. δριμὺ γευομένῳ ὡς σμύρνης ἀνθ' ἑνὸς ποιοῦν. ἡ δὲ ῥίζα δριμεῖα. εὐώδης. ἁπαλή. πολύχυλος. δάκνουσα τὴν φάρυγγα. φλοιὸν ἔχουσα, ἔξωθεν μὲν μέλανα. ἔνδοθεν δὲ χλωρὸν ἢ ὑπόλευκον. φύεται δὲ ἐν πετρώδεσι τόποις καὶ γεωλόφοις. ἐν εὐκαίμοις ἀγωνίαις χερσονήσοις. δύναμιν δὲ ἔχει ἡ ῥίζα καὶ ἡ πόα καὶ ὁ καρπὸς θερμαντικήν. λαχανεύεται δὲ καὶ εἰς τὰς ἁλμαίας τὰ φύλλα. κοιλίαν τε ἵστησιν. ἡ δὲ ῥίζα πινομένη ἑρπετοδήκτοις ἁρμόζει. πραΰνει δὲ καὶ βῆχας καὶ ὀρθοπνοίας. καὶ δυσουρίας ἰᾶται. καταπλασσομένη δὲ τὰ πρόσφατα οἰδήματα, καὶ φλεγμονὰς καὶ σκληρίας διαφορεῖ. τραύματά τε ἄχρις ἐπουλώσεως ἄγει. ἑψηθεῖσα δὲ καὶ προστεθεῖσα ἐξαμβλώσκει. καὶ τὸ σπέρμα δὲ αὐτῆς, πρὸς νεφροὺς καὶ σπλῆνα καὶ κύστιν ἁρμόζει. ἄγει δὲ καὶ ἔμμηνα καὶ δεύτερα. πρός

περὶ ἰσχιάδας μετ' οἴνου πινόμενον ἁρμόζει. καὶ στομάχου ἐμπνευματώσεις πραΰνει. ἔστι δὲ καὶ ὑδροποιόν. ἐρευκτικόν. ἰδίως πινόμενον πρὸς ὑδρωπικὰς καὶ περιόδους.

### Περὶ ἐλαφοβόσκου. κεφ. νοδ.

Ἐλαφόβοσκον· οἱ δὲ, ἐλαφικόν· οἱ δὲ νεφελίον· οἱ δὲ, ὀφιογένειον· οἱ δὲ ὀφιοκτόνον· οἱ δὲ, ἑρπυξή· οἱ δὲ, λύμη. ῥωμαῖοι κερβιονέλλουμ. αἰγύπτιοι χαμίς. ἄφροι ἀσκαυκαού. καυλός ἐστι λιβανωτίδι ἢ μαράθρῳ ἐμφερὴς γεγονιωμένος. φύλλα δὲ δάκτυλα τὸ πλάτος. ἱκανῶς ἐπιμήκη ὡς τερεβίνθου περικεκλασμένα. τραχέα ποσῶς. ἔχει δὲ παραφυάδας ἱκανὰς ὁ καυλός. σκιάδια ἔχουσας ὅμοια ἀνήθῳ. ἄνθη ὑπομήλινα. τὸ σπέρμα ἀνήθῳ ἐμφερές. ῥίζα ὡς περιδάκτυλος τὸ μῆκος. πάχος δακτύλου. λευκὴ γλυκεῖα ἐδώδιμος. ὁ καυλὸς δὲ λαχανεύεται ἀρτιφυὴς ὤν. ταύτην φασὶ τὴν πόαν τὰς ἐλάφους νεμηθείσας, ἀντέχειν τοῖς τῶν ἑρπετῶν δήγμασι. ὅθεν καὶ τὸ σπέρμα δίδοται τοῖς ἑρπετοδήκτοις σὺν οἴνῳ.

### Περὶ μαράθρου. κεφ. νοε.

Μάραθρον. αὕτη ἐσθιομένη ἡ πόα, δύναται γάλα κατασπᾶν· καὶ τὸ σπέρμα δὲ πινόμενον ἢ συνεψόμενον πτισάνῃ. τὸ δὲ ἀφέψημα τῆς κόμης ποθὲν, νεφριτικοῖς τοῖς περὶ κύστιν χρήσιμον. διουρητικὸν ὑπάρχον. ἁρμόζει δὲ ἑρπετοδήκτοις σὺν οἴνῳ πινόμενον. καὶ καταμήνια ἄγει. ἐν πυρετοῖς τε ναυτίαν καὶ καῦσον στομάχου παραιτεῖται μετὰ ψυχροῦ ὕδατος πινόμενον. αἱ δὲ ῥίζαι λεῖαι σὺν μέλιτι καταπλασθεῖσαι, κυνόδηκτα θεραπεύουσιν. ὁ δὲ χυλὸς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων ἐν ἡλίῳ ξηρανθεὶς, εἰς τὰ ὀφθαλμικὰ ὅσα πρὸς ὀξυδορκίαν σκευάζεται χρήσιμος. χυλίζεται δὲ καὶ τὸ σπέρμα πρὸς τὰ αὐτὰ χλωρόν. ἔτι σὺν τοῖς φύλλοις καὶ τοῖς ἀκρέμοσι. καὶ ἡ ῥίζα κατὰ τὴν πρώτην ἐκβλάστησιν. ἐν δὲ τῇ πρὸς ἑσπέραν ἰβηρίᾳ, καὶ ὀπὸν ἀνίησιν ὅμοιον κόμμει. ἀποθεριζόντων ἐν τῇ ἀνθήσει μέσον τὸν καυλὸν τῶν ἐπιχωρίων. καὶ πυρὶ παρατιθέντων. ἵνα ὑπὸ τῆς θερμασίας οἷον ἀφιδρῶσαν ἐκβάλῃ τὸ κόμμι. ἔστι δὲ ἐνεργέστερον τοῦ χυλοῦ πρὸς τὰ ὀφθαλμικὰ τοῦτο.

### Περὶ ἱππομαράθρου. κεφ. νος.

Ἱππομάραθρον. οἱ δὲ, μαραθίς. οἱ δὲ, μάραθρον ἄγριον. αἰγύπτιοι σαμψού. προφῆται θυμβρόλιον. ῥωμαῖοι φαινίκλουμ ἐρρατικούμ. οἱ δὲ, φαινίκλους. οἱ δὲ κουΐνους. οἱ δὲ, μιούμ. γάλλοι σπραμεόρ. μάραθρόν ἐστιν ἄγριον μέγα. φέρει δὲ σπέρμα κάχρυι ὅμοιον. ῥίζα δὲ ὕπεστιν εὐώδης. ἥτις πινομένη στραγγουρίας ἰᾶται. ἔμμηνά τε ἄγει προστιθεμένη. τὸ δὲ σπέρμα καὶ ἡ ῥίζα κοιλίαν ἵστησι πινόμενα. θηριοδήκτοις τε βοηθεῖ. τε λίθους θρύπτει καὶ ἴκτερον ἀποκαθαίρει. τῶν δὲ φύλλων τὸ ἀφέψημα πινόμενον γάλα ἄγει. καὶ τὰς ἐκ τόκου τῶν γυναῖκας ἀποκαθαίρει. καλεῖται καὶ ἕτερον ἱππομάραθρον. φύλλα ἔχον στενὰ μικρὰ προμήκη. καρπὸν δὲ στρογγύλον πρὸς τὸν τοῦ κορίου. δριμύν. εὐώδη. θερμαντικόν. ἀναλογεῖ δὲ αὐτοῦ ἡ δύναμις τῷ προειρημένῳ ἀσθενέστερον ἐνεργοῦσα.

### Περὶ δαύκου. κεφ. νοζ.

Δαῦκος. οἱ δὲ, δίρκαιον καλοῦσι. ὁ μέν τις ἐστὶ κρητικός. μαράθρῳ ἔχων τὰ φύλλα ὅμοια. μικρότερα δὲ καὶ λεπτότερα. καυλὸν σπιθαμιαῖον. σκιάδιον ὅμοιον κοριάνῳ. ἄνθη λευκά. ἐν δὲ τούτοις ὁ καρπὸς δριμὺς λευκός. δασύς. ἐν τῷ διαμασᾶσθαι εὐώδης. ῥίζα

δακτύλου τὸ πάχος. τὸ δὲ μῆκος σπιθαμιαῖος. γίνεται δὲ ἐν πετρώδεσι τόποις καὶ εὐηλίοις. ὁ δέ τις αὐτοῦ ἐστι σελίνω ἀγρίω παραπλήσιος. ἀρωματῶδες δριμὺ καὶ εὐῶδες. γευομένω καὶ πυρῶδες. διαφέρει δὲ ὁ κρητικός. τὸ δὲ τρίτον εἶδος κορίω τὰ φύλλα ἔοικε. καὶ τὰ ἄνθη λευκά. κεφάλιον δὲ ἔχει καὶ καρπὸν ὅμοια ἀνήθω. ἐφ' οἷς σκιάδιον ἐμφερὲς σταφυλίνω. σπέρματος τὸ μὲν μῆκος πλῆρες ὡς κυμίνου δριμέος. τὸ δὲ σπέρμα πάντων δύναμιν ἔχει θερμαντικὴν πινόμενον. ἐμμήνων ἐμβρύων καὶ οὔρων ἀγωγόν. καὶ στρόφων ἀπαλλακτικόν. βηχῶν χρονίων πραϋντικόν. ἀρήγει δὲ καὶ φαλαγγιοδήκτοις ποθὲν σὺν οἴνω. διαφορεῖ δὲ καὶ οἰδήματα καταπλασθέν. ἡ δὲ χρῆσις τῶν μὲν ἄλλων τοῦ σπέρματος μόνον. τοῦ δὲ κρητικοῦ καὶ τῆς ῥίζης. ἥτις μάλιστα πρὸς τὰ θηρία πίνεται μετ' οἴνου.

## Περὶ δελφίνου. κεφ. νοη.

Δελφίνιον. οἱ δὲ, διάχυσις. οἱ δὲ διάχυτος. οἱ δὲ, παράλυσις. οἱ δὲ, κάμμαρος. οἱ δὲ, ὑάκινθος. οἱ δὲ, δελφινιάς. οἱ δὲ νήρειον. οἱ δὲ, νηρεΐδιον. οἱ δὲ, σώσανδρον. οἱ δὲ, κρόνιον. ῥωμαῖοι βούκινος μινόρ. κλῶνας ἀνίησι διασπιθάμους ἢ καὶ μείζονας ἀπὸ μιᾶς ῥίζης. περὶ οὓς φυλλάρια ἐντετμημένα λεπτὰ, τὸ μὲν μήκη. δελφινοειδῆ. ὅθεν καὶ ὠνόμασται. ἄνθος δὲ ὅμοιον λευκοΐω, ἐμπόρφυρον. σπέρμα ἐν λοβοῖς κέγχρω ἐμφερές. ὃ βοηθεῖ ποθὲν σὺν οἴνω σκορπιοπλήκτοις. ὡς οὐδὲν ἕτερον. φασὶ δὲ καὶ τοὺς σκορπίους παρατιθείσης τῆς πόας παραλύεσθαι. ἀπράκτους τε καὶ ναρκώδεις γίνεσθαι. ὑφαιρουμένης δὲ εἰς τὸ αὐτὸ καθεστάναι. φύεται δὲ ἐν τραχέσι καὶ εὐηλίοις τόποις.

## Περὶ δελφινίου ἑτέρου. κεφ. νοθ.

Δελφίνιον ἕτερον. οἱ δὲ, ὑάκινθον. ῥωμαῖοι βουκίνους. καὶ αὐτὸ ἐμφερὲς τῷ πρὸ αὐτοῦ· τοῖς δὲ φύλλοις καὶ τοῖς κλωνίοις ἰσχνότερον πολλῷ. δύναμιν ἔχει καὶ αὐτὸ τὴν αὐτὴν τῷ προειρημένω. οὐχ οὕτως δὲ ἐνεργής.

## Περὶ πυρέθρου. κεφ. νπ.

Πύρεθρον. οἱ δὲ, δορύκνιον. οἱ δὲ, πύρινον. οἱ δὲ, πύρωτον. οἱ δὲ, πύρωθρον. οἱ δὲ ἄγριος πυρίτης. προφῆται πυρίτης. ῥωμαῖοι σαλίβαρις. πόα ἐστὶ καυλὸν ἀνιεῖσα καὶ φύλλα ὥσπερ δαῦκος ἄγριος καὶ μάραθρον. σκιάδιον δὲ ὡς ἀνήθου περιφερές. ῥίζα δακτύλου μεγάλου τὸ πάχος. μακρά. γευομένω πυρωτικωτάτη. φλέγματος ἐστὶν ἐπισπαστική. διὸ καὶ τοῖς ὀδονταλγοῦσι βοηθεῖ μετ' ὄξους ἑψηθεῖσα καὶ διακλυζομένη. ἄγει δὲ καὶ φλέγμα διαμασσωμένη. συγχριομένη δὲ μετ' ἐλαίου, ἱδρῶτας κινεῖ ποιοῦσα πρὸς τὰ χρόνια ῥίγη. καὶ πρὸς ἀπεψυγμένα δὲ καὶ παρειμένα μέρη τοῦ σώματος, ἄκρως ἁρμόζει.

## Περὶ λιβανωτίδος. κεφ. νπα.

Λιβανωτὶς διαφορά. ἡ μέν τις κάρπιμος. ὑπὸ ἐνίων δὲ ζέα ἢ καμψάνεμα καλουμένη. ἧς ὁ καρπὸς κάχρυς καλεῖται. φύλλα δὲ ἔχει μαράθρω ὅμοια. παχύτερα δὲ καὶ πλατύτερα ξοχοειδῶς. περὶ τῆς γῆς ἐστρωμένα. εὐώδη. καυλὸν δὲ ἔσθ' ὅτε πήχεως καὶ μείζονα. μασχάλας ἔχοντα πολλάς. ἐπ' ἄκρου σκιάδιον. ἐφ' οὗ καρπὸς πολὺς λευκὸς ἐοικὼς σπονδύλω, περιφερὴς, γωνίας ἔχων. δριμύς. ῥητινίζων. ἐν τῷ διαμασᾶσθαι ἐπικαῖον τὴν γεῦσιν. ῥίζα δὲ, λευκή. εὐμεγέθης. ὄζουσα λιβανωτοῦ. ἡ δὲ ἑτέρα κατὰ πάντα ἐοικυῖα τῇ πρὸ αὐτῆς σπέρμα φέρει πλατὺ, μέλαν, ὡς σφονδύλιον, εὐῶδες οὐ πυρωτικόν. ῥίζαν ἐκ μὲν τοῦ ἐκτὸς, μέλαιναν. θλασθεῖσαν δὲ λευκήν. ἡ δὲ λεγομένη ἄκαρπος κατὰ πάντα ὁμοία ἐστὶ ταῖς προειρημέναις, οὔτε καυλὸν ἀνίησιν οὔτε ἄνθος οὔτε σπέρμα. φύεται δὲ ἐν πετρώδεσι καὶ τραχέσι τόποις. πασῶν δὲ κοινῶς ἡ πόα καταπλασθεῖσα λεία αἱμορροΐδας στέλ-

λας φλεγμονάς τε τὰς κατὰ δακτύλιον πραΰνει καὶ κονδυλώματα καὶ χοιράδας· καὶ τὰ δυσεπούλωτα τῶν ἀποστημάτων συμπέσσει. ἡ δὲ ῥίζα ξηρὰ σὺν μέλιτι ἕλκη ἀνακαθαίρουσι καὶ στρόφους ἰῶνται. τὰ θηριοδήκτοις ἁρμόζουσι σὺν οἴνῳ ποτιζόμεναι· ἔμμηνά τε ἄγουσι καὶ οὖρα. διαφοροῦσι δὲ τὰ οἰδήματα τὰ παλαιὰ καταπλασσόμεναι. ὁ δὲ χυλὸς τῆς ῥίζης καὶ τῆς πόας ὀξυδερκής. μιγνύμενος μέλιτι καὶ ἐγχριόμενος. ὁ δὲ καρπὸς πινόμενος, τὰ αὐτὰ ποιεῖ. βοηθεῖ τε ἐπιληψίαις καὶ ταῖς ἐν θώρακι παλαιαῖς διαθέσεσιν. ἰκτερικοῖς τε μετὰ πεπέρεως καὶ οἴνου διδόμενος. ἔστι δὲ καὶ ἱδρωτικὸς σὺν ἐλαίῳ ἀλειφόμενος. ἁρμόζει καὶ ῥήγμασι καὶ σπάσμασι. ποδάγραις τε καταπλασσόμενος λεῖος σὺν αἰρίνῳ ἀλεύρῳ καὶ ὄξει. ἀλφούς τε σμήχει. μιγνύμενος ὄξει δριμυτάτῳ. τῷ σπέρματι δὲ εἰς τὰ ποτήματα χρῆσθαι δεῖ τῆς μὴ τὸ κάγχρυ φερούσης λιβανωτίδος· δριμὺ γὰρ ἐκεῖνο καὶ τραχυντικὸν τῆς ἀρτηρίας. Θεόφραστος δὲ ἱστορεῖ μετὰ τῆς ἑτέρας λιβανωτίδος θρίδακι ἀγρίᾳ τῇ πικρᾷ ὅμοια φύλλα ἐχουσαν φύεσθαι. ῥίζαν δὲ βραχεῖαν. καθαίρει δὲ αὕτη καὶ κάτω ταύτην ποθεῖσαν. λευκότερα μέντοι καὶ τραχύτερα τὰ φύλλα τῆς θρίδακος:-

## Περὶ κάγχρυος. υπβ.

Τὸ μέντοι κάγχρυ δύναμιν ἔχει θερμαντικὴν. ἀναξηραντικὴν σφόδρα· ὅθεν ἁρμόζει σμήγμασι μιγνύμενον πρὸς ῥευματιζομένους ὀφθαλμούς. ἐπὶ τῆς κεφαλῆς ἐμπλασσόμενον· καὶ ἀποσμώμενον μετὰ ἡμέρας τρεῖς.

## Περὶ λιβανωτίδος. υπγ.

Λιβανωτὶς ἣν ῥωμαῖοι καλοῦσιν οὐσμάρινα. καὶ οἱ στεφανοπλόκοι χρῶνται. ῥάβδοι εἰσὶ λεπταί. περὶ ἃς τὰ φύλλα λεπτά. πυκνά. ὑπομήκη καὶ ἰσχνά. ἔνδοθεν λευκά. ἐκ δὲ τῶν ἐκτὸς, χλωρὰ βαρύοσμα. δύναμιν δὲ ἔχει θερμαντικὴν. ἰκτέρου ἰατικήν. ταύτης αὐτὴν ἑψήσας ἐν ὕδατι δὸς πρὸ τῶν γυμνασίων πιεῖν. εἶτα γυμνάζων λούη καὶ οἴνῳ ποτίζε. μίγνυται δὲ καὶ ἀκόποις καὶ τῷ λευκίνῳ χρίσματι.

## Περὶ σφονδύλου. υπδ.

Σφονδύλιον. οἱ δὲ, ἀράχνην, οἱ δὲ, φαλάγγιον. οἱ δὲ, ἀστέριον. οἱ δὲ, νήσυρις. οἱ δὲ, σφονδυλίς. οἱ δὲ, χορόδακον. οἱ δὲ, οἰνάνθη. ῥωμαῖοι ἕρβα ῥουπινάλις. αἰγύπτιοι ἀψαφέρ. προφῆται ὄσιεως. φύλλα μὲν ἔχει κατὰ πόσον ἐοικότα πλατάνῳ πρὸς τὰ τοῦ πάνακος. καυλοὺς δὲ πηχυαίους ἢ καὶ μείζονας. ἐοικότας μαράθρῳ. σπέρμα δὲ ἐπ᾽ ἄκρων ὅμοιον σεσέλει, διπλοῦν. πλατύτερον δὲ καὶ λευκότερον καὶ ἀχυρωδέστερον. βαρύοσμον. ἄνθη ὠχρὰ ἢ λευκά. ῥίζαν λευκὴν. ῥαφανῷ ἐμφερῆ. φύεται δὲ ἐν ἑλώδεσι καὶ ἐνύδροις χωρίοις. ὁ δὲ καρπὸς αὐτοῦ ποθεὶς, ἐκκρίνει κατὰ κοιλίαν φλεγματώδη. ἰᾶται δὲ πινόμενος ἡπατικούς. ἰκτερικούς. ὀρθοπνοικούς. ἐπιληπτικούς. καὶ ὑστερικὴν πνῖγα. ὑποθυμιώμενος δὲ ἀνακαλεῖται τοὺς καταφερομένους. σὺν ἐλαίῳ δὲ ἐμβρεχόμενος τῇ κεφαλῇ, ἁρμόζει φρενιτικοῖς. ληθαργικοῖς. κεφαλαλγοῦσι. ἐπέχει δὲ καὶ ἕρπητας σὺν πηγάνῳ καταπλασθείς. ἡ δὲ ῥίζα δίδοται ἰκτεριῶσι καὶ ἡπατικοῖς. περιξυσθεῖσα δὲ περιτήκει τύλους τοὺς ἐν σύριγξι. τοῦ δὲ ἄνθους χλωροῦ ὁ χυλὸς πρὸς ἑλκούμενα ὦτα καὶ πυορροοῦντα ἁρμόζει. ἀποτίθεται δὲ σκευαζόμενος ὡς τὰ λοιπὰ χυλίσματα.

## Περὶ νάρθηκος. υπε.

Νάρθηξ. ῥωμαῖοι φέρουλαμ. τοῦτον χλωρὸν ἐντὸς ἡ ἐντεριώνη πινομένη αἱμοπτυικοὺς καὶ

κοιλιακοὺς ὠφελεῖ καὶ ἐχιοδήκτοις δίδοται σὺν οἴνῳ. καὶ τὰς ἐκ ῥινῶν αἱμορραγίας ἐπέχει ἐντεθεῖσα. τὸ δὲ σπέρμα στροφουμένους πινόμενον ὠφελεῖ. καὶ ἱδρῶτας κινεῖ χριόμενον μετ' ἐλαίου. οἱ δὲ καυλοὶ βρωθέντες κεφαλαλγεῖς εἰσί. ταριχεύονται δὲ καὶ εἰς τὰς ἁλμεύσεις. ὁ [illegible] νάρθηξ καυλὸν ἀναφέρει τρίπηχυν πολλάκις. φύλλα δὲ ἔχει μαράθρῳ ἐμφερῆ, παχύτερα δὲ πολὺ καὶ μείζονα. ἐξ οὗ καὶ τὸ σαγάπηνον γίνεται, κολαπτομένου πρὸς τῇ ῥίζῃ.

## Περὶ πευκεδάνου. κε'. υπς'.

Πευκέδανος· οἱ δέ, ἄγριον· οἱ δέ, ἀγριόφυλλον· προφῆται, ἀγαθὸς δαίμων· οἱ δέ, πινασπέλμ· ῥωμαῖοι, στατέλλαμ. καυλὸν αὔξει λεπτόν, ἰσχνόν, μαράθρῳ ὅμοιον, κόμην ἣ ἔχει περὶ τὴν ῥίζαν ἱκανὴν καὶ πυκνήν, ἄνθος μήλινον, ῥίζαν μέλαιναν, βαρύοσμον, ἁδράν, μεστὴν ὀποῦ. φύεται ἐν ὄρεσι συσκίοις. ὀπίζεται δὲ τῆς ῥίζης ἁπαλῆς ἀποτεμνομένης μαχαίρᾳ. καὶ τὸ ἀπορρέον εὐθὺς ἐν σκιᾷ τίθεται· ὑπὸ γὰρ τοῦ ἡλίου ἀνίεται. ἐν δὲ τῷ συλλέγεσθαι κεφαλαλγίας ποιεῖ καὶ σκοτώματα, ἐὰν μή τις προδιαχρίσῃ αὐτοῦ τὰς ῥῖνας ῥοδίνῳ καὶ τὴν κεφαλὴν προκαταβρέξῃ. εὔχρηστος δέ ἐστιν ἡ ἐπὶ μέσου ῥίζα. ὀπίζονται δὲ καὶ οἱ καυλοὶ καὶ χυλίζονται, καὶ ἡ ῥίζα ὡς μανδραγόρας. ἧττον δὲ ἐνεργεῖ τοῦ ὀποῦ ὁ χυλός. καὶ τάχιον ἐκπνεῖ. ἐνίοτε δὲ εὑρίσκεται προσπεπηγὸς δάκρυον, ὅμοιον λιβανωτῷ, τοῖς καυλοῖς καὶ ταῖς ῥίζαις προσπεπλασμένον. τοῦ δὲ ὀποῦ διαφέρει ὁ ἐν Σαρδονίᾳ καὶ Σαμοθράκῃ γινόμενος, βαρύοσμος, ἔγκιρρος, θερμαίνων τὴν γεῦσιν. ἁρμόζει δὲ σὺν ὄξει καὶ ῥοδίνῳ καταχριόμενος, ληθαργικοῖς, φρενιτικοῖς, σκοτωματικοῖς, ἐπιληπτικοῖς, κεφαλαλγοῦσι χρονίως, παραλυτικοῖς, ἰσχιαδικοῖς, σπωμένοις, καὶ καθόλου τοῖς περὶ νεῦρα πάθεσι συγχριόμενος μετ' ἐλαίου καὶ ὄξους. ἔστι δὲ καὶ ὀσφραντικὸς πνιγὸς ὑστερικῆς, καὶ τῶν καταφερομένων ἀναληπτικός. διώκει δὲ θηρία θυμιώμενος. ἁρμόζει δὲ καὶ πρὸς ὠταλγίας ἐνσταζόμενος σὺν ῥοδίνῳ· καὶ πρὸς ὀδονταλγίας ἐντιθέμενος βρώμασι. ποιεῖ δὲ καὶ πρὸς βῆχας μετ' ᾠοῦ λαμβανόμενος, δυσπνοίαις τε καὶ στρόφοις καὶ πνευματικαῖς διαθέσεσιν ἁρμόζει. κοιλίαν τε ἠπίως μαλάσσει. καὶ σπλῆνα τήκει. καὶ δυστοκίαις ἐξόχως ἀρήγει. πρός τε πόνους καὶ διατάσεις κύστεως καὶ νεφρῶν πινόμενος ποιεῖ. ἀνάστομοῖ δὲ καὶ ὑστέρας. χρησίμη δὲ καὶ ἡ ῥίζα πρὸς τὰ αὐτά, ἔλαττον ἐνεργοῦσα. πίνεται δὲ αὐτῆς τὸ ἀφέψημα. καθαίρει δὲ λεία ξηρὰ τὰ ῥυπαρὰ ἕλκη, καὶ λεπίδας ἀπὸ ὀστέων ἀφίστησι, καὶ ἐπουλοῖ τὰ παλαιά. μίσγεται δὲ καὶ κηρωταῖς καὶ μαλάγμασι θερμαντικοῖς. ἐκλέγου δὲ τὴν πρόσφατον, ἄβρωτον, στερεάν, πλήρη ὀσμῆς. λύεται δὲ ὁ ὀπὸς εἰς τὰ πόματα ἀμυγδάλοις πικροῖς ἢ πηγάνῳ ἢ ἄρτῳ θερμῷ ἢ ἀνήθῳ.

## Περὶ μελανθίου. κε'. υπζ'.

Μελάνθιον· οἱ δέ, καὶ τοῦτο μήκωνα ἄγριον καλοῦσι· μέλανα· ῥωμαῖοι, παπάβερ νίγρουμ. θαμνίσκος ἐστὶ λεπτὸς καρφώδης, διαπίθαμος ἢ καὶ μείζων. φύλλα ἔχων μικρὰ ὡς περὶ ἠριγέροντος, λεπτότερα δὲ πολλῷ. καὶ κεφάλιον ἐπ' ἄκρου λεπτόν, μακρόν, ὡς μήκωνος, ἐπιμήκης, ἔχον κατὰ τὰ ἐντὸς διαφράγματα, ἐν οἷς καὶ τὸ σπέρμα μέλαν, δριμύ, εὐῶδες, καταπλασσόμενον εἰς ἄρτους. ἁρμόζει δὲ καὶ κεφαλαλγοῦσι καταπλασσόμενον τῷ προσώπῳ. καὶ τοῖς ἀρχομένοις ὑποχεῖσθαι ἐγχεόμενον εἰς τὰς ῥῖνας μετὰ ἰρίνου λεῖον. αἴρει δὲ καὶ φακούς. καὶ λέπρας καὶ οἰδήματα παλαιὰ καὶ σκληρίας σὺν (ὄξει καταπλασθὲν καὶ ἥλους περιχαραχθέντας ἐκτινάσσει.

σὺν

σὺν οἴνῳ παλαιῷ ὑποτεθέν. ὠφελεῖ δὲ καὶ ὀδονταλγίαν μετὰ ὄξους καὶ σιδίου ἐγχεόμενον ἢ διακλυζόμενον. ἐκτινάσσει δὲ ἕλμινθας στρογγύλας καταπλασσομένου τοῦ ὀμφαλοῦ μεθ' ὕδατος. λειανθὲν δὲ καὶ ἐν ἀποζέματι δοθὲν καὶ ὀσφραινόμενον, τοὺς καταρροϊζομένους ὠφελεῖ. πινόμενον δὲ πλείους ἡμέρας, ἔμμηνα καὶ οὖρα καὶ γάλα ἄγει. παύει καὶ δύσπνοιαν μετὰ οἴνου ποθέν. βοηθεῖ δὲ καὶ φαλαγγιοδήκτοις ὅσον < α μεθ' ὕδατος ποθέν. διώκει δὲ καὶ ἑρπετὰ θυμιώμενον. φασὶ δὲ καὶ ἀναιρεῖν αὐτὸ πλέον ποθέν.

## Περὶ σιλφίου. υπη.

Σίλφιον γεννᾶται ἐν τοῖς κατὰ Συρίαν καὶ Ἀρμενίαν καὶ Μηδίαν τόποις καὶ Λιβύῃ. οὗ ὁ καυλὸς μάσπετον καλεῖται, ἐμφερὴς νάρθηκι. φύλλα δὲ ἔχει σελίνῳ ὅμοια, σπέρμα πλατύ. ῥίζα ἡ θερμαντική, δύσπεπτος, κύστεως κακωτική. ἰᾶται δὲ χοιράδας καὶ φύματα ἀναληφθεῖσα κηρωτῇ ἢ καὶ ὑποπτηθεῖσα σὺν ἐλαίῳ καταπλασθεῖσα. σὺν ἰρίνῃ δὲ κηρωτῇ ἢ κυπρίνῃ ἰσχιαδικοῖς ἁρμόζει. τὰς περὶ δακτύλιόν τε ἐξοχὰς, αἴρει σιδίῳ σὺν ὄξει ἑψηθεῖσα καὶ καταπλασθεῖσα. θανασίμων τέ ἐστιν ἀντιφάρμακον πινομένη, ἥδυσμά τέ ἐστι μιγνυμένη καὶ εἰς βρώματα καὶ ἅλας. συλλέγεται δὲ ὁ ὀπὸς ἐγχαρασσομένων τῆς ῥίζης καὶ τοῦ καυλοῦ. διαφέρει δὲ αὐτοῦ ὁ ὑπέρυθρος καὶ διαυγὴς, σμυρνίζων καὶ ἐν τῇ ὀσμῇ εὔτονος, μὴ πρασίζων, μηδὲ ἀηδὴς πρὸς τὴν γεῦσιν τῇ χύσει. εὔχρους τε διαλυόμενος ἐπὶ τὸ λευκὸν χρῶμα. ὁ μέντοι Κυρηναϊκὸς κἂν ἐπ' ὀλίγον τις αὐτοῦ γεύσηται, ἰκμάδα κινεῖ καθόλου τὸ σῶμα. τῇ τε ὀσμῇ προσηνέστατος, ὥστε γευσαμένῳ τὸ στόμα, μὴ δὲ πνεῖν εἰ μὴ ἐπ' ὀλίγον. ὁ δὲ Μηδικὸς καὶ Συριακὸς, τῇ δυνάμει εἰσὶν ἀσθενέστεροι, καὶ βρωμωδεστέραν ἔχουσι τὴν ὀσμήν. δολοῦται δὲ πᾶς ὁ ὀπὸς πρὸ τοῦ ξηρανθῆναι, σαγαπηνοῦ μιγνυμένου, ἢ ἀλεύρου ἐρεγμίνου ὅπερ διακρίνεται τῇ γεύσει καὶ τῇ ὀσμῇ καὶ τῇ ὄψει καὶ τῇ διέσει. ἔνιοι δὲ τὸν μὲν καυλὸν σίλφιον ἐκάλεσαν, τὴν δὲ ῥίζαν μαγύδαριν, τὰ δὲ φύλλα μάσπετα. πρακτικώτερος δέ ἐστιν ὁ ὀπός, εἶτα τὰ φύλλα, εἶτα ὁ καυλός. ἔστι δὲ φυσώδης, δριμύς, ἀλωπεκίας θεραπεύων, σὺν οἴνῳ καὶ πεπέρει καὶ ὄξει καταχριόμενος. ὀξυδερκίας τε ποιητικός, καὶ ἀρχομένης ὑποχύσεως διασκεδαστικὸς σὺν μέλιτι ἐγχριόμενος. πρὸς ὀδονταλγίας τε ἐντίθεται εἰς τὰ βρώματα. καὶ περιτίθεται σὺν λιβανωτῷ ἐγχριθεὶς εἰς ὀθόνιον, καὶ διακλύζεται σὺν ὑσσώπῳ καὶ σύκοις ἀφεψημένοις σὺν ὀξυκράτῳ. καὶ ἐπὶ λυσσοδήκτων δὲ ὠφελεῖ ἐπιτιθέμενος τοῖς τραύμασι. καὶ ἐπὶ τῶν ἰοβόλων ζώων πάντων, καὶ τῶν φαρμακωδῶν τοξευμάτων, ἐγχριόμενος καὶ πινόμενος. ἐπὶ δὲ σκορπιοπλήκτων ἐλαίῳ διεθεὶς περιαλείφεται. καὶ ἐπὶ γαγγραινουμένων προκαταχαραχθέντων ἐνίεται. πρός τε ἄνθρακας μετὰ πηγάνου καὶ νίτρου καὶ μέλιτος. ἢ καθ' ἑαυτὸν, ἥλους τε καὶ τύλους αἴρει προπεριχαραχθέντας. προμαλαχθεὶς κηρωτῇ ἢ σύκων ξηρῶν τῷ ἐντός. θεραπεύει καὶ λειχῆνας προσφάτους σὺν ὄξει. σαρκώματα δὲ καὶ πολύποδας μετὰ χαλκάνθης ἢ ἰοῦ διαχριόμενος ἐπὶ ἡμέρας τινάς. ἐπισπᾶται τὰς ἐξοχὰς σὺν σαρκολαβίδι. ἀρήγει δὲ καὶ βρόγχοις χρονίοις τραχύτησι. φωνήν τε αἰφνιδίως διασωθεῖσαν ὕδατι διεθεὶς καὶ ἐπιρροφηθεὶς, αὐτίκα ἀποκαθαίρει. κόνιδάς τε ἐξέλκει σὺν μέλιτι διαχριόμενος. συναγχικοῖς τε ἀναγαργάρισμα μετὰ μελικράτου ὠφέλιμον. εὐχρουστέρους ποιεῖ λαμβανόμενος ἐν διαίτῃ. βηχί τε ἁρμόζει ἐν ὠῷ ῥοφητῷ διδόμενος. πλευριτικοῖς τε ἐν ῥοφήμασιν. ἰκτεριῶσί τε καὶ ὑδρωπικοῖς ὠφελίμως δίδοται μετὰ σύκων ξηρῶν. λύει καὶ ῥίγη σὺν πεπέρει καὶ λιβανωτῷ ποθεὶς καὶ οἴνῳ.

τετανικοῖς τε καὶ ὀπισθοτονικοῖς ὀβολοῦ ὁλκὴν περιπλάσας, δίδου καταπίνειν. ἐκβάλλει δὲ τὰς προσισχομένας τῇ καταπόσει, ἀναγαργαριζόμενος μετ' ὀξυκράτου ἀποβάλλει. καὶ πρὸς γάλα τεθρομβωμένον ἔνδον ποθείς, καὶ ἐπιληπτικοῖς μετ' ὀξυμέλιτος ληφθεὶς βοηθεῖ. ποθεὶς δὲ σὺν πεπέρει καὶ σμύρνῃ καταμήνια ἄγει. κοιλιακούς τε ἐν ῥαγὶ λαμβανόμενος σταφυλῆς ὠφελεῖ. μετὰ δὲ κονίας ποθείς, ὠφελεῖ τὰ αἰφνίδια συστήματα. ῥήγματα. διαλύεται δὲ εἰς τὰ ποτήματα ἀμυγδάλοις πικροῖς, ἢ πηγάνῳ ἢ ἀρτοθερμῷ. ὁ δὲ ὀπὸς τῶν φύλλων τὰ αὐτὰ μὲν ποιεῖ, παρὰ πολὺ δὲ ἔλασσον. ἐσθίεται δὲ μετ' ὀξυμέλιτος ἁρμόζων πρὸς ἀρτηρίαν. μάλιστα δὲ ἀποκοπεῖσιν ἤχοις. χρῶνται δὲ αὐτῷ καὶ μετὰ θριδακίνων ἐσθίοντες ἀντὶ ζωμοῦ. λέγεται δὲ καὶ ἑτέρα μαγύδαρις γεννωμένη ἐν Λιβύῃ, ῥίζα παρομοία σιλφίῳ, ἧττον δὲ παχεῖα, δριμεῖα καὶ χαυνοτέρα, ὀπὸν μὴ ἔχουσα. ποιεῖ δὲ τὰ αὐτὰ τῷ σιλφίῳ.

## Περὶ σαγαπήνου. κεφ. υπθ.

Σαγάπηνον· ὀπός ἐστι νάρθηκος φύντος ἐν Μηδείᾳ. διαφέρει δὲ αὐτοῦ τὸ διαυγές, ἔξωθεν μὲν κιῤῥόν, ἔσωθεν δὲ λευκόν, ὄζον μεταξὺ ὀποῦ σιλφίου καὶ χαλβάνης, δριμὺ ἐν τῇ γεύσει. ποιεῖ δὲ πρὸς θώρακος καὶ πλευρᾶς πόνον, ῥήγματα, σπάσματα, βῆχας χρονίους, πάχη τὰ ἐν πνεύμονι ἀνακαθαίρει. δίδοται δὲ καὶ ἐπιληπτικοῖς, ὀπισθοτονικοῖς, σπληνικοῖς, παραλυτικοῖς, κατεψυγμένοις, περιοδικοῖς πυρετοῖς ἐν ποτήμασι. καὶ ἐν συγχρίσμασι δὲ ὠφελίμως προσάγεται. ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα φθείρει πινόμενον μετ' οἰνομέλιτος. ἀρήγει καὶ θηριοδήκτοις μετ' οἴνου λαμβανόμενον. διεγείρει καὶ ὑστερικῶς πνιγομένας μετ' ὄξους ὀσφραινόμενον. οὐλάς τε ἀποσμήχει τὰς ἐν ὀφθαλμοῖς καὶ ἀμβλυωπίας καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ὑποχύματα. διαλύεται δὲ ὥσπερ ὁ ὀπός, πηγάνῳ καὶ ὕδατι καὶ πικροῖς ἀμυγδάλοις ἢ μέλιτι ἢ ἀρτοθερμῷ.

## Περὶ εὐφορβίου. κεφ. υϟ.

Εὐφόρβιον δένδρον ἐστὶ ναρθηκῶδες Λιβυκόν, γεννώμενον ἐν τῷ κατὰ Μαυρουσίαν Τμώλῳ, ὀποῦ μεστὸν δριμυτάτου, ὃν δεδιότες οἱ τῇδε αὐτοὶ συλλέγουσι διὰ τὸ ἐπιτεταμένον τῆς πυρώσεως. κοιλίας γὰρ προβατείας πεπλυμένας περιδήσαντες τῷ δένδρῳ, μακρόθεν ἀκοντίοις διαιροῦσιν αὐτοῦ τὸν καυλόν. εὐθέως δὲ ὡς ἔκ τινος ἀγγείου πολὺς ἀποχεῖται ὁ ὀπὸς εἰς τὰς κοιλίας, καὶ ἀποῤῥαίνεται δὲ καὶ εἰς τὴν γῆν ἐξακοντιζόμενος. ἔστι δὲ δύο γένη τοῦ ὀποῦ· τὸ μὲν διαυγὲς ὡς σαρκοκόλλα, κατὰ μέγεθος ὀρόβου· τὸ δέ τι ἐν ταῖς κοιλίαις ὑαλῶδες καὶ συνεστώς. δολοῦται δὲ καὶ τῇ σαρκοκόλλῃ καὶ κόλλῃ μισγομένῃ. ἐκλέγου δὲ τὸ διαυγὲς καὶ δριμύ. δυσδοκίμαστος δέ ἐστιν ὁ τῇ γεύσει λαμβανόμενος, διὰ τὸ ἅπαξ ἐπιχρισθείσης τῆς γλώττης ἐπιμένειν τὴν πύρωσιν ἐφ' ἱκανὸν χρόνον, ὥστε πᾶν τὸ προσαγόμενον εὐφόρβιον δοκεῖν εἶναι. ἡ μέντοι εὕρεσις αὐτοῦ κατὰ Ἰόβαν τὸν βασιλέα τῆς Λιβύης ἐπενοήθη. δύναμιν δὲ ἔχει ὁ ὀπὸς διαφορητικὴν ὑποχυμάτων ἐγχριόμενος. πυροῖ μέντοι δι' ὅλης τῆς ἡμέρας ποθείς. ὅθεν μέλιτι μίγνυται καὶ κολλυρίοις κατὰ ἀναλογίαν τῆς δριμύτητος. ἁρμόζει καὶ ἰσχίων ἀλείμμασι μιγεὶς ἀρωματικῷ στύμματι καὶ πινόμενος. ἀφίστησι δὲ καὶ λεπίδας αὐθημερόν. δεῖ μέντοι χρωμένους ἀσφαλίζεσθαι τὴν περικειμένην τοῖς ὀστοῖς σάρκα μοτοῖς ἢ κηρωτῇ. ἱστοροῦσι δέ τινες μηδὲν παρακολουθεῖν δυσχερὲς τοῖς ἑρπετοδήκτοις, ἐάν τις ἐγκόψας ἄχρις ὀστέου τὸ δέρμα τῆς κεφαλῆς, ἐγχέῃ τὸν ὀπὸν λεῖον καὶ ῥάψῃ τὸ τραῦμα.

## Περὶ χαλβάνης. κεφ. υϟα.

Χαλβάνη ὀπός ἐστι νάρθηκος ἐν Συρίᾳ γεννωμένου, ἣν ἔνιοι μετώπιον καλοῦσιν. ἔστι δὲ

αὐτῆς

αὐτῆς ἀρίστη ἡ λιβανοειδὴς, χονδρώδης, καθαρά, λιπαρά, ἄξυλος, ἔχουσα δέ τι τοῦ σπέρματος καὶ τοῦ νάρθηκος μισγόμενον. ὀσμὴ βαρεῖα. οὔτε ἄγαν ὑγρά, οὔτε πάλιν κατάξηρος. δολοῦσι δὲ αὐτὴν μισγνῶντες ῥητίνην καὶ ἐρεγμὸν καὶ ἀμμωνιακόν. δύναμιν δὲ ἔχει θερμαντικήν, πυρωτικήν, ἐπισπαστικήν, διαφορητικήν. προστιθεμένη δὲ καὶ ὑποθυμιωμένη, ἔμμηνα καὶ ἔμβρυα ἄγει. φακούς τε αἴρει μετέχουσα καὶ νίτρου ἐπιπλασθεῖσα. καταπίνεται δὲ πρὸς παλαιὰν βῆχα, δύσπνοιαν, ἄσθματα, ῥήγματα, σπάσματα. ἀντιπράσσει δὲ καὶ τοξικῷ σὺν οἴνῳ καὶ σμύρνῃ ποθεῖσα. ἐκβάλλει καὶ τεθνηκότα ἔμβρυα ὁμοίως ληφθεῖσα. ἐπιτίθεται δὲ καὶ πρὸς ὀδύνην πλευρᾶς καὶ πρὸς δοθιῆνας. ἐπιληπτικούς τε καὶ ὑστερικὰς πνιγομένας καὶ σκοτωματικοὺς ὀσφραινομένη διεγείρει. θηρία ἐπιθυμιωμένη διώκει. τούς τε συγχριομένους ἀδήκτους τηρεῖ. σὺν σφονδύλῳ δὲ καὶ ἐλαίῳ περιτεθεῖσα, ἑρπετὰ κτείνει. ὀδόντος τε πόνον περιπλασθεῖσα ἢ ἐντεθεῖσα εἰς τὸ βρῶμα, παύει. δοκεῖ δὲ καὶ δυσουρίας ποιεῖν. λύεται δὲ εἰς μὲν τὰ ποτήματα, πικροῖς ἀμυγδάλοις καὶ ὕδατι, ἢ πτισάνῃ, ἢ μελικράτῳ, ἢ ἀρτοθερμῷ. ἄλλοι δὲ μηκωνείῳ ἢ χαλκῷ κεκαυμένῳ. ἡ χαλβάνη ὑγρά. καθαίρει δὲ αὐτὴν βουλόμενος, καθεὶς εἰς ζεστὸν ὕδωρ. τακείσης γὰρ αὐτῆς, ἐπιπλεύσει τὸ ῥυπαρόν. ὃ περιχωρίσεις. οὕτως εἰς ὀθόνιον καθαρὸν ἀραιὸν ἐνδήσας, ἀποκρέμασον εἰς χαλκῆν πυξίδα ἢ ὀστράκινον ἀγγεῖον. ὡς μὴ ἅπτεσθαι τοῦ πυθμένος τοῦ ἄγγους τὸν ἔνδεσμον. καὶ πωμάσας, εἰς ἀναβραστὸν ὕδωρ καθές. οὕτω γὰρ τὸ μὲν χρήσιμον ἀποτακήσεται ὡς διηθούμενον. τὸ δὲ ξυλῶδες ἐν τῷ ὀθονίῳ μενεῖ.

Περὶ ἀμμωνιακοῦ. ϙβ.

Ἀμμωνιακόν. ποία ἐστὶν, ὅθεν τὸ ἀμμωνιακὸν θυμίαμα, οἱ δὲ, ἀγασύλλιον, οἱ δὲ κριόθεον, οἱ δὲ, ἡλιούστρος. ῥωμαῖοι γούττα· καὶ τοῦτο ὀπός ἐστι νάρθηκος, γινομένου ἐν τῇ κατὰ Κυρήνην Λιβύῃ. καλεῖται δὲ αὐτοῦ ὅλος ὁ θάμνος σὺν τῇ ῥίζῃ, ἀγασυλλίς. ἐκλεκτέον δὲ αὐτοῦ τὸ εὔχρουν καὶ ἄξυλον καὶ ἀλιθές, λιβανίζον τοῖς χόνδροις, καθαρὸν καὶ πυκνόν, μηδεμίαν ἔχον ῥυπαρίαν, κασταρίζον τῇ ὀσμῇ, πικρὸν δὲ τῇ γεύσει. καλεῖται δὲ τὸ τοιοῦτον, θραῦσμα. τὸ δὲ γεῶδες ἢ λιθῶδες, φύραμα. γίνεται δὲ ἐν Λιβύῃ κατὰ Ἄμμωνα. χυλὸς ὢν δένδρου ναρθηκοειδοῦς. δύναμιν δὲ ἔχει μαλακτικήν, ἐπισπαστικήν, θερμαντικήν, διαφορητικὴν σκληρωμάτων τε καὶ φυμάτων. κοιλίαν τε ὑπάγει ποθέν. καὶ ἔμβρυα κατασπᾷ. σπλῆνα τήκει μετέχουσα < α ποθέν. καὶ ἀρθρίτιδι καὶ ἰσχιάσιν ἀλγήματα πραΰνεται. βοηθεῖ δὲ καὶ ἀσθματικοῖς, ὀρθοπνοικοῖς, ἐπιληπτικοῖς, καὶ τοῖς ὑγρασίαν ἐν θώρακι ἔχουσιν, ἐκλειχόμενον μετὰ μέλιτος ἢ πτισάνης ῥοφούμενον χυλῷ. ἄγει δὲ καὶ οὖρα αἱματώδη. σμήχει δὲ καὶ τὰ ἐν ὀφθαλμοῖς λευκώματα, καὶ τραχύτητας βλεφάρων τήκει. λειωθὲν δὲ σὺν ὄξει καὶ ἐπιτεθέν, παύει τὰς περὶ σπλῆνα καὶ ἧπαρ σκληρίας. λύει καὶ τοὺς περὶ τὰ ἄρθρα πώρους μετὰ μέλιτος καταπλασσόμενον. ἢ καὶ πίσσης μιγέν. ποιεῖ καὶ πρὸς κόπους καὶ ἰσχιάδας συγχριόμενον, μιγὲν ὄξει καὶ νίτρῳ καὶ κυπρίνῳ ἐλαίῳ ἀντὶ ἀκόπου.

Περὶ σαρκοκόλλας. ϙγ.

Ἡ σαρκοκόλλα, ἐστὶ δάκρυον δένδρου γινομένου ἐν Περσίδι, ἐοικὸς λιβανωτῷ λεπτῷ, ὑπόκιρρον, ἔμπικρον τῇ γεύσει. δύναμιν δὲ ἔχει κολλητικὴν τραυμάτων καὶ ἐφεκτικὴν τῶν ἐν ὀφθαλμοῖς ῥευμάτων. μίγνυται δὲ καὶ ἐμπλάστροις. δολοῦται δὲ κόμμεως αὐτῇ μισγομένου.

Περὶ γλαυκίου. κεφ. υλδ.

Γλαύκιον. χυλός ἐστι βοτάνης κατὰ Ἱεράπολιν τῆς Συρίας γεννωμένης. ἔοικε δὲ αὐτῆς τὰ φύλλα τῇ κερατίτιδι μήκωνι. λιπαρώτερα δὲ καὶ χαμαίζηλα, καὶ βαρύοσμα καὶ πικρότερα ἐν τῇ γεύσει. χυλὸν δὲ ἔχει πολὺν κροκίζοντα. ταύτης τὰ φύλλα βάλλοντες οἱ ἐπιχώριοι εἰς χύτραν, θερμαίνουσιν ἐν κλιβάνοις ἡμιψυγέσιν ἄχρι μαρασμοῦ. εἶτα ἐκκόψαντες ἐκθλίβουσι τὸν χυλόν. ἔστι δὲ ἡ χρῆσις αὐτοῦ πρὸς τὰ ὀφθαλμικά, ἐν ἀρχῇ ψυκτικοῦ ὄντος.

Περὶ κόλλης. κεφ. υλε.

Κόλλαν ἣν ἔνιοι ξυλοκόλλαν καλοῦσιν ἢ ταυροκόλλαν, καλλίστη ἐστὶν ἡ ῥοδιακή. ἐκ τῶν βοείων βυρσῶν σκευαζομένη. ἔστι δὲ λευκὴ καὶ διαυγὴς ἡ τοιαύτη. ἡ δὲ μέλαινα ἥττων. δύναμιν δὲ ἔχει λυθεῖσα ὄξει, λειχῆνας καὶ λέπρας τὰς ἐπιπολαίους ἀφιστάνει. πυρίκαυστά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι μεθ' ὕδατος θερμοῦ ἐνεθεῖσα καὶ καταχριομένη. ἔστι δὲ καὶ τραυματική, διεθεῖσα μέλιτι καὶ ὄξει.

Περὶ ἰχθυοκόλλης. κεφ. υλϛ.

Ἡ δὲ ἰχθυόκολλα λεγομένη, κοιλία ἐστὶν ἰχθύος κητώδους. διαφέρει δὲ ἡ ἐν Πόντῳ γεννωμένη οὖσα λευκή. ὑπότραχυς. οὐ ψωρώδης. τάχιστα τηκομένη. ὠφελεῖ δὲ εἰς τὰς κεφαλικὰς ἐμπλάστρους καὶ λεπρικὰς δυνάμεις καὶ εἰς τετανώθρα τῶν προσώπων.

Περὶ ἰξοῦ. κεφ. υλζ.

Ἰξὸς καλός ἐστιν ὁ νέος καὶ πρασίζων τῷ χρώματι κατὰ τὰ ἐντός. ἔκτοσ δὲ ὑπόξανθος. μηδὲν ἔχων τραχὺ ἢ πιτυρῶδες. γίνεται δὲ ἔκ τινος καρποῦ περιφεροῦς γεννωμένου ἐν δρυῒ τῇ ἐχούσῃ τὰ φύλλα ὅμοια πύξῳ. κόπτεται δὲ ὁ καρπός. εἶτα πλύνεται. εἶτα ἐν ὕδατι ἕψεται. ἔνιοι δὲ μασώμενοι αὐτὸν ἐργάζονται. γίνεται δὲ καὶ ἐκ μηλέας καὶ ἀπίου καὶ ἄλλων δένδρων. εὑρίσκεται δὲ καὶ πρὸς ῥίζαις θάμνων τινῶν. δύναται δὲ διαφορεῖν. μαλάσσειν. ἐπισπᾶσθαι. συμπέττει φύματα. παρωτίδας καὶ τὰς ἄλλας ἀποστάσεις. μιγεὶς ῥητίνῃ καὶ κηρῷ ἴσῳ. ἐπινυκτίδας τε ἐν καταπλάσει ἰᾶται. σὺν λιβανωτῷ δὲ ἕλκη παλαιὰ καὶ κακοήθη, ἀποστάσεις μαλάσσει. καὶ σπλῆνας τήκει σὺν ἀσβέστῳ ἢ γαγάτῃ λίθῳ ἢ ἀσίῳ ἑψηθεὶς καὶ ἐπιτεθείς. ἕλκει δὲ καὶ ὄνυχας σὺν ἀρσενικῷ ἢ σανδαράχῃ ἐπιπλασθείς. μιγεὶς δὲ ἀσβέστῳ καὶ τρυγί, ἐπιτείνει τὴν δύναμιν αὐτοῦ.

Περὶ ἀπαρίνης. κεφ. υλη.

Ἀπαρίνη· οἱ δὲ, ἀμπελόπρασον. οἱ δὲ, ὀμφαλόκαρπον. οἱ δὲ, φιλάνθρωπον καλοῦσιν. οἱ δὲ, ἰξόν. κλῶνας πολλούς. μικρούς. τετραγώνους. τραχεῖς. φύλλα δὲ ἐκ διαστήματος κυκλοτερῶς περικείμενα ὥσπερ τὰ τοῦ ἐρυθροδάνου. ἄνθη λευκά. σπέρμα σκληρόν. λευκόν. στρογγύλον. ὑπόκοιλον ἐκ μέσου ὡς ὀμφαλός. προσέρχεται δὲ καὶ ἱματίοις ἡ πόα. χρῶνται δὲ αὐτῇ καὶ οἱ ποιμένες ἀντὶ ἠθμοῦ ἐπὶ τοῦ γάλακτος, πρὸς ἔκληψιν τῶν ἐν αὐτῷ τριχῶν. ταύτης τὸ σπέρμα καὶ οἱ καυλοὶ καὶ τὰ φύλλα χυλισθέντα, φαλαγγιοδήκτοις καὶ ἐχιοδήκτοις βοηθεῖ πινόμενον μετὰ οἴνου. καὶ ὠταλγίας ἰᾶται ὁ χυλὸς ἐγχυματιζόμενος. ἡ δὲ πόα ἀναληφθεῖσα ἐξυγγίῳ λείῳ, διαφορεῖ χοιράδας.

Περὶ ἀλύσσου. κεφ. υλθ.

Ἄλυσσον. οἱ δὲ, ἀσπίδιον. οἱ δὲ, ἀπλόφυλλον. οἱ δὲ, ἀκκυσίτον. οἱ δὲ, ἀδέσετον. φρυγάνιόν ἐστι μονόκαυλον. ὑπότραχυ. φύλλα ἔχει στρογγύλα. περὶ οἷς ὁ καρπὸς ὡς ἀσπίδια διπλᾶ. ἐν οἷς τὸ σπέρμα ὑπόπλατυ. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. ταύτης τὸ ἀφέψημα ποθὲν, λυγμοὺς τοὺς δίχα πυρετοῦ λύει. καὶ κρατηθὲν δὲ ἢ ὀσφρανθὲν, τὸ αὐτὸ δρᾷ. σὺν μέλιτι δὲ λεῖον. φακοὺς καὶ ἐφήλεις ἀποκαθαίρει. δοκεῖ δὲ καὶ λύσσαν κυνὸς ἰᾶσθαι.

συγκοπὴν

συγκόπτει ἐδέσματι καὶ ποτῷ. ἐκκρεμάμενον δὲ ἐν οἰκίᾳ, ὑγιεινὸν λέγεται εἶναι καὶ ἀνθρώποις καὶ ζώοις ἀβάσκαντον. περιαφθὲν δὲ φοινικῷ ῥάκει, θρεμμάτων νόσους ἀπαλλάττει.

Περὶ ἀσκληπιάδος. κε. φ'.

Ἀσκληπιάς· οἱ δὲ κισσὸν, οἱ δὲ κισσόφυλλον καλοῦσι. κλωνία ἀνίησι μακρά· ἐφ' ὧν τὰ φύλλα κισσῷ ὅμοια. ῥίζας πολλὰς καὶ λεπτὰς εὐώδεις. ἄνθος βαρύοσμον. σπέρμα δὲ ὡς πελεκίνου. φύεται ἐν ὄρεσι. βοηθοῦσι δὲ αἱ ῥίζαι ἐν οἴνῳ πινόμεναι, στροφουμένοις καὶ θηριοδήκτοις. καὶ τὰ φύλλα καταπλαττόμενα, ἁρμόζει πρὸς τὰς ἐν μαστοῖς καὶ μήτρας κακοηθείας.

Περὶ ἀτρακτυλίδος. κε. φα'.

Ἀτρακτυλίς· οἱ δὲ ἄμυρον· οἱ δὲ κνῆκος ἀγρία· οἱ δὲ ἀσπίδιον· προφῆται ἄφεδρος. αἰγύπτιοι χανώ· ῥωμαῖοι πρεσέπιουμ. οἱ δὲ φουσούγρεστις. οἱ δὲ κολοῦκα ρούστικα. ἀκανθώδης ἐστὶν ἐοικυῖα κνίκῳ, μακρότερα δὲ πολλῷ φύλλα ἔχουσα ἐπ' ἄκρου τῶν ῥαβδίων. τὸ δὲ πλεῖον γυμνὸν τραχὺ, ᾧ καὶ αἱ γυναῖκες χρῶνται ἀντὶ ἀτράκτου. ἔχει δὲ καὶ κεφάλια ἐπ' ἄκρου ἀκανθώδη. ἄνθος ὠχρόν. ἐν ἐνίοις δὲ τόποις πορφυροῦν. ῥίζα δὲ λεπτὴ ἢ ἄχρηστος. ταύτης τὰ φύλλα καὶ ἡ κόμη καὶ ὁ καρπὸς λεῖα ποθέντα σὺν πεπέρει καὶ οἴνῳ, σκορπιοπλήκτοις ὠφελεῖ. ἔνιοι δ' ἱστοροῦσι τοὺς πεπληγότας, ἄχρι περ ἂν κρατῶσι τὴν πόαν ἀνωδύνους εἶναι· ἀποθεμένους δὲ ἀλγεῖν.

Περὶ πολυκνήμου. κε. φβ'.

Πολύκνημον· οἱ δὲ κλινοπόδιον. οἱ δὲ πολυγόνατον. οἱ δὲ δίος ἠλακάτη. οἱ δὲ, ἐχώνυμον, ῥωμαῖοι πουπαλογονθεία. θάμνος ἐστὶ φρυγανώδης. ἔχων φύλλα ὀριγάνῳ ἐμφερῆ. τὸν δὲ καυλὸν πολυγόνατον ὥσπερ γλήχωνος. οὐκ ἔχει μέντοι τὸ σκιάδιον. μικρὰ δὲ ἐπ' ἄκρῳ κορύμβια μετ' εὐωδίας τινὸς δριμείας. τοῖς δὲ καταπλασσόμενον χλωρὸν ἢ ξηρὸν μεθ' ὕδατος, πρὸς τραύματα κολλῶσα. δεῖ δὲ πεμπταῖον λύειν. πίνεται καὶ πρὸς στραγγουρίαν καὶ ῥήγματα σὺν οἴνῳ. ἔδειξε δὲ ἡ πεῖρα, ὡς ἀποζεννυμένων τῶν κλωναρίων αὐτοῦ οἴνῳ λευκῷ, τοὺς ἐχομένους τοῖς λεγομένοις, βιασμοῖς μέγα βοήθημα.

Περὶ κλινοποδίου. κε. φγ'.

Κλινοπόδιον. οἱ δὲ κλεωνίκη. οἱ δὲ ὑλιμορφές. οἱ δὲ, ζώπυρον καλοῦσι. θαμνίον ἐστὶ καὶ τοῦτο φρυγανῶδες διπίθαμον. φυόμενον ἐν πέτραις. ἔχει φύλλα ἑρπύλλῳ παραπλήσια. καὶ τὰ ἄνθη ὅμοια ὡς κλίνης ποσίν. ἐκ διαστημάτων ἐμφερῆ πρασίῳ. πίνεται δὲ ἡ πόα καὶ τὸ ἀφέψημα αὐτῆς, πρὸς θηρίων δήγματα καὶ σπάσματα, καὶ ῥήγματα καὶ στραγγουρίαν. ἄγει καὶ ἔμμηνα. καὶ ἔμβρυα καὶ ἀκροχορδόνας ἀποβάλλει ἐφ' ἱκανὰς ἡμέρας πινόμενον. κοιλίαν τε ἵστησιν ἐπὶ ξέσει ἑψόμενον καὶ πινόμενον. ἀπυρέτοις ἐν οἴνῳ, πυρέττουσι δὲ δι' ὕδατος.

Περὶ λεοντοπετάλου. κε. φδ'.

Λεοντοπέταλον. οἱ δὲ, λεοντοπόδιον. οἱ δὲ λευκήορον. οἱ δὲ λεόντιον. οἱ δὲ δωρίς. οἱ δὲ δωρικηπερίς. οἱ δὲ λυχνὶς ἀγρία. οἱ δὲ ποδέλη. οἱ δὲ, θορύβηθρον. οἱ δὲ ῥαπτίν. οἱ δὲ, μήκων κερατῖτις. οἱ δὲ ἀνεμώνη. ῥωμαῖοι πεταβελκλουμ. οἱ δὲ σεμενλεόντιουμ. καυλὸν ἀνίησι σπιθαμιαῖον ἢ καὶ μείζονα. ἔχοντα μασχάλας πλείστας. ἐφ' ὧν ἄκρων λοβοὶ ὅμοιοι ἐρεβίνθοις. ἐν δὲ τούτοις δύο ἢ τρία σπερμάτια. ἄνθη φοινικᾶ. ἐοικότα ἀνεμώνῃ. φύλλα δὲ ὅμοια κράμβῃ. ἐσχισμένα ὡς τὰ τῆς μήκωνος. ῥίζα μέλαινα ὥσπερ γογγύλη. ἐξοχὰς ἔχουσα καθάπερ κονδύλους τινάς. φύεται ἐν ἀρούραις καὶ ἐν τῷ σίτῳ. ταύτης ἡ ῥίζα σὺν οἴνῳ πινομένη, βοηθεῖ ἑρπετοδήκτοις. ταχέως ἀνωδύνους ποιοῦσα. μίσγεται δὲ καὶ εἰς τοὺς ἰσχιαδικοὺς κλυσμούς.

Περὶ τευκρίου. φεʹ.

Τεύκριον· οἱ δὲ καὶ τοῦτο χαμαίδρυν καλοῦσιν· οἱ δὲ τευκρίδα. πόα ῥαβδοειδὴς ἐοικυῖα χαμαίδρυϊ. λεπτόφυλλος. ἔχουσα ἐρεβίνθῳ πέταλον ὅμοιον. φύεται δὲ πλεῖστον ἐν Κιλικίᾳ τῇ κατὰ γητιάδα καὶ κλοπάδα καλουμένῃ. δύναμιν δὲ ἔχει χλωρὰ μετ᾽ ὀξυκράτου ποθεῖσα ἢ ξηρὰ ἀποζεσθεῖσα καὶ πινομένη, σπλῆνα τήκειν ἰσχυρῶς. καταπλάσσεται δὲ μετὰ σύκων καὶ ὄξους ἐπὶ σπληνικῶν. ποιεῖ θηριοδήκτοις δὲ μετ᾽ ὄξους μόνου χωρὶς σύκων.

Περὶ χαμαίδρυος. φϛʹ.

Χαμαίδρυς· οἱ δὲ χαμαίδρωψ· ἢ λινόδρυς· ῥωμαῖοι τριξάγω μίνορ. διὰ δὲ τὸ σώζειν τινὰ ἐμφέρειαν τοῦ τευκρίου, ἐντεῦθεν τινὲς τευκρίδα ἐκάλεσαν. φύεται ἐν τραχέσι καὶ πετρώδεσι τόποις. ἔστι δὲ θαμνίσκος σπιθαμιαῖος· φύλλα ἔχων μικρὰ τῷ σχήματι καὶ τῇ σχίσει δρυῒ ὅμοια. πικρά. ἄνθος ὑποπόρφυρον μικρόν. συλλέγειν δὲ αὐτὴν δεῖ ἔγκυμονα τοῦ καρποῦ. δύναμιν δὲ ἔχει χλωρὰ ἀφεψηθεῖσα σὺν ὕδατι καὶ ποτιζομένη, βοηθεῖν σπάσμασι. βηχί. σπληνὶ ἐσκιρρωμένῳ. δυσουροῦσιν. ὑδρωπικοῖς ἐν ἀρχαῖς. ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα. σπλῆνα τήκει σὺν ὄξει ποθεῖσα. πρὸς δὲ τὰ θηρία σὺν οἴνῳ πινομένη. καὶ καταπλασσομένη ποιεῖ. λεία δὲ δύναται καὶ εἰς καταπότια ἀναπλάσσεσθαι πρὸς τὰ εἰρημένα. καὶ ἀνακαθαίρει ἕλκη παλαιὰ σὺν μέλιτι. αἴρει δὲ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς σὺν ἐλαίῳ λεία ἐγχριομένη καὶ ἀλειφομένη. ἔστι δὲ θερμαντική.

Περὶ λευκάδος. φζʹ.

Λευκὰς ὀρεινή. πλατυφυλλοτέρα τῆς ἡμέρου ἐστί. δριμύτερόν τε καὶ πικρότερον ἔχουσα τὸν καρπὸν καὶ ἀστομώτερον. δραστικωτέρα μέντοι τυγχάνει τῆς ἡμέρου. ἐπιπλασσόμεναι δὲ ἀμφότεραι καὶ πινόμεναι, ἁρμόζουσι μετ᾽ οἴνου ἐπὶ τῶν ἰοβόλων, καὶ μάλιστα τῶν θαλασσίων.

Περὶ λυχνίδος στεφανωματικῆς. φηʹ.

Λυχνὶς στεφανωματική· οἱ δὲ, ἀθάνατος· οἱ δὲ, ἀκυλώνιον· οἱ δὲ βαγάριον· οἱ δὲ γερανοπόδιον· οἱ δὲ κορύμβιον· οἱ δὲ, ταύρειον· οἱ δὲ σκῆπτρον· οἱ δὲ μαλόϊον· αἰγύπτιοι σεμεόν. προφῆται αἷμα ἀποκαθημένης. ῥωμαῖοι γενικουλάρις. οἱ δὲ βαλλάεια. ἄνθος ἐστὶν ὅμοιον λευκοΐῳ. ἐμπόρφυρον δὲ πλεκόμενον εἰς τὰ στεφάνια. οὗ τὸ σπέρμα βοηθεῖ σὺν οἴνῳ ποθὲν σκορπιοπλήκτοις.

Περὶ λυχνίδος ἀγρίας. φθʹ.

Λυχνὶς ἀγρία· οἱ δὲ, φραγίνατον· οἱ δὲ, ἀτόκιον· οἱ δὲ ἱερακοπόδιον. οἱ δὲ λαμπάς. αἰγύπτιοι σεμῦρα. προφῆται ἀποκαθημένης ταῦρος. ῥωμαῖοι ἴντιβουμ ἀγρέστεμ. οἱ δὲ λαπάτουμ καφαγγίνα· οἱ δὲ, στέριδος. ὁμοία τῇ ἡμέρῳ κατὰ πάντα. τὸ δὲ σπέρμα αὐτῆς, < βʹ πλῆθος ποθὲν ἄγει κατὰ κοιλίαν χολώδη. καὶ σκορπιοπλήκτοις ἁρμόζει. φασὶ δὲ καὶ τοὺς σκορπίους ναρκώδεις καὶ ἀπράκτους γίνεσθαι παρατεθείσης αὐτοῖς τῆς πόας.

Περὶ κρίνου. φιʹ.

Κρίνον βασιλικόν· οἱ δὲ, λειρινάνθεμον· οἱ δὲ καλλέριον· προφῆται αἷμα ἄρεως. ὀθένης αὔρα κροκοδείλου. αἰγύπτιοι συμφαυφού. οἱ δὲ, τίαλος. ῥωμαῖοι λίλιουμ. οἱ δὲ ῥόσα ἰουνώνις. σύροι σουσῦ. ἄφροι ἀβίβλαβον. τούτου τὸ ἄνθος στεφανωματικόν ἐστι. καλούμενον ὑπ᾽ ἐνίων λείριον, ἀφ᾽ οὗ καὶ τὸ χρῖσμα κατασκευάζεται. ὅ τινες λείρινον. οἱ δὲ, σούσινον καλοῦσι. μαλακτικὸν ὂν τῶν νεύρων, καὶ ἰδίως τῶν περὶ μήτραν σκληριῶν. τὰ δὲ φύλλα καταπλασσόμενα, ἑρπετοδήκτοις βοηθεῖ, ἑφθὰ δὲ καὶ πρὸς τὰ καύματα ζεσθέντα. ταριχευθέντα δὲ ἐν ὄξει τραυματικὰ γίνεται. ὁ δὲ χυλὸς αὐτῶν μιγεὶς ὄξει ἢ μέλιτι, ἑψηθείς τε ἐν χαλκώματι, πυγγρῶν γίνεται φάρμακον πρὸς τὰ

παλαιὰ

παλαιὰ ἕλκη καὶ πρόσφατα τραύματα. ἡ δὲ ῥίζα ὀπτὴ λεία σὺν ῥοδίνῳ, πυρίκαυτα ἰᾶται. ἐν ὑστέραις μαλάσσει καὶ ἔμμηνα ἄγει καὶ ἕλκη ἐπουλοῖ. σὺν μέλιτι δὲ λεανθεῖσα, νεύρων διακοπάς· καὶ στρέμματα ἰᾶται. ἀλφούς τε ἀποκαθαίρει καὶ λέπρας καὶ πίτυρα. καὶ ἀχῶρας σμήχει, τό τε πρόσωπον καθαίρει καὶ ἀρρυτίδωτον ποιεῖ. σὺν ὄξει δὲ λεία ἢ σὺν ὑοσκυάμου φύλλοις καὶ ἀλεύρῳ πυρίνῳ, ὄρχεων φλεγμονὰς παραιρεῖται. τὸ δὲ σπέρμα ἑρπετῶν δήγμασιν ἀντιφάρμακον ποθέν. ἐρυσιπελάτων ἢ κατάπλασμα σὺν οἴνῳ λεανθέντα. τό, τε σπέρμα καὶ τὰ φύλλα. φασὶ δέ τινες καὶ πορφυρᾶ ἄνθη κρίνου γίνεσθαι. ἐναργέστατα δὲ γίνεται ἐν τῇ συρίᾳ καὶ πισιδίᾳ τῆς παμφυλίας πρὸς τὴν τοῦ χρίσματος κατασκευήν.

## Περὶ βαλλωτῆς. κε´. φια´.

Βαλλωτή. ἢ μέλαν ἢ μέγα πράσιον. οἱ δὲ πράσιον ἕτερον καλοῦσιν. οἱ δὲ νοφθήν. οἱ δὲ, νοτιανοσκέμιν. οἱ δὲ, νόσπρασον. οἱ δὲ νωθεράς. οἱ δὲ νωχελίς. οἱ δὲ νωστελίς. οἱ δὲ νώφρις. οἱ δὲ συώθουρις. οἱ δὲ συωτέρα. ῥωμαῖοι ἄπιυμ. οἱ δὲ μέδιτουμ. οἱ δὲ οὐλκεράριαμ. οἱ δὲ μαρούβιουμ. οἱ δὲ καθουρίνουμ. αἰγύπτιοι ἄσφος. οἱ δὲ ἴσηκ. προφῆται αἷμα ἰσίωνος. καυλοὺς ἀνίησι τετραγώνους μέλανας. ὑποδασεῖς. ἐκ μιᾶς ῥίζης πλείονας. φύλλα δὲ πράσῳ ὅμοια. μείζονα δὲ καὶ δασέα ἐκ διαστημάτων τοῦ καυλοῦ, καὶ ὑποστρόγγυλα. παραπλήσια μελισσοφύλλου. δυσώδη. ὅθεν καὶ τοῦτο μελισσόφυλλον ἐκάλεσαν. καὶ τὰ ἄνθη δὲ ἅμα περίκειται λόβοις τοῖς καυλοῖς, τροχοειδῶς. ταύτης τὰ φύλλα καταπλασσόμενα μετὰ ἁλῶν, ποιεῖ πρὸς τὰ κυνόδηκτα. μαρανθέντα δὲ ἐν θερμοσποδιᾷ, κονδυλώματα στέλλει. ῥυπαρά τε ἕλκη σὺν μέλιτι ἀποκαθαίρει.

## Περὶ μελισσοφύλλου. κε´. φιβ´.

Μελισσόφυλλον. οἱ δὲ μελίτειον. οἱ δὲ μελίτταιναν. οἱ δὲ μελίφυλλον. οἱ δὲ ἐρυθρά. οἱ δὲ τημελῆ. ῥωμαῖοι ἀπιαστροῦ. οἱ δὲ, κιτράγω. γάλλοι μελισσιμέριον. ὠνόμασται δὲ οὕτω διὰ τὸ ἥδεσθαι τῇ πόᾳ τὰς μελίττας. ἔοικε δὲ αὐτῆς τὰ φύλλα καὶ τὰ καυλία, τῇ προειρημένῃ βαλλωτῇ. μείζονα δὲ ταῦτα καὶ λεπτότερα. οὐχ οὕτω δασέα. ὄζονται δὲ κιτρομήλῳ. ἁρμόζει δὲ τὰ φύλλα ποτιζόμενα σὺν οἴνῳ καὶ καταπλασσόμενα πρὸς σκορπιοπλῆκτους. καὶ φαλαγγιοδήκτους. καὶ κυνοδήκτους. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καταντλούμενον πρὸς τὰ αὐτὰ ποιεῖ. ἔστι τε ἐγκαθίσματα, πρὸς ἐμμήνων ἀγωγὴν εὔθετον. ἔσθ᾽ ὅτε λείοις τὸ διάκλυσμα. ἔγκλυσμά τε δυσεντερικοῖς. βοηθεῖ καὶ τοῖς ὑπὸ μυκήτων πνιγομένοις σὺν νίτρῳ τὰ φύλλα πινόμενα. καὶ στροφουμένοις. καὶ ἐκλείχοντι ὀρθοπνοικοῖς. καταπλασσόμενα δὲ σὺν ἁλσί, διαφορεῖ χοιράδας. καὶ ἕλκη ἀνακαθαίρει. τά τε ἐπὶ τῶν ἀρθριτικῶν ἀλγήματα παρηγορεῖται καταπλασθέντα.

## Περὶ πρασίου. κε´. φιγ´.

Πράσιον. οἱ δὲ εὐπατώριον. οἱ δὲ φυλλόφαρις. οἱ δὲ τριπόδιλον. οἱ δὲ καμαιλεπόδιον. οἱ δὲ φιλόφαρις. αἰγύπτιοι ἀστερόπη. προφῆται αἷμα ταύρου. οἱ δὲ ἄφεδρος γοίθωρου. ῥωμαῖοι μαρούβιουμ. οἱ δὲ λαβεώνια. ἄφροι ἀτιρβίρζια. θάμνος ἐστὶν ἀπὸ μιᾶς ῥίζης πολύκλαδος. ὑπόδασυς. λευκός. τετράγωνος τοῖς ῥάβδοις. φύλλον δὲ τῷ μεγάλῳ δακτύλῳ ἴσον. ὑποστρόγγυλον. δασύ. ἐρρυσσόν. πικρὸν τῇ γεύσει. ἐκ διαστημάτων δὲ ἐπὶ τῶν καυλῶν τὸ σπέρμα. καὶ ἄνθη οἱονεὶ σπόνδυλοι τραχέα, φύεται περὶ τὰ οἰκόπεδα καὶ ἐρείπια. τούτου τὰ φύλλα ξηρὰ σὺν τῷ σπέρματι ἑψόμενα σὺν ὕδατι ἢ χυλιζόμενα χλωρά, δίδοται μετὰ μέλιτος, φθισικοῖς ἀσθματικοῖς, βήττουσιν. ἀνα-

γει καὶ πάχος ἐκ θώρακος ἴρεως ξηρᾶς μιγείσης. δίδοται καὶ ταῖς μὴ καθαιρομέναις γυναιξὶ πρὸς ἀναγωγὴν ἐμμηνίων καὶ δευτέρων. καὶ δυστοκούσαις. καὶ θηριοδήκτοις. καὶ τοῖς θανάσιμον πεπωκόσι. κινεῖ μέντοι καὶ νεφροῖς ἄθετοι. τὰ δὲ φύλλα καταπλασσόμενα σὺν μέλιτι, ῥυπαρὰ ἕλκη ἀνακαθαίρει. τὰ φύγεθλά τε καὶ νομὰς ἀφίστησι. καὶ ὀδύνας πλευρῶν παραιτεῖται. καὶ τὸ ἐξ αὐτῶν δὲ σκευαζόμενον χύλισμα ἐκθλιβομένων τῶν φύλλων, καὶ συστρεφόμενον ἐν ἡλίῳ πρὸς τὰ αὐτὰ ποιεῖ. ἔστι δὲ καὶ ὀξυδερκὲς σὺν οἴνῳ καὶ μέλιτι ἐγχριόμενον. ἀποκαθαίρει δὲ καὶ ἴκτερον διὰ τῶν ῥινῶν. ὠταλγίαις τε ἁρμόζει ἐγχυματιζόμενον καθ᾽ αὑτὸ ἢ μετὰ ῥοδίνου.

## Περὶ στάχυος. κεφ. φιδ'.

Στάχυς. θάμνος ἐμφερὴς πρασίῳ. ὑψομηκέστερος δὲ καὶ πλεῖστα φύλλα ἀραιὰ ἔχων ὑπόδασέα. σκληρά. εὐώδη. λευκά. ῥάβδια δὲ πλείονα ἀπὸ τῆς αὐτῆς ῥίζης. λευκότερα τῶν τοῦ πρασίου. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι χωρίοις. δύναμιν δὲ ἔχει θερμαντικήν. δριμεῖαν. ὅθεν τὸ ἀπόζεμα τῶν φύλλων ἔμμηνα καὶ δεύτερα ἄγει πινόμενον.

## Περὶ φυλλίτιδος. κεφ. φιε'.

Φυλλῖτις. οἱ δὲ φυλλίς. οἱ δὲ ἄκαυλον. οἱ δὲ λάπαθον ἄγριον καλοῦσι. φύλλα ἀνίησιν ὅμοια λαπάθῳ. ἐπιμηκέστερα δὲ καὶ εὐθαλέστερα ς' ἢ ζ' ὀρθὰ λεῖα ἐκ τῶν ἔμπροσθεν. ἐκ τῶν ὄπισθεν δὲ καθάπερ σκώληκας ἔχοντα, ἀπηρτημένους. λεπτούς. φύεται ἐν παλισκίοις καὶ παραδείσοις. γευσαμένῳ στρυφνή. οὔτε δὲ καυλὸν οὔτε καρπὸν οὔτε ἄνθος φέρει. ταύτης τὰ φύλλα μετ᾽ οἴνου πινόμενα, πρὸς ἑρπετοδήκτους ποιεῖ. ἐπὶ τετραπόδων τε διὰ στόματος ἐγχυματισθεῖσα βοηθεῖ. πίνεται καὶ πρὸς δυσεντερίαν καὶ διάρροιαν.

## Περὶ φαλαγγίου. κεφ. φις'.

Φαλάγγιον. οἱ δὲ φαλαγγίτην. οἱ δὲ καὶ ταύτην λευκάκανθαν καλοῦσι. κλῶνές εἰσι δύο ἢ τρεῖς ἢ πλείονες, διεστῶτες ἀπ᾽ ἀλλήλων. ἄνθη λευκά. παραπλήσια κρίνῳ. ἐντομὰς πολλὰς ἔχοντα. σπέρμα δὲ παχὺ μέλαν, ὥσπερ φακοῦ ἥμισυ. ἰσχνότερον μέντοι πολλῷ. ῥίζιον μικρόν. λεπτόν. χλωρὸν ἅμα τῷ ἐλκυσθῆναι ἐκ τῆς γῆς. ὕστερον δὲ συνέλκεται. φύεται δὲ ἐν γεωλόφοις. ταύτης τὰ φύλλα καὶ τὸ σπέρμα ἢ τὸ ἄνθος πινόμενον μετ᾽ οἴνου, σκορπιοπλήκτοις βοηθεῖ. καὶ φαλαγγιοδήκτοις. λύει δὲ καὶ στρόφους.

## Περὶ τριφύλλου. κεφ. φιζ'.

Τρίφυλλον. οἱ δὲ ὀξύφυλλον. οἱ δὲ μινυανθές. οἱ δὲ ἀσφάλτιον. οἱ δὲ κνήκιον καλοῦσι. ῥωμαῖοι τριφόλιουμ. οἱ δὲ τριφόλιουμ ἀκούτουμ. ὀδοράτουμ. θάμνος ἐστὶ πήχεος μείζων. ῥάβδους ἔχων λεπτὰς μελαίνας, σχινώδεις. παραφυάδας ἐχούσας. ἐφ᾽ ὧν φύλλα ὅμοια λωτῷ τῷ δένδρῳ, τρία καθ᾽ ἑκάστην βλάστησιν. ὀσμὴ δὲ αὐτῶν ἄρτι μὲν φυομένων πηγάνου. αὐξηθέντων δὲ ἀσφάλτου. ἄνθος δὲ ἀνίησι πορφυροῦν. σπέρμα δὲ ὑπόπλατυ καὶ ὑπόδασυ. ἐκ τοῦ ἑτέρου πέρατος ὥσπερ κεραίαν ἔχον. ῥίζα δὲ λεπτή. μακρά. ἰσχυρά. βοηθεῖ δὲ τὸ σπέρμα καὶ τὰ φύλλα πινόμενα ἐν ὕδατι πλευριτικοῖς. δυσουροῦσιν. ἐπιληπτικοῖς. ἀρχομένοις ὑδρωπιᾶν. ὑστερικαῖς. ἄγει δὲ καὶ καταμήνια. δεῖ δὲ διδόναι τοῦ μὲν σπέρματος < γ', τῶν δὲ φύλλων < δ'. ἀρήγει δὲ καὶ θηριοδήκτοις τὰ φύλλα λεῖα σὺν ὀξυμέλιτι πινόμενα. ἱστοροῦσι δὲ ἔνιοι ὅτι τὸ ἀφέψημα ὅλου τοῦ θάμνου καὶ τῆς ῥίζης καὶ τῶν φύλλων καταντλούμενον ἐπὶ τῶν ἑρπετοδήκτων παραιτεῖται τοὺς πόνους. ὧν δ᾽ ἂν θεραπευθῇ τις ὕδατι, ἂν ἕτερος ἕλκος ἔχων καταντληθῇ, τὰ αὐτὰ πάσχει τοῖς δηχθεῖσι.

χέαι. ποτίζουσι δέ τινες τῶν μὲν τριταίου τρία φύλλα ἢ τρία σπέρματα σὺν οἴνῳ. τῶν δὲ τεταρταίου δ΄. ὡς λύοντα τὰς περιόδους. μίσγονται δὲ αὐτῆς ἡ ῥίζα ἀντιδότοις.

### Περὶ πολίου ὀρεινοῦ. κεφ. φιη΄.

Πόλιον τὸ ὀρεινόν. οἱ δὲ τεύθριον. οἱ φουξαπίδιον(?). οἱ δὲ ἀλαμενίς. οἱ δὲ ἱβενίτης. οἱ δὲ μέλονη(?). οἱ δὲ βέλιον. οἱ δὲ, λεοντόχαρον. τὸ μὲν, ἐστὶν ὀρεινόν. ὃ καὶ τεύθριον καλεῖται. ὅ ἐστι χρήσιμον. θαμνίον ἐστὶ λεπτόν. λευκόν. σπιθαμιαῖον. καρποῦ πλῆρες, ἔχον κεφάλιον ἐπ᾽ ἄκρου κορυμβοειδὲς μικρὸν ὡς πολιὰν θρίξ. βαρύοσμον μετά τινος ἡδύτητος. τὸ δὲ ἕτερον ἀσθενέστερον. οὐχ οὕτως εὔτονον τῇ ὀσμῇ. καὶ ἀδρανέστερον κατὰ τὴν δύναμιν. δύναται δὲ αὐτῶν τὸ ἀπόζεμα πινόμενον, θηριοδήκτοις ἀρήγειν. ὑδρωπικοῖς. ἰκτεριῶσι. σπληνικοῖς δὲ σὺν ὄξει. ἔστι δὲ καὶ κεφαλαλγὲς καὶ κακοστόμαχον. ἄγει δὲ καὶ κοιλίας καὶ ἔμμηνα. ὑποστρωννύμενον δὲ καὶ θυμιώμενον, θηρία διώκει. καταπλασσόμενον δὲ τραύματα κολλᾷ.

### Περὶ σκορδίου. κεφ. φιθ΄.

Σκόρδιον. οἱ δὲ σκόρβιον. οἱ δὲ πλευρῖτις. οἱ δὲ δύσοσμον, οἱ δὲ καλαμίνθη ἀγρία. οἱ δὲ χαμαίδρυς. οἱ δὲ μιθριδάτειος. προφῆται αἷμα ποδότος(?). αἰγύπτιοι ἀφώ. ῥωμαῖοι φριξάγω παλούστρις. φύεται ἐν ὀρεινοῖς τόποις καὶ ἑλώδεσι. φύλλα ἔχει ἐοικότα χαμαίδρυϊ. μείζονα δὲ καὶ οὐχ οὕτως ἐντετμημένα τὴν περιφέρειαν. ποσῶς δὲ τῇ ὀσμῇ σκορδίζοντα. στυπτικὰ δὲ ἐμπικρὰ πρὸς τὴν γεῦσιν. καυλία δὲ τετράγωνα. ἀφ᾽ ὧν ἄνθος ὑπέρυθρον. δύναμιν δὲ ἔχει θερμαντικήν. διουρητικήν. ποτιζομένη χλωρὰ λεία. ἢ ξηρὰ ἀφεψομένη σὺν οἴνῳ πρὸς ἑρπετῶν δήγματα θανάσιμα. πρός τε δηγμὸν στομάχου καὶ δυσεντερίας. καὶ δυσουρίας. < β΄. σὺν ὑδρομέλιτι. καθαίρει καὶ πάχος πτυσμάτων ἐκ θώρακος. ποιεῖ δὲ πρὸς παλαιὰς βῆχας δὲ ῥήγματα, δὲ σπάσματα σὺν καρδάμῳ καὶ μέλιτι καὶ ῥητίνῃ μιγεῖσα ξηρὰ ἐν ἐκλεικτῷ. καὶ ὑποχόνδριον μετρίως φλεγμαῖνον, ἀναληφθεῖσα κηρωτῇ παρηγορεῖ. ποιεῖ δὲ καὶ πρὸς ποδάγρας μετ᾽ ὄξους δριμέος περιχριομένη. ἢ μεθ᾽ ὕδατος καταπλασσομένη. προστεθεῖσα δὲ ἔμμηνα κινεῖ. καὶ τραύματα κολλᾷ. ἕλκη παλαιὰ ἀνακαθαίρει. καὶ ἀπουλοῖ σὺν μέλιτι. ξηρὰ δὲ ὑπερσαρκώματα στέλλει. πίνεται δὲ καὶ τὸ ἐξ αὐτῆς χύλισμα πρὸς τὰ εἰρημένα πάθη. ἐναργέστατον δ᾽ ἐστὶ τὸ ποντικὸν καὶ τὸ κρητικόν.

### Περὶ βηχίου. κεφ. φκ΄.

Βήχιον. οἱ δὲ ῥίχιον. οἱ δὲ πετρίνη. οἱ δὲ πήγανον. οἱ δὲ πάθιον. οἱ δὲ πεζάγνατον. οἱ δὲ χαμαιλεύκη. οἱ δὲ πρόχειτον. οἱ δὲ ἀρκόφυτον. οἱ δὲ χαμαίγειρον. αἰγύπτιοι σαρθά. ῥωμαῖοι τουσιλάγω. οἱ δὲ φαρφάριαμ. οἱ δὲ πουσουλάγω. βέσσοι ἀσά. φύλλα ἔχει ὅμοια κισσῷ. μείζονα δὲ ϛ΄ ἢ ζ΄. ἀπὸ τῆς ῥίζης. ἐκ μὲν τῶν πρὸς τὰ ἄνω λευκά. ἐκ δὲ τῶν πρὸς τὰ κάτω χλωρά. γωνίας πλείους ἔχοντα. καυλὸν σπιθαμιαῖον. ἄνθη ὠχρὰ κατὰ τὸ ἔαρ. ὀξέως δὲ ἀποβάλλει τό, τε ἄνθος καὶ τὸν καυλόν. ὅθεν τινὲς ὑπέλαβον ἄκαυλον καὶ ἀνανθῆ ὑπάρχειν τὴν πόαν. ῥίζα λεπτὴ καὶ ἄχρηστος. φύεται περὶ λιβάδας καὶ ἐνύδρους τόπους. ταύτης τὰ φύλλα λεῖα σὺν μέλιτι καταπλασσόμενα, ἐρυσιπέλατα καὶ πᾶσαν φλεγμονὴν ἰᾶται. ὑποθυμιώμενα δὲ ξηρὰ εἰς ἀνακαπνισμόν, τοὺς ὑπὸ ξηρᾶς βηχὸς καὶ ὀρθοπνοίας ὀχλουμένους θεραπεύει. ὅταν χανόντες, τὸν καπνὸν τῷ στόματι δέξωνται. ῥήσσει δὲ καὶ τὰ ἐν θώρακι ἀποστήματα. τὸ δ᾽ αὐτὸ ποιεῖ δὲ ἡ ῥίζα ὑποθυμιωμένη. ἔμβρυόν τε τεθνηκὸς ἐκβάλλει ἐν ὑδρομέλιτι ἑφθὴ πινομένη.

Περὶ ἀρτεμισίας πολυκλώνου. φκα'.

Ἀρτεμισία πολύκλωνος· οἱ δὲ μονόκλωνος· οἱ δὲ τοξιτησία· οἱ δὲ ἐφεσία· οἱ δὲ ἀνακτόριος· οἱ δὲ σώζουσα· οἱ δὲ λάχ· οἱ δὲ λυκόφρυξ. προφῆται αἷμα ἀνθρώπου. οἱ δὲ, χρυσάνθεμον. ῥωμαῖοι οὐλεντία· οἱ δὲ σερπύλλουμ· οἱ δὲ ἕρβα ῥέγια· οἱ δὲ ῥαπούμ· οἱ δὲ πρεταινάγιτα· οἱ δὲ ἀρτεμίσιαμ. γάλλοι βοτιτίμ. δάκοι ζουόστη. φύεται ἐν παραθαλασσίοις τόποις ὡς τὸ πολύ. πόα θαμνοειδὴς παρόμοιος ἀψινθίῳ. μείζων δὲ καὶ λιπαρωτέρα φύλλα ἔχουσα τὰ φύλλα καὶ τὰς ῥάβδους. ἡ δὲ, λεπτοτέρα. ἄνθη μικρὰ λεπτὰ λευκὰ βαρύοσμα θέρους δὲ ἀνθεῖ. ἔνιοι δὲ τὸ ἐν μεσογείοις λεπτὸν σκαρφον βοτάνιον ἁπλοῦν τῷ καυλῷ. σφόδρα μικρόν. ἄνθους πλήρης κιρρὸς τῇ χροιᾷ. λεπτόν· ὃ καλοῦσιν ἀρτεμισίαν μονόκλωνον. ἔστι δὲ εὐωδεστέρα τῆς πρὸ αὐτῆς. ἀμφότεραι δὲ θερμαίνουσι καὶ λεπτύνουσιν. ἀποζεννύμεναι δὲ ἁρμόζουσιν εἰς γυναικεῖα ἐγκαθίσματα πρὸς ἀγωγὴν ἐμμήνων καὶ δευτέρων καὶ ἐμβρύων. μύσιν τε καὶ φλεγμονὴν τῆς ὑστέρας καὶ θρύψιν λίθων. καὶ ἐποχὴν οὔρων. ἡ δὲ πόα κατὰ τοῦ ἤτρου καταπλασθεῖσα πολλή, ἔμμηνα κινεῖ. ὁ δὲ ἐξ αὐτῆς χυλὸς λεανθεὶς σμύρνῃ καὶ προστεθείς, ἄγει ἀπὸ μήτρας ὅσα καὶ τὸ ἐγκάθισμα. καὶ ποτίζεται δὲ ἡ κόμη πρὸς ἀγωγὴν τῶν αὐτῶν, πλῆθος < γ'.

Περὶ ἀρτεμισίας λεπτοφύλλου. φκβ'.

Ἀρτεμισία λεπτόφυλλος. ἥτις γεννᾶται περὶ ὀχετοὺς καὶ φραγμοὺς καὶ εἰς χώρας σπορίμους. τὸ ἄνθος οὖν αὐτῆς καὶ τὰ φύλλα τριβόμενα, ὀσμὴν ἀποδίδωσι σαμψύχου. εἰ οὖν τις πονεῖ τὸν στόμαχον καὶ κόψει τὴν βοτάνην ταύτην μετὰ ἀμυγδαλίνου ἐλαίου καλῶς, καὶ ποιήσει ὡς μάλαγμα καὶ θήσει ἐπὶ τὸν στόμαχον, θεραπευθήσεται. εἰ δὲ καὶ τὰ νεῦρά τις πονεῖ, τὸν χυλὸν ταύτης μετὰ ῥοδίνου ἐλαίου μίξας χρίει, θεραπευθήσεται.

Περὶ ἀμβροσίας. φκγ'.

Ἀμβροσία. οἱ δὲ βότρυς. οἱ δὲ βότρυς ἀρτεμισία. ῥωμαῖοι κάπρουμ σιλβάτικουμ. οἱ δὲ, ἄπιουμ ῥούστικουμ. αἰγύπτιοι μερσιώ. θαμνίσκος ἐστὶ τρισπίθαμος τὸ ὕψος. πολυκλαδής. φύλλα ἔχων περὶ τὴν ἐκβολὴν τοῦ καυλοῦ μικρὰ ὡς πηγάνου. τὰ δὲ κλωνία πεπλήρωται σπερματίων. ἐοικότων βοτρυδίοις μηδέποτε ἀνθοῦσι. τῇ ὀσμῇ μηκωνώδης ἡδεῖα. ἡ δὲ ῥίζα λεπτὴ ἢ διπίθαμος. καταπλέκεται δὲ ἐν καππαδοκίᾳ τοῖς στεφάνοις. δύναμιν δὲ ἔχει σταλτικὴν τῶν ἐπιφερομένων καὶ ἀποκρουστικήν. καταπλασσομένην στύφουσαν.

Περὶ βότρυος. φκδ'.

Βότρυς. πόα ἐστὶν ὅλη μηλίνη. θαμνοειδής. διακεχυμένη. πολλὰς ἔχουσα μασχάλας. τὸ δὲ σπέρμα ὅλοις τοῖς κλωνίοις περιπέφυκε. φύλλα κιχορίῳ ἐμφερῆ. καὶ τὸ σύμπαν εὐῶδες ἱκανῶς. διὸ καὶ ἱματίοις συντίθεται. φύεται δὲ μάλιστα περὶ χαράδρας καὶ χειμάρρους. δύναμιν δὲ ἔχει σὺν οἴνῳ πινομένη ὀρθοπνοίας παρηγορεῖν. ταύτην καὶ ἀμβροσίαν καππαδόκαι καλοῦσι. τινὲς δὲ ἀρτεμισίαν.

Περὶ γερανίου. φκε'.

Γεράνιον. οἱ δὲ πελωνῖτις. οἱ δὲ τρίκα. οἱ δὲ πρασοσέρον. ῥωμαῖοι ἐσχιάστρουμ. ἄφροι ἰέσηκε. τὸ μὲν φύλλον ἔχει ὅμοιον ἀνεμώνῃ. ἐσχισμένον. μακρότερον. ῥίζαν ὑποστρογγύλην. γλυκεῖαν. ἐσθιομένην. ἥτις ποθεῖσα ἐν οἴνῳ ἄγει < πλῆθος, ὑστέρας ἐμπνευματώσεις λύει.

Περὶ γερανίου ἑτέρου. φκς'.

Γεράνιον ἕτερον. οἱ δὲ, ὀξύφυλλον. οἱ δὲ μεθτρύξ. οἱ δὲ μυρρίς. οἱ δὲ κροδάμυμον. οἱ δὲ ὀρίγανον. προφῆται ἱεροβρύγκας. ῥωμαῖοι πυλμεγνία. οἱ δὲ κικοτρία. οἱ δὲ γρουῖνα. ἄφροι ἰσγη.

ἴζῃ. καλεῖται καὶ ὑπό τινων καὶ ἕτερον γεράνιον, ἔχει καυλία λεπτὰ ἀχυρώδη. σπιθαμιαῖα, φύλλα μαλάχῃ ἐμφερῆ· καὶ ἐπ᾽ ἄκρων τῶν μασχαλῶν ἐξοχάς τινας ἀνανενευκυίας ὡς γεράνων κεφαλὰς σὺν τοῖς ῥάμφεσιν. ἢ κυνῶν ὀδόντας. χρῆσις δὲ αὐτοῦ ἐν ἰατρικῇ οὐδεμία.

Περὶ γναφαλίου. κε. φκζ.

Γναφάλιον οἱ δὲ ἰρές. οἱ δὲ ἀμπέτοκος. οἱ δὲ ἀνάξιρον. οἱ δὲ, ἀναφαλίς. αἰγύπτιοι σεμεώρι. γάλλοι γλασαρέμ. ῥωμαῖοι κεντούκλουμ. οἱ δὲ τουκουλάρισ. οἱ δὲ ἀλβίνισ. τούτου τοῖς φύλλοις τινὲς ἀντὶ γναφάλου χρῶνται λευκοῖς οὖσι καὶ μαλακοῖς. ποιεῖ δὲ σὺν οἴνῳ αὐστηρῷ ποτιζόμενα τὰ φύλλα πρὸς δυσεντερίαν.

Περὶ τύφης. κε. φκη.

Τύφη. φύλλον ἀνίησι κυπέρῳ ὅμοιον. καυλὸν, λευκόν. λεῖον. ὁμαλόν. ἐπ᾽ ἄκρῳ περικείμενον ἄνθος πυκνὸν καὶ ἐκπαππούμενον. ὃ καλοῦσιν ἔνιοι ἀνθήλην. ταύτης τὸ ἄνθος ἀναλειφθὲν στέατι παλαιῷ ὑείῳ πεπλυμένῳ, κατακαύματα θεραπεύει. φύεται δὲ ἐν ἕλεσι καὶ ὑδροστασίμοις τόποις.

Περὶ κιρκαίας. κε. φκθ.

Κιρκαία· οἱ δὲ διρκαίαν καλοῦσι. τὰ μὲν φύλλα ἔχει στρύχνῳ ὅμοια κηπαίῳ. παραφυάδας δὲ πολλάς. ἄνθη μέλανα μικρὰ· πολλά. καρπὸν δὲ κεγχροειδῆ ἔν τισιν οἷον ἐν κερατίοις. ῥίζας σπιθαμιαίας γ΄ ἢ δ΄. λευκάς. εὐώδεις. θερμαντικάς. μάλιστα δὲ ἐν τόποις πετρώδεσι φύεται ξηροῖς καὶ εὐπνόοις εὐηλίοις. ταύτης ἡ ῥίζα ὅσον μναῖ δ΄, θλασθεῖσα καὶ βραχεῖσα ἡμέραν καὶ νύκτα ἐν οἴνου γλυκέος κοτύλαις ζ΄, καὶ ποθεῖσα ἡμέρας γ΄, ὑστέραν ἀποκαθαίρει. ὁ δὲ καρπὸς γάλα κατασπᾷ ἐν ῥοφήμασι λαμβανόμενος.

Περὶ οἰνάνθης. κε. φλ΄.

Οἰνάνθη. οἱ δὲ κερασκόμην. οἱ δὲ λευκάνθην καλοῦσι. τὰ μὲν φύλλα ἔχει ὡς τὰ τῆς σταφυλίνου. ἄνθη δὲ λευκά. καὶ καυλὸν παχύν. σπιθαμιαῖον. καρπὸν δὲ ὡς τὸν ἀτράφαξιος. ῥίζαν μεγάλην κεφαλὰς ἔχουσαν πλείονας. στρογγύλας. φύεται ἐν πέτραις. ταύτης ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ τὰ φύλλα, πίνεται πρὸς δευτέρων ἐκβολὴν σὺν οἰνομέλιτι. ἡ δὲ ῥίζα σὺν οἴνῳ πρὸς στραγγουρίας ἁρμόζει.

Περὶ κονύζης μεγάλης. φλα΄.

Κόνυζα μεγάλη. οἱ δὲ κνωζεματῖτις. οἱ δὲ δακναίσ. οἱ δὲ πανάχιον. οἱ δὲ φύκος. οἱ δὲ ἰσχύς. οἱ δὲ δένοσμος. προφῆται βρεφοκτόνος. οἱ δὲ ἀσβίας. οἱ δὲ ἀδεμιάς. αἰγύπτιοι κέτι. ῥωμαῖοι ἰντίβουμ. οἱ δὲ μιλιτάρις μίνα. οἱ δὲ ἀλλιάριοι. οἱ δὲ φεβροφύγα. οἱ δὲ, φραγμοσα. οἱ δὲ μουστεροί. οἱ δὲ πανάν.

Περὶ κονύζης μικρᾶς. κε. φλβ.

Κόνυζα. ἡ μέν τις μικρὰ καλεῖται. εὐωδεστέρα οὖσα. ἡ δὲ μείζων. ὑπερέχουσα τῷ θάμνῳ καὶ τοῖς φύλλοις. πλατυτέρα καὶ βαρύοσμος. ἀμφότεραι δὲ προσεοίκασι τοῖς φύλλοις ἐλαίας. ἔστι δὲ δασέα ταῦτα καὶ λιπαρά. ὕψος δὲ τοῦ καυλοῦ ἡ μὲν μείζων, δύο πηχῶν ἔχει. ἡ δὲ ἐλάττων ποδός. ἄνθος ψαφαρόν. μήλινον. ὑπόκιρρον. ἐκπαππούμενον. ῥίζαι δὲ ἄχρηστοι. δύναται δὲ ὁ θάμνος ὑποστρωννύμενος σὺν τοῖς φύλλοις καὶ θυμιώμενος, θηρία διώκειν. καὶ κώνωπας ἀπελαύνειν. κτείνει δὲ καὶ ψύλλας. καταπλασσόμενα δὲ τὰ φύλλα ὠφέλιμά ἐστιν ἑρπετοδήκτοις καὶ φύμασι καὶ τραύμασι. καὶ πίνεται σὺν οἴνῳ τὸ ἄνθος καὶ τὰ φύλλα πρὸς καταμηνίων ἀγωγὴν καὶ ἐμβρύων ἐκβολήν. καὶ στραγγουρίαν. καὶ στρόφους καὶ ἴκτερον. μετ᾽ ὄξους δὲ ἐπιληπτικοὺς πινόμενον ὠφελεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς ἐν καθίσματι, τὰ ἐν μήτρᾳ θεραπεύει. ὁ δὲ χυλὸς προστεθεὶς ἐκτρωσμὸν ποιεῖ. ποιεῖ δὲ καὶ πρὸς ῥίγη συγχριομένη ἡ πόα μετ᾽ ἐλαίου. καὶ λεπτὴ καὶ κεφαλαλγίαν καταπλασσομένη ἰᾶται.

Περὶ κονύζης ἑτέρας. κε. φλγ΄.

Κόνυζα ἑτέρα. οἱ δὲ κόνυζα μικρά. οἱ δὲ πάτιος. οἱ δὲ λιβανωτίς. προφῆται κρόνος. ἐστὶ δὲ καὶ τρίτον εἶδος κονύζης. ἔστι δὲ καυλῷ παχυτέρα καὶ μαλακωτέρα. τοῖς δὲ



Κονυζαν vide arist. 15 de hyst. animal: ... pulicariam herbam vocant —

φύλλοις μείζων τῆς λεπτῆς. ἐλάσσων δὲ τῆς μείζονος. οὐλοτέρα. βαρυοσμοτέρα δὲ πολλῷ τῆς ἀνδεστέρας καὶ ἀπρακτοτέρα. φύεται δὲ ἐν ἀνύδροις.

Περὶ ἡμεροκαλλίδος. κεφ. ρλδ'.

Ἡμεροκαλλίς. οἱ δὲ ἡμεροκαλλάντον. οἱ δὲ κρῖνον ἄγριον. οἱ δὲ κρινάνθεμον. οἱ δὲ πορφυρανθές. οἱ δὲ βολβὸς ὁ αἱματικός. οἱ δὲ ἀντικάνθαρον. αἰγύπτιοι ἰοκροί. ῥωμαῖοι βάλβουμ. οἱ δὲ ἔλισμ ἀγρέστεμ. οἱ δὲ ἔλιουμ μαρῖνουμ. ἄφροι ἀβίβλαβον. φύλλα ἔχει καὶ καυλὸν ὅμοια κρίνῳ. χλωρὰ δὲ ὡς τὰ πράσου. ἄνθη δὲ ἐν αὐτῷ καθ' ἑκάστην ἀπόφυσιν γ' ἢ δ'. τὴν σχέσιν τῷ κηρίνῳ ἐοικότα ὅταν ἄρξηται χαίνειν. τὴν δὲ χρόαν ἰσχυρῶς ὠχρά. ῥίζαν ὁμοίαν βολβῷ εὐμεγέθει. ἥτις λεία ποθεῖσα καὶ σὺν μέλιτι ἐν ἐρίῳ προστεθεῖσα πεσσός ἐστιν ὑδραγωγὸς καὶ αἱμαγωγός. τὰ δὲ φύλλα λεῖα καταπλασσόμενα φλεγμονὰς μαστῶν τὰς ἐκ τοκετῶν καὶ ὀφθαλμῶν πραΰνει. καὶ καταπλάσσεται δὲ ἡ ῥίζα καὶ τὰ φύλλα ὠφελίμως ἐπὶ τῶν πυρικαύτων.

Περὶ λευκοΐου. κεφ. ρλε'.

Λευκόϊον. οἱ δὲ βασίλειον. ῥωμαῖοι ὅπουλα ἄλβα. οἱ δὲ βίολα ἄλβα. οἱ δὲ αὐτουσία. οἱ δὲ βιόλαμ αὐζοτάλεμ. οἱ δὲ πασσαρίνα. οἱ δὲ πάλυφυρα. γνώριμός ἐστιν. ἔστι δὲ αὐτῆς διαφορὰ ἐν τῷ ἄνθει. ἢ γὰρ λευκόν ἐστιν ἢ μήλινον ἢ κυανοῦν ἢ πορφυροῦν εὑρίσκεται. ἔστι δὲ αὐτοῦ εὔχρηστον πρὸς τὴν ἰατρικὴν χρῆσιν τὸ μήλινον. οὗ τὰ ἄνθη ξηρὰ ἀποζεσθέντα εἰς ἐγκαθίσματα ποιεῖ πρὸς τὰς περὶ ὑστέραν φλεγμονὰς καὶ ἀγωγὰς ἐμμηνίων. ἀναληφθέντα δὲ κηρωτῇ ῥαγάδας τὰς ἐν δακτυλίῳ θεραπεύει. σὺν δὲ μέλιτι ἄφθας. ὁ δὲ καρπὸς αὐτοῦ σὺν οἴνῳ ποθεὶς δραχμῶν δυοῖν πλῆθος, ἢ προστεθεὶς σὺν μέλιτι, ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει. αἱ δὲ ῥίζαι καταπλασθεῖσαι σὺν ὄξει, στέλλουσι σπλῆνα. καὶ ποδαγρικοὺς ὠφελοῦσι.

Περὶ κραταιογόνου. κεφ. ρλϛ'.

Κραταιόγονον. οἱ δὲ κραταιόγονον. φύλλα ἔχει ὅμοια τοῖς τοῦ μελαμπύρου. πλείους δὲ ἀπὸ μιᾶς ῥίζης φύονται κλάδοι γονατώδεις. καρπὸν δὲ ὅμοιον κέγχρῳ. φύεται ἐν συσκίοις καὶ φρυγανώδεσιν ὡς ἐπὶ τὸ πολὺ τόποις. ἰσχυρῶς δὲ δριμύ. ἱστορεῖται δὲ ὑπό τινων ἡ πόσις τοῦ καρποῦ γυναῖκα ἀρρενοτόκον ποιεῖν. ἐάν τις μετὰ τὴν κάθαρσιν τῶν καταμηνίων πρὸ τοῦ πλησιάσαι πίνῃ νῆστις τρὶς τῆς ἡμέρας, ἑλκὴν τριωβόλου μετὰ ὕδατος κυάθων β' ἐπὶ ἡμέρας μ'. ὡσαύτως δὲ καὶ ὁ ἀνὴρ πινέτω τὰς ἴσας ἡμέρας καὶ πλησιαζέτω.

Περὶ φύλλου. κεφ. ρλζ'.

Φύλλον. οἱ δὲ ἐλαιόφυλλον. οἱ δὲ βρυωνίαν καλοῦσι. φύεται ἐν πέτραις. τὸ μὲν θηλυγόνον λεγόμενον, ὡς περὶ βρύον. ἔχει χλωρότερον ἐλαίας τὸ φύλλον. καυλὸν, λεπτόν. βραχύ. ῥίζαν, λεπτήν, ἄνθος λευκόν. καρπὸν, μείζονα ὡς τῆς μήκωνος. τὸ δὲ ἀρρενογόνον, τὰ μὲν ἄλλα ὅμοιον τῷ προειρημένῳ. καρπῷ δὲ διαφέρει. ἔχει γὰρ ὅμοιον ἄνθει ἀρχὴν ἀνθηκυίας ἐλαίας βοτρυῶδες. λέγεται δὲ τὸ ἀρρενογόνον ποθὲν, ἀρρενοτοκεῖν, τὸ δὲ θηλυγόνον θηλυτοκεῖν. ἱστορεῖ περὶ τούτων Κρατεύας. ἐμοὶ δὲ δοκεῖ τὰ τοιαῦτα μέχρι τῆς περὶ αὐτῶν ἱστορίας προάγειν.

Περὶ ὄρχεως. κεφ. ρλη'.

Ὄρχις. οἱ δὲ κυνὸς ὄρχιν καλοῦσι. φύλλα ἔχει κατὰ γῆς ἐστρωμένα περὶ τὸν καυλὸν καὶ τὸν πυθμένα. ἐλαίας μαλακῆς ὅμοια. στενότερα δὲ τῆς ἐλαίας μακρότερα. καυλὸν σπιθαμῆς τὸ μῆκος. ῥίζαν βολβοειδῆ ἐφ' οὗ ἄνθη πορφυροειδῆ. ἐπιμήκη. διπλῆν στενὴν ὡς ἐλαίας τὴν μὲν ἄνω, τὴν δὲ κατωτέρω. καὶ τὴν μὲν, πλήρη. τὴν δὲ μαλακὴν καὶ ῥυσσήν. ἐσθίεται δὲ ἡ ῥίζα ὡς βολβὸς ἑψηθεῖσα. καὶ περὶ ταύτης δὲ ἱστορεῖται, τὴν μὲν μείζονα ῥίζαν ὑπὸ ἀνδρῶν ἐσθιομένην, ἀρρενογόνον εἶναι. τὴν δὲ ἐλάττονα ὑπὸ γυναικῶν, θηλυγόνον. προσιστορεῖται δὲ ὅτι καὶ

τὰς ἐν

# ΤΡΙΤΟΝ.

## Περὶ ἀνθυλλίδος. Κεφ. φια΄.

Ἀνθυλλίς. οἱ δὲ ἄνθυλλον. οἱ δὲ ἀνθεμίδα. οἱ δὲ ἱεράνθεμις. οἱ δὲ λευκάνθεμον. οἱ δὲ σωραυθίς. οἱ δὲ ἄνθος πεδινόν. ῥωμαῖοι σωλάστρουμ καλοῦσι. διττή ἐστι. ἡ μὲν γὰρ φακῷ παραπλήσια φύλλα ἔχει καὶ κλωνία σπιθαμιαῖα ὕψος. ὀρθὰ δὲ καὶ τὰ φύλλα μαλακά. ῥίζα δὲ λεπτή, μικρά. φύεται ἐν ὑφαλμύροις τόποις καὶ εὐηλίοις. γινομένη ὑφαλμος. ἡ δὲ ἑτέρα χαμαιπίτυϊ τὰ φύλλα καὶ τὰ κλωνία ἔοικε. δασύτερα μέντοι καὶ βραχύτερα. καὶ τραχύτερα. τὸ δὲ ἄνθος πορφυροῦν. βαρύοσμον ἰσχυρῶς. ῥίζα ὡς τῆς κιχωρίας. δύναται δὲ ἰσχυρῶς δυσουρίαις καὶ νεφριτικοῖς πινομένη βοηθεῖν. πλῆθος < δ΄. καὶ μαλάσσουσι δὲ φλεγμαινούσας ὑστέρας λεῖαι σὺν ῥοδίνῳ καὶ γάλακτι προστιθέμεναι. ἰῶνται δὲ καὶ τραύματα. ἡ δὲ τῇ χαμαιπίτυϊ ὁμοία, μετὰ τῶν ἄλλων καὶ ἐπιληπτικοὺς ἰᾶται σὺν ὀξυμέλιτι πινομένη.

## Περὶ ἀνθεμίδος. Κεφ. φιβ΄.

Ἀνθεμίς. οἱ δὲ λευκάνθεμον. οἱ δὲ ἠράνθεμον. διὰ τὸ ἀνθεῖν ἐπὶ ἔαρος. οἱ δὲ χαμαίμηλον. διὰ τὴν πρὸς τὰ μῆλα ὁμοιότητα τῆς ὀσμῆς. οἱ δὲ μηλάνθεμον. οἱ δὲ χρυσοκόμην. οἱ δὲ καλλίαν. ῥωμαῖοι μάλιστμ. ἀφροὶ ἀστηρτιφῆ. ἕτεροι δὲ χρυσοκόμην καλοῦσι. ταύτης εἴδη τρία. ἄνθεσι μόνοις διαφέροντα. κλῶνας σπιθαμιαίους θαμνοειδεῖς. μασχάλας ἔχοντας πολλάς. κλωνάρια μικρὰ λεπτὰ πολλά. κεφάλια περιφερῆ. ἔνδοθεν μὲν χρυσίζοντα ἄνθη. ἔξωθεν δὲ περίκειται κυκλοτερῶς λευκά, ἢ μήλινα ἢ πορφυρᾶ. κατὰ μέγεθος πηγάνου φύλλων. φύεται ἐν τόποις τραχέσι καὶ παρὰ τὰς ὁδούς. συλλέγεται δὲ ἔαρος. δύναμιν δὲ ἔχουσιν αἱ ῥίζαι καὶ τὰ ἄνθη καὶ ἡ βοτάνη θερμαντικήν, λεπτυντικήν. πινόμεναι δὲ καὶ ἐγκαθεζόμεναι, καταμήνια ἄγουσι καὶ ἔμβρυα. καὶ λίθους. καὶ οὖρα. ποτίζεται δὲ καὶ πρὸς ἐμπνεύματα τάσεις καὶ εἰλεούς. καὶ ἴκτερον δὲ ἀποκαθαίρουσι καὶ ἡπατικοὺς ἰῶνται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν εἰς πυρίας λαμβάνεται τὰς πρὸς κύστιν. πρακτικώτερον δὲ τοῖς λιθιῶσι τὸ πορφυρανθὲς ὅπερ τοῖς ὅλοις ἐστὶ μεῖζον ἰδίως ἠράνθεμον καλούμενον. τὸ δὲ λευκάνθεμον καλούμενον οὐρητικώτερον καὶ τὸ χρυσάνθεμον. θεραπεύουσι δὲ καὶ αἰγίλωπα καταπλασσόμεναι. διαμασσώμεναι δὲ καὶ ἄφθας ἰῶνται. χρῶνται δέ τινες καὶ συγκλύσματι μετ᾽ ἐλαίου. ἀποτριβοῦντες αὐτὰ πρὸς ἀνασκευὴν τῶν περιοδικῶν πυρετῶν. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα καὶ τὰ ἄνθη ἑκάστου αὐτῶν κόπτοντας ἰδίᾳ καὶ ἀναλαμβάνοντας τροχίσκους. τὴν δὲ ῥίζαν ξηραίνοντας. χρείας δὲ ἐπιγινομένης, διδόναι ὅτε μὲν τῆς βοτάνης μέρη β΄. ὅτε δὲ τοῦ ἄνθους καὶ τῆς ῥίζης μέρος ἕν. ὅτε δὲ τοὐναντίον. τοῦ ἄνθους μὲν β΄. τῆς δὲ βοτάνης ἕν. ἐναλλὰξ διπλασιάζοντας παρ᾽ ἡμέραν. πίνειν δὲ δεῖ ἐν οἰνομέλιτι κεκραμένῳ.

## Περὶ παρθενίου. Κεφ. φιγ΄.

Παρθένιον. οἱ δὲ ἀμάρακον. οἱ δὲ ἀνθεμίς. οἱ δὲ λευκάνθεμον. οἱ δὲ χαμαίμηλον. οἱ δὲ χρυσόκαλις. οἱ δὲ μελάβαθρον. οἱ δὲ ἄνθος πεδινόν. ῥωμαῖοι σώλις οἴκουλουμ. οἱ δὲ μιλλεφόλιουμ. θοῦσκοι καυτάν. ἀφροὶ θαμάκθ. φύλλα ἔχει ὅμοια κορίῳ λεπτά. ἄνθη λευκὰ κύκλῳ. τὸ δὲ μέσον μήλινον. ὀσμῆς ὑποβρώμου. τῇ δὲ γεύσει πικρίζον. δύναται δὲ ξηρὰ σὺν ὀξυμέλιτι ἢ σὺν ἁλσὶ πινομένη ὡς τὸ ἐπίθυμον, φλέγμα καὶ χολὴν ἄγειν κάτω. καὶ τοῖς ἀσθματικοῖς ὠφελεῖν καὶ μελαγχολικοῖς. ἡ πόα δὲ χωρὶς τοῦ ἄνθους, ὠφέλιμος τοῖς λιθιῶσι καὶ ἀσθματικοῖς ποτίζεται. τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκάθισμα ὑστέρας ἐσκληρυμένης καὶ φλεγμαινούσης ἐστί. καταπλάσσεται δὲ καὶ πρὸς ἐρυσιπέλατα καὶ φλεγμονὰς σὺν τοῖς ἄνθεσιν.

### Περὶ βουφθάλμου. κεφ. φνδ'.

Βούφθαλμον. οἱ δὲ καλχάς. οἱ δὲ βαλσαμίνη. προφῆται αἱμόρρα. οἱ δὲ γόνος ἑρμοῦ. οἱ δὲ γόνος ἀφθιτος. οἱ δὲ μνησίθεος. ῥωμαῖοι καππακοράνια. ἄφροι ναράτ. καυλία ἀνίησι τρυφερὰ ὑπόλεπτα. φύλλα δὲ μαραθρώδη. ἄνθη μήλινα, μείζονα τῶν ἀνθεμίδος. ὀφθαλμοειδῆ. ὅθεν καὶ ὠνόμασται. φύεται δὲ ἐν πεδίοις. καὶ περὶ τὰς πόλεις. ταύτης τὰ ἄνθη λεῖα σὺν κηρωτῇ, οἰδήματα καὶ σκληρίας διαφορεῖ. φασὶ δὲ ὅτι ἐν τῷ βαλανείῳ μετὰ τὸ ἐξελθεῖν πινόμενον, εὔχροιαν ποιεῖ πρὸς χρόνον τινὰ τοῖς ἰκτερικοῖς.

### Περὶ παιωνίας. κεφ. φνε'.

Παιωνία ἄῤῥην. ἡ γλυκυσίδη. οἱ δὲ, πεντόροβον. οἱ δὲ ὀροβίλιον. οἱ δὲ, ὀροβάξ. οἱ δὲ αἱμαγωγόν. οἱ δὲ πασιτέλεια. οἱ δὲ μονογενὲς. οἱ δὲ μήνιον. οἱ δὲ παιώνιον. οἱ δὲ παιωνικὸν. οἱ δὲ παιονθίκερας. οἱ δὲ ἰδαίους δακτύλους. οἱ δὲ ἀγλαόφωτιν. οἱ δὲ θεοδώνιον. οἱ δὲ σεληνίον. προφῆται σεληνόγονον. οἱ δὲ φθίσις. ῥωμαῖοι κάστα. καυλὸς ὡς διασπιθαμιαῖος. φύεται παραφυάδας ἔχων πολλάς. φύλλα δὲ ἡ μὲν ἄῤῥην βασιλικῇ καρύᾳ ὅμοια. ἡ δὲ θήλεια ἀπέσχισται τὰ φύλλα ὥσπερ σμύρνιον. λοβοὺς δὲ ἐπ' ἄκρου ἀνίησιν ἐπ' ἄκρου τοῦ καυλοῦ, ἀμυγδάλοις ὁμοίους. ὧν ἀνοιχθέντων εὑρίσκονται ἐρυθροὶ κόκκοι πολλοὶ μικροί. ἐμφερεῖς τοῖς τῶν ῥοιᾶς. ἐν μέσῳ δὲ μέλανες. ἐμπόρφυροι. ε ἢ ς'. ῥίζα δὲ τῆς μὲν ἄῤῥενος, περὶ δακτύλου πάχος. μῆκος δὲ σπιθαμῆς. λευκὴ. γευομένῳ στύφουσα. λευκή. ἐπὶ δὲ τῆς θηλείας παραφυάδας ὡσπερεὶ βαλάνους ἔχουσα, ζ' ἢ η' ὥσπερ ἀσφόδελος. δίδοται δὲ ξηρὰ γυναιξὶν ἡ ῥίζα ταῖς ἐκ τόκου μὴ καθαιρομέναις. κινεῖ δὲ καὶ τὰ καταμήνια ἀμυγδάλου μέγεθος πινομένη. τοῖς τε κατὰ γαστέρα ὀδυνήμασι βοηθεῖ ποθεῖσα ἐν οἴνῳ. ὠφελεῖ δὲ καὶ ἰκτερικοὺς. καὶ νεφριτικοὺς. καὶ κύστιν ἀλγοῦντας. ἑψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη κοιλίαν ἵστησι. τοῦ δὲ καρποῦ ι ἢ ιβ' κόκκοι πυῤῥοὶ ποθέντες ἐν οἴνῳ μέλανι αὐστηρῷ, ῥοῦν ἐρυθρὸν ἵστησι. στομαχικοῖς τε δακνομένοις ἐσθιόμενοι βοηθοῦσι. καὶ ὑπὸ τῶν παιδίων πινόμενοι, καὶ ἐσθιόμενοι, ἀρχὰς λιθιάσεως περιαιροῦνται. οἱ δὲ μέλανες καὶ πρὸς τοὺς ὑπὸ ἐφιαλτῶν πνιγμοὺς καὶ πρὸς τὰς ὑστερικὰς πνίγας καὶ ὀδύνας μήτρας ἐν μελικράτῳ ἢ οἴνῳ, ὅσον ιε κόκκοι πινόμενοι, ὀνοῦσι. φύεται δὲ ἐν ὑψηλοτάτοις ὄρεσι καὶ ἀκρωτηρίοις.

### Περὶ λιθοσπέρμου. κεφ. φνς'.

Λιθόσπερμον. οἱ δὲ αἰγόνυχον. οἱ δὲ ὀξώνυχον. οἱ δὲ λεοντική. οἱ δὲ λίθος λεοντική. οἱ δὲ γοργόνιον. οἱ δὲ ταντάλιτις. οἱ δὲ διόσπορον. ῥωμαῖοι κολοῦμβα. δακοὶ γονολίπτα. οἱ δὲ ἡράκλειαν, διὰ τὴν περὶ τὸ σπέρμα ἰσχύν. ὅθεν καὶ λιθόσπερμον ὠνόμασται. φύλλα ἔχει ὅμοια ἐλαίας. μακρότερα δὲ καὶ πλατύτερα καὶ τὰ περὶ τὸν πυθμένα τοῦ ἐπὶ γῆς κειμένου. κλωνία δὲ ὀρθά. λεπτά. πάχος ὀξὺ σχοίνου. στερεά. ξυλώδη. ἐπὶ δὲ τῶν ἄκρων αὐτῶν δίχηλος ἔκφυσις, καυλοειδὴς. ἔχουσα φύλλα μακρὰ πρὸς οἷς σπέρμα λιθῶδες, στρογγύλον. μικρὸν. ὀροβοειδές. φύεται ἐν τραχέσι τόποις καὶ ὑψηλοῖς. δύναμιν δὲ ἔχει τὸ σπέρμα μετ' οἴνου λευκοῦ πινόμενον, λίθους θρύπτειν καὶ οὖρα ἄγειν.

### Περὶ φαλαρίδος. κεφ. φνζ'.

Φάλαρις. καυλία ἀνίησιν ἐκ ῥιζῶν λεπτῶν καλαμίσκων πολλά. διπάλαιστα, γόνατα τὸ δοκοῦντα τοῖς τῆς ζείας. σπέρμα δὲ ἐπὶ μέγεθος κέγχρου λευκὸν. ὑπόμακρον. δύναμιν δὲ ἔχει κοπτομένη ἡ πόα καὶ χυλιζομένη δι' ὕδατος ἢ οἴνου, πρὸς τὰ τῆς κύστεως ἀλγήματα ποθεῖσα πινομένη. καὶ τοῦ σπέρματος δὲ μετὰ κοχλιαρίου ὕδατος πλῆθος πινομένη πρὸς τὰ αὐτὰ ποιεῖ.

Περὶ

### Περὶ ἐρυθροδάνου. κε. Φιη.

Ἐρυθρόδανον. οἱ δὲ ἐρευθόδανος ῥίζα. οἱ δὲ ἰούθριον. οἱ δὲ σφάνακος. οἱ δὲ, κιννάβαρις. ῥωμαῖοι ῥουβία πασσίβα. θοῦσκοι λάμπτα μίτουρ. αἰγύπτιοι σωφεβί. ῥίζα δὲ ἐστὶν ἐρυθρὰ βαφική. ἡ μὲν τὶς ἀγρία. ἡ δὲ σπαρτή. ὡς ἐν θαβαύῃ τῆς γαλιλαίας. καὶ ῥαβέννῃ τῆς ἰταλίας. καὶ ἐν καρίᾳ μεταξὺ τῶν ἐλαιῶν σπειρόμενον ὥσπερ ἐν ταῖς ἀρούραις. ὠφελίμως δὲ σπείρεται διὰ τὸ γίνεσθαι ἐκ τούτου πλείστην πρόσοδον. εἰσὶ δὲ αὐτοῦ οἱ καυλοὶ τετράγωνοι. μακροί. τραχεῖς. ὅμοιοι τοῖς τῆς ἀπαρίνης, κατὰ πάντα δὲ μείζονες καὶ ῥωμαλεώτεροι. ἔχοντες ἐκ διαστημάτων τὰ φύλλα καθ' ἕκαστον γόνυ, ὥσπερ ἀστέρας εἰς κύκλον περικείμενα. καρπὸν στρογγύλον. τὰ πρῶτα χλωρόν. εἶτα ἐρυθρόν. εἶτα πεπαινόμενον μέλανα. ῥίζα λεπτή. μακρά. ἐρυθρά. διουρητική. ὅθεν ἰκτερικοῖς μετὰ μελικράτου πινομένη βοηθεῖ. ἰσχιαδικοῖς τε καὶ παραλελυμένοις. ἄγει δὲ οὖρα πολλὰ καὶ παχέα. ἔσθ' ὅτε δὲ καὶ αἷμα. λούεσθαι μέντοι δεῖ καθημέραν τοὺς πίνοντας. καὶ ὁρᾶν τῶν κενουμένων τὴν διαφοράν. ἐχιοδήκτοις τε βοηθεῖ ὁ καυλὸς μετὰ τῶν φύλλων ποθείς. ὁ δὲ καρπὸς μετ' ὀξυμέλιτος πινόμενος, σπλῆνα τήκει. προστεθεῖσα δὲ ἡ ῥίζα, ἔμβρυα καὶ ἔμμηνα ἄγει καὶ δεύτερα. θεραπεύει δὲ καὶ ἀλφοὺς λευκοὺς μετ' ὄξους καταπλασσομένη.

### Περὶ λογχίτιδος. κε. Φιθ.

Λογχῖτις. οἱ δὲ κέστρον ἢ μανδοῦσα. ῥωμαῖοι βενέρεα. οἱ δὲ λαγκέολα. φύλλα ἔχει πλατυκάρπῳ πράσῳ ὅμοια· πλατύτερα δὲ καὶ ὑπέρυθρα πλεῖστα. πρὸς τὴν ῥίζαν περικλώμενα ὡς ἐπὶ τὴν γῆν. ἔχει δὲ καὶ περὶ τὸν καυλὸν ὀλίγα. ἐφ' οὗ ἄνθη ὅμοια πιλίσκοις τῷ τύπῳ ἢ κωμικοῖς προσωπείοις κεχηνόσι. μέλανα μέν. λευκὸν δέ τι ἀπ' αὐτῶν ὀξὺ ἔχει ἀπὸ τοῦ χάσματος πρὸς τὸ κάτω χεῖλος, ὥσπερ γλωσσάριον. τὸ σπέρμα δὲ ὅμοιον λόγχῃ. τρίγωνον ἐν περικαρπίοις. ὅθεν καὶ τῆς προσωνυμίας ἠξιώθη. ῥίζα δὲ ὁμοία δαύκῳ. φύεται ἐν τραχέσι καὶ ἀνίκμοις τόποις. ταύτης ἡ ῥίζα διουρητικὴ πινομένη σὺν οἴνῳ.

### Περὶ ἑτέρας λογχίτιδος. κε. Φξ.

Λογχῖτις ἑτέρα. ἣν δὲ λογχῖτιν τραχεῖαν. ῥωμαῖοι λογγίνα. οἱ δὲ καλαβρίνα. φύλλα ἀνίησιν ὅμοια σκολοπενδρίῳ. τραχύτερα δὲ καὶ μείζονα καὶ μᾶλλον ἐσχισμένα. δύναμιν δὲ ἔχει τραυματικὴν. ἀφλέγμαντον. τήκει δὲ καὶ σπλῆνα μετ' ὄξους πινομένη.

### Περὶ ἀλθαίας. κε. Φξα.

Ἀλθαία. οἱ δὲ ἀλθίσκον. ἔνιοι δὲ ἰβίσκον καλοῦσι. μαλάχης ἐστὶν ἀγρίας εἶδος. φύλλα περιφερῆ ὥσπερ κυκλάμινος. ἔγχνοα. ἔχει δὲ ἄνθος ῥοδοειδές. καυλὸν δίπηχυν. ῥίζαν δὲ γλίσχρον. λευκὴν ἔνδοθεν. ὠνόμασται δὲ ἀλθαία διὰ τὸ πολυαλθὲς καὶ πολύχρηστον αὐτῆς. ἑψηθεῖσα γὰρ ἐν μελικράτῳ ἢ οἴνῳ καὶ καθ' ἑαυτὴν τριβεῖσα, ποιεῖ πρὸς τραύματα, παρωτίδας. ἀποστήματα. μαστοὺς φλεγμαίνοντας. δακτυλίων φλάσματα. ἐμφυσήματα. συντάσεις νεύρων. διαφορεῖ δὲ ἢ ἐκπεπαίνει ἢ ῥήγνυσι καὶ ἐπουλοῖ. συμμαλαχθεῖσα δὲ ἑφθὴ ὡς εἴρηται στέατι ὑείῳ ἢ χηνείῳ ἢ τερεβινθίνῃ, πρὸς ὑστέρας φλεγμονὰς καὶ μύσεις ἐν προσθέματι ποιεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς τὸ αὐτὸ ποιεῖ. ἄγει καὶ τὰ καλούμενα λόχια. τὸ δὲ τῆς ῥίζης ἀφέψημα σὺν οἴνῳ πινόμενον, ὠφελεῖ δυσουροῦντας. λιθιώντων ὠμότητας. δυσεντερικούς. ἰσχιαδικούς. τρομώδεις. ῥηγματίας. καὶ τοὺς ὀδόντων πραΰνει σὺν ὄξει ἀφεψηθεῖσα καὶ διακλυζομένη. ὁ δὲ καρπὸς χλωρός τε καὶ ξηρὸς λεῖος κατα-

χριθεὶς σὺν ὄξει ἐν ἡλίῳ, σμηκτικός ἐστιν ἀλφῶν. μετὰ ἐξελαίου δὲ συγχριόμενος, προφυλακτικός ἐστιν ἰοβόλων. ποιεῖ δὲ καὶ πρὸς δυσεντερίας καὶ αἵματος ἀναγωγὴν καὶ ἀῤῥοίας, τὸ δὲ ἀφέψημα τοῦ σπέρματος πινόμενον, καὶ πρὸς μελιασμῶν καὶ τῶν λεπτῶν θηρίων πληγὰς πάντων, ἐν ὀξυκράτῳ ἢ οἴνῳ ποθέν. καὶ τὰ φύλλα δὲ μετ' ὀλίγου ἐλαίου καταπλάσσεται ἐπὶ τῶν δηγμάτων καὶ τῶν πυρικαύτων. πίνεται δὲ ἡ ῥίζα καὶ ὕδωρ μιγεῖσα λεία καὶ συνεμβριαθεῖσα.

Περὶ ἀλκέας. κε'. φξα'.

Ἀλκέα. ἡ αὐτὴ εἶδος ἐστὶν ἀγρίας μαλάχης. ἔχουσα φύλλα ἐσχισμένα πρὸς τὰ τῆς ἱερᾶς βοτάνης. καυλοὺς γ' ἢ δ'. φλοιὸν ἔχοντας κανάβει παραπλήσιον. ἄνθος μικρὸν ἐμφερὲς ῥόδῳ. ῥίζας λευκάς. πλατείας ἓξ ἢ ς' ὅσον πήχεως. αἵτινες οἴνῳ ἢ ὕδατι πινόμεναι, δυσεντερίαν καὶ ῥήγματα ἰῶνται.

Περὶ κανάβεως. κε'. φξβ'.

Κάναβις. οἱ δὲ ὑδράστινα. ῥωμαῖοι τερμινάλις. οἱ δὲ κάναβις ἀγρία. ῥάβδια φέρει ὅμοια τοῖς τῆς ἀλθαίας. μελάντερα δὲ καὶ τραχύτερα. καὶ μικρότερα. τὸ ὕψος πήχεως. τὰ δὲ φύλλα ὅμοια τῇ ἡμέρῳ. τραχύτερα δὲ καὶ μελάντερα. ἄνθη ὑπέρυθρα. λυχνίδι ἐμφερῆ. σπέρμα δὲ καὶ ῥίζαν ὅμοια τῇ ἀλθαίᾳ. δύναμιν δὲ ἔχει ἡ ῥίζα ἑφθεῖσα καταπλασθεῖσα, φλεγμονὰς παρηγορεῖν. καὶ οἰδήματα διαφορεῖν. καὶ πώρους διαχεῖν. ὁ δὲ ἀπὸ ταύτης φλοιὸς, εὔθετος εἰς πλοκὴν σχοινίων.

Περὶ κανάβεως ἡμέρου. κε'.

Κάνναβις ἡμερ. οἱ δὲ, κανναβί. οἱ δὲ σχοινοστρόφ. οἱ δὲ ἀστέρι. ῥωμαῖοι κάνναβιμ. φυτόν (φξγ' ἐστιν εὔχρηστον ἐν τῷ βίῳ πρὸς τὰς τῶν εὐτονωτάτων σχοινίων πλοκάς. φύλλα φέρει παραπλήσια τῇ μελίᾳ. δυσώδη. καυλοὺς μακρούς. κενούς. καρπὸν στρογγύλον. ὃς ἐσθιόμενος πλέων, σβεννύει τὴν γονήν. χλωρὸς δὲ χυλισθεὶς, ἁρμόζει πρὸς τὰς τῶν ὤτων ἀλγηδόνας ἐνσταζόμενος.

Περὶ ἀναγύρεως. κε'. φξδ'.

Ἀνάγυρις. οἱ δὲ ἀνάγυρον. οἱ δὲ ἄκοπον. οἱ δὲ ἀγνάκοπον καλοῦσι. θάμνος ἐστὶ φύλλοις καὶ τοῖς ῥάβδοις προσεμφερὴς ἄγνῳ δενδρώδης. βαρύοσμος ἰσχυρῶς. ἄνθος κράμβῃ ἐοικός. καρπὸς ἐν κερατίοις μακροῖς. τὸ σχῆμα νεφρῶν. ποικίλος. ἢ καὶ ὑποστρόγγυλος στερεός. σκληρύνεται δὲ περὶ τὴν τῆς σταφυλῆς πεπασμόν. ταύτης τὰ φύλλα ἁπαλὰ καταπλασσόμενα, οἰδήματα στέλλει. ποτίζεται δὲ < πλῆθος ἐν γλυκεῖ πρὸς ἆσθμα καὶ ἐκβολὴν χορίου, καὶ ἐμμηνίων καὶ ἐμβρύου. πρὸς δὲ κεφαλαλγίαν σὺν οἴνῳ. ἔστι δὲ περίαπτον δυστοκούσαις. δεῖ μέντοι μετὰ τὸ ἀποτεκεῖν εὐθέως ἀφελόντα ῥίπτειν τὸ περίαμμα. τῆς δὲ ῥίζης ὁ φλοιὸς διαφορεῖ καὶ ἐκπέσσει. ὁ δὲ καρπὸς ἐσθιόμενος, ἐμέτους συντόνως κινεῖ.

Περὶ κηπαίας. κε'. φξε'.

Κηπαία ἐμφερής ἐστιν ἀνδράχνῃ. μελάντερα δὲ ἔχει τὰ φύλλα. ῥίζαν λεπτήν. βοηθεῖ δὲ τὰ φύλλα πινόμενα σὺν οἴνῳ, στραγγουριῶσι καὶ ψωριῶσι τὴν κύστιν. μάλιστα δὲ ποιεῖ μετὰ ἑψήματος ῥιζῶν ἀσπαράγου τοῦ μυακάνθου μόνου πινομένη.

Περὶ ἀλίσματος. κε'. φξς'.

Ἄλισμα. οἱ δὲ ἀλκέαν. οἱ δὲ δαμασώνιον. οἱ δὲ ἄκυρον. οἱ δὲ λύρον καλοῦσι. φύλλα μὲν ἔχει ἀρνογλώσσῳ ὅμοια. στενότερα δὲ καὶ ἐπὶ τὴν γῆν κεκλιμένα. καυλὸς δὲ λεπτός. ἁπλοῦς ὑπὲρ πῆχυν ἔχων κεφάλια. θυρσοειδής. ἄνθη λεπτά. λευκά. ὕπωχρα. ῥίζαι ὡς μέλανος ἐλλεβόρου λεπταί. εὐώδεις. δριμεῖαι. ὑπολίπαροι. ὑδρηλὰ δὲ φιλεῖ χωρία. ἁρμόζει ἡ ῥίζα πινομένη σὺν οἴνῳ, ὅσον < α' ἢ β' τοῖς λαγωὸν βεβρωκόσι θαλάσσιον. καὶ τοῖς ὑπὸ φρύνου δηχθεῖσι. καὶ τοῖς ὄπιον πεπωκόσι. καὶ στρόφους καὶ δυσεντερίαν καθ' αὑτήν. καὶ σὺν ἴσῳ

δαύκῳ

δ' οἴνῳ πινομένη, ἁρμόζει καὶ σπάσμασι καὶ πρὸς τὰ ὑστερικὰ πάθη. ἡ δὲ πόα ἴσχει κοιλίαν· καὶ ἔμμηνα ἄγει. καὶ οἰδήματα καταπλασθεῖσα πραΰνει.

Περὶ ὀνοβρυχίδος. ΚΕΦ. φξζ'.

Ὀνοβρυχίς· οἱ δὲ ὀνοβρόχειλος· οἱ δὲ ἐσχασμένη· οἱ δὲ ὑπερικόν· οἱ δὲ κόριον· οἱ δὲ χαμαιπίτυν· ῥωμαῖοι ὀπάκα· οἱ δὲ βριχλατά· οἱ δὲ λόππα· οἱ δὲ ἰσκιναλέμ· δακοὶ ἀνιασεξέ. τὰ μὲν φύλλα ἔχει ὅμοια φακῷ, μικρά, μακρότερα. καυλὸν σπιθαμιαῖον· ἄνθος φοινικοῦν, μικρὰν ῥίζαν. φύεται ἐν καθύγροις καὶ ἀργοῖς τόποις. δύναμιν δὲ ἔχει ἡ πόα ἐπιπλασθεῖσα λεία διαχεῖν φύματα. μετ' οἴνου δὲ πινομένη στραγγουρίαν θεραπεύει. σὺν ἐλαίῳ δὲ ἀλειφομένη ἱδρῶτας κινεῖ.

Περὶ ὑπερικοῦ. ΚΕΦ. φξη'.

Ὑπερικόν· οἱ δὲ ἀνδρόσαιμον· οἱ δὲ κόριον· οἱ δὲ χαμαιπίτυν, διὰ τὸ τὴν περὶ τὸ σπέρμα ὀσμὴν ἐοικέναι πίτυος ῥητίνῃ. φύλλα ἔχει πηγάνῳ ὅμοια· θάμνος φρυγανώδης, σπιθαμιαῖος, ὑπέρυθρος· ἄνθος λευκοίῳ ὅμοιον· ὃ διατριβὲν ἐν τοῖς δακτύλοις αἱματώδη τὸν χυλὸν ἐκκρίνει, ὅθεν καὶ ἀνδρόσαιμον ἐκλήθη. λοβὸν δὲ ὑπόδασυν, προμήκη, ἐν ᾧ περιφερὲς μέγεθος κριθῆς, ἐν ᾧ σπέρμα μέλαν ῥητίνης ὄζον. φύεται δὲ ἐν ἐργασίμοις καὶ τραχέσι τόποις. δύναμιν δὲ ἔχει διουρητικήν. καὶ ἐμμήνων ἀγωγὸν προστιθέμενον. τεταρταίους τε καὶ τριταίους ἀπαλλάσσει μετ' οἴνου πινόμενον. θεραπεύει δὲ ἰσχιάδας ἐπὶ ἡμέρας μ' τὸ σπέρμα πινόμενον. καὶ τὰ φύλλα σὺν τῷ σπέρματι καταπλαττόμενα κατακαύματα ἰᾶται.

Περὶ ἀσκύρου. ΚΕΦ. φξθ'.

Ἄσκυρον· οἱ δὲ ἀσκυροειδές· οἱ δὲ ἀνδρόσαιμον. καὶ τοῦτο εἶδός ἐστιν ὑπερικοῦ· μεγέθει διαφέρον· κλωσὶ μεῖζον. φρυγανωδέστερον δὲ καὶ πεφοινιγμένον τοῖς φύλλοις λεπτοῖς· ἄνθη δὲ μήλινα φέρει. καρπὸν δὲ ὅμοιον ὑπερικῷ, ὄζοντα ῥητίνης. καὶ ἐν τῷ παρατριβῆναι οἱονεὶ αἱμάσσοντα τοὺς δακτύλους τὸ σπέρμα. ὡς διὰ τοῦτο ἀνδρόσαιμον καλεῖσθαι. ποιεῖ καὶ ὁ τούτου καρπὸς πρὸς ἰσχιάδας πινόμενος μεθ' ὑδρομέλιτος κοτυλῶν β'· ἄγει γὰρ χολώδη κόπρια πολλά. συνεχῶς δὲ διδόναι χρὴ ἄχρις ἂν ὑγιασθῶσι. ποιεῖ καὶ πρὸς πυρίκαυτα ἐπιπλασθείς.

Περὶ ἀνδροσαίμου. ΚΕΦ. φο'.

Ἀνδρόσαιμον· οἱ δὲ διονυσιάδα· οἱ δὲ καὶ τοῦτο ἄσκυρον καλοῦσι. διαφέρει δὲ τοῦ ὑπερικοῦ καὶ τοῦ ἀσκύρου· θάμνος ὢν λεπτόκαρφος, φρυγανώδης, πεφοινιγμένος τὰ ῥαβδία· φύλλα τριπλασίονα ἢ τετραπλασίονα τοῦ πηγάνου· ἃ τριφθέντα οἰνώδη χυλὸν ἀφίησι. μασχάλας δὲ ἔχει πλείους ἐκ τῶν ἄκρων πτερουμένας. περὶ ἃς ἀνθύλλια μικρὰ μήλινα. καρπὸς ἐν κάλυκι, ὅμοιος τῷ τῆς μελαίνης μήκωνος· οἱονεὶ κατεγραμμένος. ἀνατριφθεῖσα δὲ ἡ κόμη, ῥητινώδη ὀσμὴν ἀποδίδωσι. καὶ τούτου ὁ καρπὸς λεῖος δοθεὶς < ὁλκῆς πλῆθος, ἄγει χολώδη κόπρια. θεραπεύει δὲ μάλιστα ἰσχιάδας. δεῖ δὲ μετὰ τὴν κάθαρσιν ὕδατος ἐπιρροφεῖν. καὶ πυρίκαυτα δὲ ἡ πόα καταπλασθεῖσα ἰᾶται. καὶ αἷμα ἐπέχει.

Περὶ κόρεως. ΚΕΦ. φοα'.

Κόρις· οἱ δὲ καὶ ταύτην ὑπερικὸν καλοῦσι. φύλλον ἔχει παραπλήσιον τῷ τῆς ἐρείκης, μικρότερον δὲ καὶ λιπαρώτερον καὶ ἐρυθρόν. θάμνος δέ ἐστι σπιθαμιαῖος. εὔοσμος. δριμὺς δὲ καὶ ὀξώδης. τούτου ὁ καρπὸς πινόμενος, οὖρα καὶ καταμήνια ἄγει. βοηθεῖ καὶ φαλαγγιοδήκτοις. ἰσχιαδικοῖς τε καὶ ὀπισθοτονικοῖς σὺν οἴνῳ πινόμενος. πρὸς δὲ ῥίγη σὺν πεπέρει. ἐπὶ δὲ ὀπισθοτονικῶν καὶ σύγχρισμά ἐστι σὺν ἐλαίῳ ἁρμόδιον. ἡ δὲ ῥίζα αὐτοῦ σὺν οἴνῳ ἑψηθεῖσα καλῶς καὶ ποθεῖσα, παρισθμίοις βοηθεῖν πεπίστευται. δεῖ δὲ τὸν πάσχοντα ἐν τῷ πνίγει περισκέπεσθαι καλῶς, ἱδροῖ γὰρ ὅλον τὸ σῶμα καὶ τὴν εὐκινησίαν ἐκ τούτου λαμβάνει.

Περὶ χαμαιπίτυος. κε'. φοβ'.

Χαμαιπίτυς. οἱ δὲ πιτυοσέρυσιν. οἱ δὲ ὀρέζηλον. οἱ δὲ ἐν πόντῳ ὁλόκυρον. οἱ δὲ βρυωνίαν ἀγρίαν. ἀθήνησιν ἰωνίαν. οἱ δὲ ἐν εὐβοίᾳ σιδηρῖτιν. προφῆται αἷμα ἀθηνᾶς. ῥωμαῖοι κυπρεσσοῦμ. δακοὶ δοχλᾶ. πόα ἕρπουσα ἐπὶ γῆς ὑπόκυρτος. φύλλα δ' ἔχει ὅμοια ἀειζώῳ μικρῷ. λεπτότερα δὲ πολλῷ καὶ λιπαρώτερα δασέα. πυκνὰ περὶ τοὺς κλάδους. ὀσμὴν ἔχοντα πίτυος. ἄνθη λεπτὰ μήλινα ἢ λευκά. ῥίζαι δὲ ὡς κιχωρίου. ταύτης τὰ φύλλα πινόμενα μετὰ οἴνου ἐπὶ ἡμέρας ζ', ἴκτερον θεραπεύει. ἐπὶ δὲ μ', ἰσχιάδα θεραπεύει μεθ' ὑδρομέλιτος πινόμενα. δίδοται καὶ ἡπατικοῖς καὶ δυσουροῦσι καὶ νεφριτικοῖς. ἰδίως ἁρμόζοντα στροφουμένοις. χρῶνται δὲ αὐτῇ καὶ οἱ ἐν ἡρακλείᾳ τῇ ποντικῇ ὡς ἀντιδότῳ πρὸς ἀκόνιτον, ποτίζοντες τὸ ἀφέψημα. καταπλάσσεται δὲ πρὸς τὰ εἰρημένα μετὰ ἀλφίτων δεδευμένων τῷ ἀφεψήματι τῆς πόας. λεανθεῖσα δὲ σὺν σύκοις καὶ αὐτὴ καταποτίου λαμβανομένη, μαλάσσει κοιλίαν. μετὰ μέλιτος δὲ καὶ λεπίδος καὶ ῥητίνης ἀναληφθεῖσα καθαίρει. ἄγει δὲ καὶ τὰ ἀπὸ ὑστέρας προστεθεῖσα σὺν μέλιτι. διαφορεῖ δὲ καὶ σκληρίας μαστῶν. καὶ τραύματα κολλᾷ. καὶ ἕρπητας ἐπέχει μετὰ μέλιτος καταπλασσομένη.

Περὶ ἑτέρας χαμαιπίτυος. φογ'.

Ἔστι καὶ ἑτέρα χαμαιπίτυς. κλάδους ἔχουσα πηχυαίους. ἀγκυροειδεῖς. λεπτοκάρφους. κόμην δὲ ἐοικυῖαν τῇ πρὸ αὐτῆς. καὶ ἄνθος λευκόν. σπέρμα δὲ μέλαν. ὄζει δὲ καὶ αὐτὴ πίτυος. καὶ τρίτη τις ἐστὶν ἄρρην καλουμένη. ἔστι δὲ βοτάνιον λεῖον. ἔχον φυλλάρια λεπτά. λευκά. δασέα. καυλὸν δὲ τραχύν. λευκόν. ἀνθύλλια μήλινα. σπερμάτιον δὲ παρὰ τὰς μασχάλας. ὄζει δὲ καὶ τοῦτο πίτυος. δύναμιν δὲ ἔχουσι καὶ αὐταὶ ὁμοίαν τῇ προειρημένῃ. οὐ μὴν οὕτω πρακτικήν.

Τέλος τοῦ τρίτου.

# ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ὝΛΗΣ ἸΑΤΡΙΚΗΣ. ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ἐ Ν τοῖς πρὸ τούτου τρισὶ βιβλίοις φίλτατε ἄρειε, παραδόντες περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ ζώων καὶ σιτηρῶν καὶ λαχάνων καὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων, ἐν τούτῳ τετάρτῳ ὄντι περὶ τῶν λειπομένων βοτανῶν καὶ ῥιζῶν διαλεξόμεθα.

Περὶ κέστρου. κε'. φολ'.

Κέστρον. τὸ καλούμενον ψυχότροφον. ἐπειδὴ ἐν τοῖς ψυχροτάτοις εὑρίσκεται τόποις. οἱ ῥωμαῖοι βετονίκην καλοῦσιν. ἢ ῥοσμαρίνουμ, πόα ἐστὶ καυλὸν ἔχουσα λεπτὸν πήχεως τὸ ὕψος. ἢ καὶ μείζονα, τετράγωνον. φύλλα μακρά. μαλακά. ὅμοια δρυΐ. τὴν περιφέρειαν ἐσχισμένα. εὐώδη. μείζονα δὲ τὰ πρὸς τὴν ῥίζαν. ἐπ' ἄκρω δὲ τῶν καυλῶν ἔπεστι τὸ σπέρμα ἐσταχυωμένον ὡς τῆς θύμβρας. ταύτης τὰ φύλλα δεῖ συλλέγοντας ξηραίνειν. ὧν ἐστὶ καὶ ἡ πλείων χρῆσις. ῥίζαι δὲ ὕπεισι λεπταὶ ὡς ἐλλεβόρου. αἵτινες φλεγματώδη προσκαλοῦσιν ἔμετον. μεθ' ὑδρομέλιτος πινόμεναι. τῶν δὲ φύλλων δίδοται πρὸς

ἀποσήμασι ῥήγμασι. καὶ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις. καὶ πνίγας ὑστερικὰς < α. ὁλκὴ μεθ᾽ ὑδρομέλιτος πινομένη. θηριοδήκτοις δὲ ὁλκαὶ γ. μετ᾽ οἴνου κοτυλῶν β. καταπλασσομένη δὲ ἡ πόα, ὠφελεῖ τοὺς θηριοδήκτους. καὶ πρὸς τὰ θανάσιμα ὁλκὴ μετ᾽ οἴνου ποθεῖσα ἁρμόζει. ἐὰν δέ τις προπίῃ, οὐδὲν βλαβήσεται λαβὼν φάρμακον θανάσιμον. ἔστι δὲ οὐρητική. κοιλίας τε ὑποβιβαστική. θεραπεύει δὲ καὶ ἐπιλήπτους. καὶ μαινομένους μεθ᾽ ὕδατος πινομένη. καὶ ἡπατικούς. σπληνικοὺς δὲ μετ᾽ ὀξυμέλιτος ὁλκὴ < α. ποθεῖσα. ποιεῖ δὲ καὶ πέψιν ἐάν τις μετὰ τὸ δεῖπνον αὐτῆς κυάμου μέγεθος καταπίῃ μετὰ μέλιτος ἑφθοῦ. ὁμοίως καὶ ὀξυρεγμιῶσι δίδοται. στομαχικοῖς δὲ διαμασσᾶσθαι καὶ καταπίνειν τὸν χυλόν. ἔτι τε προσρροφᾶν οἶνον κεκραμένον. δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς ὁλκὴ τριωβόλου μετὰ κράματος κυάθου ἑνὸς γαλακτώδους. ἰσχιαδικοῖς τε μεθ᾽ ὕδατος καὶ νεφριτικοῖς καὶ κύστιν ἀλγοῦσιν. ὑδρωπικοῖς δὲ < β μεθ᾽ ὑδρομέλιτος. ἰκτεριῶντάς τε καθίστησι. καὶ καταμήνια ἄγει ὁλκὴ α μετ᾽ οἴνου πινομένη. κοιλίαν δὲ < δ ποθεῖσαι καθαίρουσι μεθ᾽ ὑδρομέλιτος κυάθων δέκα. ποιεῖ καὶ πρὸς φθισικούς. ἐμπυικοὺς μετὰ μέλιτος. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα ξηρὰ λεῖα ἐν κεραμείῳ ἀγγείῳ.

Περὶ βρεττανικῆς. κε´. φοε.

Βρεττανικὴ ἢ βεττονική. πόα ἐστὶν ἔχουσα φύλλα ἐμφερῆ λαπάθῳ ἀγρίῳ. μελάντερα δὲ καὶ δασύτερα. στύφοντα ἐν τῇ γεύσει. καυλὸν δὲ ἀνίησιν οὐ μέγαν. ῥίζαν λεπτὴν καὶ βραχεῖαν. χυλίζεται δὲ αὐτῆς τὰ φύλλα. καὶ ἐν ἡλίῳ ἢ πυρὶ συστρέφεται. δύναμιν δὲ ἔχει στυπτικήν. ἰδίως ἁρμόζουσαν πρὸς τὰς ἐν στόματι καὶ παρισθμίοις νομάς. ποιεῖ δὲ καὶ πρὸς τὰ λοιπὰ ὅσα στύψεως χρῄζει. ἐν ἄλλῳ καὶ ταῦτα. ζητητέον καὶ τοι εἰδοσκείδου.

Περὶ βεττονικῆς. κε´. φοϛ.

Βεττονικὴ γεννᾶται ἐν χορτοκοπείοις καὶ ὀρεινοῖς τόποις. καὶ καθαροῖς καὶ ἱεροῖς περὶ τὰ μνήματα. καὶ ψυχὰς ἀνθρώπων καὶ σώματα φυλάττει. νυκτιπλανεῖς τε ὁδοιπορίας καὶ τόπους ἐπιβλαβεῖς. καὶ ἐνύπνους χαλεποὺς ἀποτρέπει. καὶ εἰς πᾶσαν ἴασιν ἐστὶν εὐλογημένη. ἔχει δὲ τὴν μὲν ῥίζαν ὅλην ἐρυθρὰν καὶ εὐώδη. τὰ δὲ φύλλα πράσινα. καὶ τὸ μέσον τῶν φύλλων φοινικοῦν. καὶ εἰς τὸν ὀρθοκάλαμον τριγώνια. καὶ ἐπάνω τῶν ἄνθη πορφυρίζοντα. ἡ δὲ δύναμις αὐτῆς ἐστιν αὕτη. λειωθεῖσα γὰρ νεαρὰ καὶ ἐπιτεθεῖσα εἰς τὰ θραυσμένην κεφαλὴν κατὰ τὴν πληγήν, ἀνώδυνον ποιεῖ. καὶ τὰ τραύματα κολλᾷ. καὶ τὰ τεθλασμένα ὀστᾶ ἐκβάλλει. καὶ τοῦτο ποιεῖ καθ᾽ ἑκάστην ἕως θεραπεύσῃ. ἀφεψηθεῖσα δὲ μετὰ ὕδατος, κεφαλαλγίαν καταντλουμένη, καὶ μετὰ ἀσφάλτου περιχριομένη, τοῖς κροτάφοις ἰᾶται. ὑποθυμιωμένης αὐτοῖς καὶ τῆς ῥίζης.

Περὶ λυσιμάχου. κε´. φοζ.

Λυσιμάχιον. οἱ δὲ, λύτρον καλοῦσι. καυλοὺς ἀνίησι πηχυαίους ἢ καὶ μείζονας. λεπτούς. θαμνώδεις. ὧν παρὰ τὰ γόνατα, φύλλων λεπτῶν ἐκφύσεις παραπλησίων τοῖς τῆς ἰτέας. στυφόντων ἐν τῇ γεύσει. ἄνθος πυρρὸν ἢ χρυσοειδές. φύεται ἐν ἑλώδεσι τόποις. καὶ παρὰ τὰ ὕδατα. ἁρμόζει δὲ ὁ χυλὸς τῶν φύλλων στυπτικὸς ὤν, πρὸς αἵματος ἀναγωγὰς καὶ δυσεντερίας πόμα τε καὶ κλύσμα. ῥοῦν τε γυναικεῖον ἵστησιν ἐν προσθέτῳ. καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας ἐμφρασσομένη ἡ πόα ἁρμόζει. ἔστι δὲ καὶ τραυματικὴ καὶ ἴσχαιμος. θυμιαθεῖσα δὲ δριμὺ τοῦτον ἔχει τὸν καπνόν. ὥστε καὶ ἑρπετὰ διώκειν καὶ μυίας ἀποκτείνειν.

Περὶ πολυγόνου ἄρρενος. κεφ. φοη.

Πολύγονον ἄρρεν. οἱ δὲ, πολυγόνατον· οἱ δὲ, κυνοχάλιον· οἱ δὲ, ἡρακλείαν· οἱ δὲ, ἀσφάλτιον· οἱ δὲ, χιλιόφυλλον. οἱ δὲ, κλῆμα. οἱ δὲ, γλυκῖτιν. οἱ δὲ καρκίνηθρον· οἱ δὲ πυθαλίδα· οἱ δὲ, μυριοπέταλον· οἱ δὲ, κυνωπόδιον· οἱ δὲ, ζαρειθέα. οἱ δὲ, πεδάλιον. αἰγύπτιοι θεφίν· οἱ δὲ, στεμφίν. προφῆται γόνος ἥρωος. οἱ δὲ ὄνυξ μυός. ῥωμαῖοι σεμινάλις. οἱ δὲ, σαπίνακα. ἄφροι χενλούμ. πόα ἐστὶ κλωνάς ἔχουσα λεπτοὺς τρυφεροὺς πολλοὺς γόνασι περιειλημμένους. ἕρποντας ἐπὶ τῆς γῆς ὥσπερ ἀγρῶστις. φύλλα δὲ πηγάνῳ ὅμοια, ἐπιμηκέστερα καὶ μαλακώτερα. ἔχει δὲ καρπὸν παρ' ἕκαστον φύλλον. ὅθεν καὶ ἄρρεν καλεῖται. ἄνθος ἢ λευκὸν ἢ φοινικοῦν. δύναμιν ἔχει στυπτικὴν ψυκτικήν. ὁ χυλὸς πινόμενος. ἁρμόζει δὲ αἱμοπτυικοῖς καὶ τοῖς κατὰ κοιλίαν ῥεύμασι. χολερικοῖς τε καὶ στραγγουριῶσιν. ἄγει γὰρ οὖρα ἐναργῶς. βοηθεῖ καὶ θηριοδήκτοις μετ' οἴνου πινόμενος. καὶ πρὸς περιόδους πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας λαμβανόμενος. ἵστησι δὲ καὶ ῥοῦν γυναικεῖον προστιθείς. καὶ πρὸς ὠταλγίας καὶ πυορροίας ἐνσταζόμενος ἁρμόζει. συνεψηθεὶς δὲ οἴνῳ καὶ μέλι προσλαβὼν, ἄκρως ποιεῖ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς στομάχου ἔγκαυσιν, καὶ αἵματος ἀναγωγὴν καὶ ἕρπητας, ἐρυσιπέλατά τε καὶ φλεγμονάς, καὶ οἰδήματα καὶ τραύματα πρόσφατα.

Περὶ πολυγόνου θήλεος. κεφ. φοθ.

Πολύγονον θῆλυ. ῥωμαῖοι σεμινάλις. θαμνίον ἐστὶ μονόκλωνον. τρυφερόν. καλαμοειδές. γόνατα συνεχῆ ἔχον ἐγκείμενα ἀλλήλοις ὥσπερ σάλπιγγος. καὶ περὶ τοῖς γόνασιν ἐν κύκλῳ ἐξοχὰς πίτυος. φυλλαδίοις ἐοικυίας. ῥίζα ἀχρεία. φύεται παρὰ τοῖς ὕδασι. δύναμιν δὲ ἔχει στυπτικὴν ψυκτικήν. ποιοῦσαν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ ὅτι μὴ ἀσθενέστερον.

Περὶ πολυγονάτου. κεφ. φπ.

Πολυγόνατον. φύεται ἐν ὄρεσι. θάμνος μείζων πήχεως. φύλλα ἔχων ὅμοια δάφνῃ. πλατύτερα δὲ καὶ λειότερα. γευομένῳ ὅμοιόν τι μηλοκυδωνίῳ ἢ ῥοιᾷ. μετὰ στύψεως γεῶδες. προσβάλλει. καθ' ἑκάστην δὲ ἔκφυσιν τῶν φύλλων ἄνθη λευκά. τῷ πλήθει ὑπερέχοντα τῶν φύλλων τοῦ ἀριθμοῦ ἀπὸ τῆς ῥίζης γινομένου. ῥίζαν δὲ λευκὴν. μαλακὴν. μακράν. πολυγόνατον. δασεῖαν. βαρύοσμον. πάχος ἔχουσαν δακτύλου. ποιοῦσαν πρὸς τραύματα καταπλασσομένην. αἴρει δὲ καὶ σπίλους τοὺς ἐν προσώπῳ.

Περὶ κληματίδος. κεφ. φπα.

Κληματίς. οἱ δὲ, ἐλατίνειον. οἱ δὲ δαφνοειδὲς· οἱ δὲ μυρσινοειδές. οἱ δὲ πολυγονοειδὲς καλοῦσι. φύεται ἐπὶ τὸ πλεῖστον ἐν ὀλιγέοις. κλήματα δὲ ἔχει μικρὰ ὅσον σχοίνου τὸ πάχος. πέταλον ἢ μικρὸν δάφνῃ ἐμφερές. τῷ σχήματι καὶ τῇ χρόᾳ. μικρότερον δὲ πολλῷ. ταύτης τὰ φύλλα καὶ οἱ καυλοὶ σὺν οἴνῳ πινόμενα, διαρροίας καὶ δυσεντερίας παύει. μετὰ γάλακτος δὲ καὶ ῥοδίνου ἢ κυπρίνου ἐν πεσσῷ προστιθέμενα, ὑστέρας πόνους θεραπεύει. παύει δὲ ὀδόντων πόνους διαμασώμενα. βοηθεῖ δὲ θηριοδήκτοις ἐπιτιθέμενα. ἱστορεῖται δὲ καὶ ἀσπιδοδήκτοις μετ' ὄξους πινομένη βοηθεῖν. φύεται δὲ ἐν χέρσοις.

Περὶ κληματίδος ἑτέρας. κεφ. φπβ.

Ἑτέρα κληματίς. οἱ δὲ, ἐπίπεντις. αἰγύπτιοι φυλαίκουον. ῥωμαῖοι ἀμβουξού. κλῆμα ἀφίησιν ὑπέρυθρον. λυγῶδες. φύλλον δριμὺ λίαν γευσαμένῳ καὶ ἑλκωτικόν. περιελίσσεται δὲ τοῖς δένδρεσιν ὡς σμῖλαξ. ταύτης ὁ καρπὸς λεῖος μεθ' ὕδατος ἢ ὑδρομέλιτος ποθεὶς,

# ΤΕΤΑΡΤΟΝ.

πάθος, ἄγει καὶ τὸ φλέγμα καὶ χολήν. τὰ δὲ φύλλα καταπλασθέντα λέπρας ἀφί-
στησι. παραχεῖται δὲ μετὰ τὰ τοῦ λεπιδίου ἐς βρῶσιν.

Περὶ πολεμωνίου. κεφ. φπγ.

Πολεμώνιον. οἱ δὲ, φιλεταίριον. καππάδοκες μὲν χιλιοδύναμιν καλοῦσι. κλωνία ἔχει λεπτά τε παρεστωμένα. φύλλα δὲ ὀλίγῳ μείζονα πηγάνου. ὑπομηκέστερα δὲ πρὸς τὰ τοῦ πολυγόνου ἢ τῆς καλαμίνθης. ἐπ᾽ ἄκρου δὲ αὐτῶν ὥσπερ κόρυμβοι ἐν οἷς σπέρμα μέλαν. ῥίζα πηχυαία. ὑπόλευκος. ἐμφερὴς στρουθίῳ. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. ταύτης ἡ ῥίζα πίνεται ἐν οἴνῳ πρὸς θηρία καὶ δυσεντερίαν. δυσουρίαν τε καὶ ἰσχιάδα μεθ᾽ ὕδατος. σπληνικοὺς δὲ μετ᾽ ὄξους ὅσον < α. ὁλκήν. καὶ περιάπτεται ἡ ῥίζα πρὸς σκορπίου πληγήν. φασὶ δὲ μὴ τύπτεσθαι τοὺς ἔχοντας αὐτήν. ἢ κἂν πληγῶσι μηδὲν πάσχειν. ποιεῖ δὲ καὶ ὀδονταλγίας διαμασωμένη.

Περὶ συμφύτου πετραίου. κεφ. φπδ.

Σύμφυτον πετραῖον. φύεται ἐν πέτραις. κλωνία δὲ ἔχει ὅμοια ὀριγάνῳ λεπτά. κεφάλια δὲ ὡς θύμου. τὸ δὲ ὅλον ἐστὶ ξυλῶδες καὶ εὐῶδες. γλυκύ τε πρὸς τὴν γεῦσιν καὶ πτυέλου προκλητικόν. ῥίζαν δὲ ἔχει μακράν. ὑπόπυρρον. ὅσον δακτύλου πάχος. ταύτης τὸ ἑψηθὲν σὺν μελικράτῳ καὶ ποθὲν, ἀνακαθαίρει τὰ ἐκ πνεύμονος. καὶ τοῖς αἷμα ἀνάγουσι. καὶ νεφριτικοῖς σὺν ὕδατι δίδοται. σὺν οἴνῳ δὲ ἑψηθὲν πίνεται πρὸς δυσεντερίαν. καὶ ῥοῦν ἐρυθρόν. σὺν ὀξυμέλιτι δὲ πρὸς σπάσματα καὶ ῥήγματα. καὶ ἄδιψον δὲ ἐστὶ διαμασώμενον. ἁρμόζει καὶ ταῖς βρόγχου τραχύτησι. κολλᾷ δὲ καὶ νεότρωτα καὶ ἐντεροκήλας ἀποκρατεῖ καταπλασσόμενον. καὶ τὰ κρέα δὲ συνεψόμενα συνάγει.

Περὶ συμφύτου ἄλλου. κεφ. φπε.

Σύμφυτον ἄλλο. οἱ δὲ, πῆκτον. ῥωμαῖοι σολιδάγινεμ. οἱ δὲ, σολιδάγω. καυλὸν ἀφίησι διπηχυαῖον ἢ καὶ μείζονα. κοῦφον. παχύν. γωνιοειδῆ. κενὸν ὡς περ ὁ σόγχου. περὶ ὃν οὐκ ἐκ μεγάλων διαστημάτων, φύλλα δασέα. στενά. ὑπομήκη πρὸς τὰ τοῦ βουγλώσσου. ἐξοχὰς δὲ ἔχει ὁ καυλὸς παρὰ τὰς γωνίας τινὰς τεταμένας. φύλλων λεπτῶν προσστύπων. ἀφ᾽ ἑκάστης μασχάλης. ἐν οἷς τὰ ἄνθη ἔχει μήλινα. ἐμφερῆ πρὸς τὰ τοῦ πηγάνου. καὶ καρπὸν ὡς φλόμου. ὅλος δὲ ὁ καυλὸς καὶ τὰ φύλλα ἔχει χνοῶν ὑπότραχυ. κατὰ τὴν προσαφὴν κνησμὸν ἐμποιοῦντα. ῥίζαι δὲ ὕπεισι τὴν μὲν ἐπιφάνειαν μέλαιναι. ἔνδοθεν δὲ λευκαὶ καὶ γλίσχραι. ὧν καὶ ἡ χρῆσις. ποιοῦσι δὲ λεῖαι ποθεῖσαι αἱμοπτοϊκοῖς καὶ ῥηγματίαις. καὶ τὰ νεότρωτα κολλῶσι καταπλασσόμεναι. καὶ τὰ κρέα δὲ συνεψόμεναι συνάγουσι. καταπλάττονται δὲ πρὸς φλεγμονὰς μάλιστα τὰς ἐν δακτυλίῳ ὠφελίμως μετὰ φύλλων ἠριγέροντος.

Περὶ ὁλεστίου. κεφ. φπϛ.

Ὁλέστιον. πόα ἐστὶ μικρὰ ὑπὲρ γῆς ὡς τριῶν δακτύλων ἢ τεσσάρων. φύλλα δὲ ἔχει θηλύματα κορωνόποδι παραπλήσια. ἢ ἀγρώστει. στυπτικά. ῥίζαν δὲ σφόδρα λεπτὴν ὡς θρίξ. λευκήν. τὸ δὲ ὅλον μῆκος δακτύλων τεσσάρων. φύεται ἐν γεωλόφοις. δύναται δὲ καὶ αὐτὴ κρέα συνάγειν συνεψομένη. πρὸς ῥήγματα ὠφελεῖ σὺν οἴνῳ ποτιζομένη.

Περὶ στοιβῆς. κεφ. φπζ.

Στοιβή. οἱ δὲ, τρόβιον. ῥωμαῖοι σίπαμ. γνώριμος ἧς ὁ καρπὸς καὶ τὰ φύλλα στύφει. ὅθεν καὶ δυσεντεριῶσι τὸ ἀφέψημα αὐτῶν ἐνίεται. ἐγκλύζεται δὲ καὶ εἰς ὦτα πυορροοῦντα. καταπλασθέντα δὲ τὰ φύλλα ὠφελεῖ. σύγχυσιν ὀφθαλμῶν τὴν ἐκ πληγῆς καὶ αἱμορρα-

γίαν ἴσχει.

## Περὶ κλυμένου. κεφ. φπη.

Κλύμενον· οἱ δέ, καλυκάνθεμον· οἱ δέ, περικλύμενον· οἱ δέ, ἡλιοφυές· οἱ δὲ ἡπατῖτις· οἱ δέ, μίλαξ· οἱ δέ, ἀνατολικόν· οἱ δέ, δυτικόν· οἱ δέ, μερόπη· ῥωμαῖοι οὐολεκρουμ· οἱ δέ, οὐόλοκρουμ μαιους· αἰγύπτιοι ὀξυούι. κλύμενον· οἱ δέ, κλυμένιον, ὃ καὶ ἄξινον καλοῦσι. καυλὸν ἀνίησι τετράγωνον, ὅμοιον τῷ τοῦ κυάμου. φύλλα δὲ πρὸς τὰ τοῦ ἀρνογλώσσου. θυλάκια δ' ἔχει ἐπὶ τοῦ καυλοῦ εἰς ἄλληλα νεύοντα, ἐοικότα ἰριδι καὶ πολύποδος πλεκτάναις. ἄριστον δὲ τὸ ὀρεινόν. χυλίζεται δὲ ὅλον σὺν τῇ ῥίζῃ. ποιεῖ δὲ ὁ χυλὸς πρὸς αἵματος ἀναγωγὴν πινόμενος, καὶ κοιλιακούς, καὶ ῥοῦν ἐρυθρὸν στύφων καὶ ψύχων. ἐπέχει δὲ καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας. τὰ δὲ φύλλα λεῖα ἢ τὰ θυλάκια, τοῖς νεοτρώτοις ἐπιτιθέμενα, μέχρι τῆς ἐπουλώσεως ἐκφυγεῖ [?].

## Περὶ περικλυμένου. κεφ. φπθ.

Περικλύμενον· οἱ δέ, αἰγίνη· οἱ δέ, κλύμενον· οἱ δέ, καρπόθετον· οἱ δέ, σπλήνιον· οἱ δὲ ἡπατῖτις· οἱ δέ, ἄξινη μείζων· οἱ δέ, κληματῖτις· οἱ δέ, μυρσίνη· οἱ δέ, καλυκάνθεμον. προφῆται, ἥλιον Ἀφροδίτης. αἰγύπτιοι τευρηον [?]. ῥωμαῖοι βέλουκρουμ μαιους. ἄφροι λανάθ. θαμνίσκος ἐστὶν ἁπλοῦς, ἔχων ἐκ διαστημάτων φυλλάρια περιειληφότα αὐτόν, ὑπόλευκα, κισσοῦ δὲ καὶ παρὰ τὰ φύλλα ἐκβλαστήσεις, ἐφ' ὧν ὁ καρπὸς κισσῷ παραπλήσιος. ἄνθος λευκόν, κυάμῳ ἐμφερές, ὑπόστρογγυλον, οἱονεὶ ἐπικείμενον τοῖς φύλλοις. καρπὸν σκληρὸν καὶ δυσαπόσπαστον. ῥίζαν παχεῖαν περιφερῆ. φύεται ἐν ἀρούραις καὶ φραγμοῖς. περιελίττεται δὲ τοῖς πλησιάζουσι θάμνοις. τούτου ὁ καρπὸς ἐπὶ πείρως [?] συλλεγεὶς καὶ ξηρανθεὶς ἐν σκιᾷ, πίνεται μετ' οἴνου < α ὁλκὴν ἐπὶ ἡμέρας μ΄. καὶ σπλῆνα τήκει, καὶ κόπους λύει, καὶ ὀρθόπνοιαν ὠφελεῖ καὶ λυγμόν. οὖρα ἄγει αἱματώδη ἀπὸ τῆς ἕκτης ἡμέρας. ἔστι δὲ καὶ ὠκυτόκιον. τὴν αὐτὴν δὲ καὶ τὰ φύλλα δύναμιν ἔχει ἐπὶ ἡμέρας λζ΄ ποθέντα. καὶ ἀγόνους ἱστορεῖται ποιεῖν. ἀλειφόμενα δὲ μετ' ἐλαίου ἐπὶ τῶν περιοδικῶν, τὰ φρικία παραιτεῖται.

## Περὶ τριβόλου. κεφ. φϟ.

Τρίβολος· οἱ δέ, βουκέφαλος· οἱ δέ, ταυρόκερως· ῥωμαῖοι τρίβολουμ ἀκρατικουμ [?]. ὁ μὲν χερσαῖος ἀνδράχνῃ τὰ φύλλα ἔοικε, λεπτότερα δέ. καὶ τὰ κλήματα κατὰ γῆς ἐστρωμένα, καὶ πρὸς αὐτοῖς ἄκανθαι στριφναί, σκληραί. φύεται δὲ παρὰ ποταμοὺς καὶ οἰκοπέδοις. ἔστι δέ τις καὶ ἔνυδρος παρὰ ποταμοῖς φυόμενος, ὑπερέχων τὴν κόμην. τὴν δὲ ἄκανθαν κρύπτων. φύλλα πλατέα, μόσχον ἔχοντα μακρόν. καυλὸς δὲ ἐξ ἄκρου παχύς μᾶλλον τοῦ ἐν βάθει. πρόσεστι δὲ καὶ τριχώδη τινὰ ἀποπεφυκότα στάχεσι. καρπὸς σκληρὸς ὡς καὶ ὁ θατέρου. ἀμφότεροι δὲ στύφουσι, ψύχουσιν. ὅθεν πάσης φλεγμονῆς καταπλάσματα. σὺν μέλιτι δὲ ἄφθας καὶ παρίσθμια, καὶ τὰς ἐν στόματι σηπεδόνας καὶ οὖλα θεραπεύουσι. χυλίζονται δὲ καὶ εἰς τὰ ὀφθαλμικά. ὁ δὲ καρπὸς αὐτοῦ, χλωρὸς λιθιῶντας πινόμενος ὠφελεῖ. τοῦ δὲ χερσαίου ὅσον < α πινομένη καὶ καταπλασσομένη, τοὺς ἐχιοδήκτους ἀποκαθίστησιν. ἁρμόζει καὶ θανασίμοις μετ' οἴνου πινόμενος. κτείνει δὲ καὶ ψύλλας τὸ ἀπόζεμα αὐτοῦ ῥανθέν. οἱ δὲ περὶ τὸν στρυμόνα ποταμὸν θρᾶκες, τὴν μὲν πόαν χλωρὰν ἱπποτροφοῦσι, τὸν δὲ καρπὸν γλυκὺν ὄντα καὶ τρόφιμον, σιτοποιοῦνται, χρώμενοι αὐτῷ ἀντὶ ἄρτου.

## Περὶ σαξιφράγου. κεφ. φϟα.

Σαξίφραγον· οἱ δέ, σαξίφραγον· οἱ δέ, ἔμπετρον· ῥωμαῖοι σαξιφράγα. θάμνος ἐστὶ φρυ

γανώδης

γαυῶδες ἐν πέτραις καὶ τραχέσι τόποις φυόμενος ἐμφερής. δύναμιν δὲ ἔχει ἑψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη πυρέσσουσι βοηθεῖν. στραγγουρίαις τε καὶ λιθιῶ. λίθους τε τοὺς ἐν κύστει θρύπτει καὶ οὖρα ἄγει.

Περὶ λιμωνίου. κεφ. φλβ.

Λιμώνιον. οἱ δὲ πεταμεγέθων. οἱ δὲ, νευροειδές. οἱ δὲ, λογχῖτις. οἱ δὲ ῥαπονοντίου. μυσοὶ μενδρουτά. σύροι μουδά. οἱ δὲ, λυκοσάμφυλλον. οἱ δὲ, ἐλλεβοροσήματα. οἱ δὲ σκύλλιον. προφῆται λύκου ἠρόδια. ῥωμαῖοι οὐιάρτουμ, μίνγουμ. οἱ δὲ, πιτίναβουμ, τέρραι γάλλοι ἰουνβαρούμ. δακοὶ δάκινα. τὰ μὲν φύλλα ἔχει ὅμοια σεύτλῳ. λεπτότερα δὲ καὶ μακρότερα. δέκα ἢ πλείω. καυλὸν, λεπτὸν, ὄρθιον ἴσον ὥσπερ κρίνου. μεστὸν καρποῦ στύφοντος τὴν γεῦσιν. δύναται δὲ ὁ καρπὸς λεῖος σὺν οἴνῳ ποθεὶς, ὀξυβάφου πλῆθος δυσεντερικοὺς καὶ κοιλιακοὺς ὠφελεῖν. ῥοῦν τε γυναικεῖον ἐρυθρὸν ἐφιστάνει. φύεται δὲ ἐν λειμῶσι καὶ ἑλώδεσι τόποις.

Γερὶ λαγώποδος. κεφ. φλγ.

Λαγώπους. οἱ δὲ, λαγωοῦ κύμινον καλοῦσι. δύναμιν ἔχει σταλτικὴν κοιλίας πινόμενον μετ' οἴνου. ἐπὶ δὲ τῶν πυρεσσόντων μεθ' ὕδατος. περιάπτεται δὲ καὶ πρὸς φλεγμονὴν βουβώνων. φύεται δὲ ἐν πρασιαῖς.

Περὶ μηδίου. κεφ. φλδ.

Μήδιον. οἱ δὲ, μηδική. οἱ δὲ, ξίφυλλον. οἱ δὲ, κλημάτιον. οἱ δὲ. ἐσμός. οἱ δὲ, τρίωνος. οἱ δὲ, κυβέλλιον. οἱ δὲ, πολύφυλλον. ῥωμαῖοι ξιφόλλιουμ ὀδδράγουμ. αἰγύπτιοι ἐπαέφου. μήδιον φύεται ἐν παλισκίοις τόποις καὶ πετρώδεσιν. ἔχει φύλλα ὅμοια σέρει. καυλὸς τρίπηχυς. ἄνθη πορφυροειδῆ μεγάλα καὶ περιφερῆ. καρπὸς μικρὸς. ἐοικὼς κνίκῳ. ῥίζα σπιθαμιαία. βακτηρίας ἔχουσα πάχος. στρυφνὴ γευομένῳ. ἥτις ξηρὰ λεία ἐκλειχομένη σὺν μέλιτι ἐφθὴ ἐφ' ἱκανὰς ἡμέρας, ῥοῦν τὸν ἐρυθρὸν ἵστησι. τὸ δὲ σπέρμα σὺν οἴνῳ ποθὲν, ἄγει ἔμμηνα.

Περὶ ἐπιμηδίου. κεφ. φλε.

Ἐπιμήδιον. οἱ δὲ, ἐρινεός. οἱ δὲ θρυάς. οἱ δὲ, πολύρριζον. ῥωμαῖοι ἰνδίκτα. καυλός ἐστιν οὐ μέγας. κισσῷ παραπλήσια φύλλα ἔχων, ὅσον ι ἢ ιβ. οὔτε δὲ καρπὸν οὔτε ἄνθη φέρει. ῥίζαι δὲ λεπταὶ, μέλαιναι. βαρύοσμοι. γευσαμένῳ μωραί. φύεται ἐν τόποις ὑδρηλοῖς. ταύτης τὰ φύλλα λεῖα μετ' ἐλαίου, κατάπλασμα μαστῶν εἰς τὸ μὴ αὐξηθῆναι. ἄγονός τε ἡ ῥίζα καὶ τὰ φύλλα λεῖα ποθέντα ἐν οἴνῳ μετὰ τὴν κάθαρσιν < ε πλῆθος ἐπὶ ἡμέρας ε ἀσυλλήπτους τηρεῖ.

Περὶ ξιφίου. κεφ. φλϛ.

Ξιφίον. οἱ δὲ, ἀνακτόριον. οἱ δὲ, φάσγανον. οἱ δὲ, μαχαιρώνιον. οἱ δὲ, ἄριον. ῥωμαῖοι γλαδιόλαμ. οἱ δὲ, γηνιτάλεμ. διὰ τὸ τοῦ φύλλου σχῆμα ὀνομάζεται ξιφίον. ἔοικε γὰρ ἴριδι. ἔλαττον μέντοι καὶ στενώτερον. καὶ ἀπόξυ ὥσπερ μαχαίριον. ἰσῶδες. καυλὸν δὲ ἀνίησι πηχυαῖον ἐφ' οὗ ἄνθη πορφυρᾶ στοιχηδόν. ἀπ' ἀλλήλων διεστῶτα. καρπὸν δὲ στρογγύλον. ῥίζας β. τὴν μὲν μίαν ἐπάνω τῆς ἑτέρας καθημένην, ὥσπερ βολβία μικρά. τούτων ἡ μὲν κάτω, ἰσχνή ἐστιν. ἡ δὲ ἄνωθεν, ἁδροτέρα. φύεται δὲ μάλιστα ἐν ἀρούραις. δύναται δὲ ἡ ἄνωθεν ῥίζα καταπλασσομένη μετ' οἴνου καὶ λιβανωτοῦ, ἀκίδας καὶ σκόλοπας ἐπισπᾶσθαι. σὺν ἀλεύρῳ δὲ αἰρίνῳ καὶ ὑδρομέλιτι διαφθείρει φύγεθλα. ὅθεν ταῖς τοιαύταις ἐμπλάστροις μίγνυται. ἄγει δὲ καὶ καταμήνια προστιθεῖσα. φασὶ δὲ καὶ ἀφροδίσια παρορμᾶν τὴν ἀνωτέρω ῥίζαν σὺν οἴνῳ ποθεῖσαν. τὴν κατωτέρω δὲ ἀγόνους ποιεῖν. ἔν τε

ῥοκηλικοῖς τε παιδίοις ὠφελίμως δίδοσθαι τὴν ἐπίγειον ῥίζαν ἐν ποτῷ σὺν ὕδατι.

Περὶ σπαργανίου. κεφ. φλζ.

Σπαργάνιον. οἱ δὲ, ξιφίδιον· οἱ δὲ, βῶλον καλοῦσι. φύλλα ἔχει ἐοικότα ξιφιδίῳ. στενώτερα δὲ καὶ ἐπικλινέστερα. ἐπ᾽ ἄκρου δὲ τοῦ καυλοῦ ὡσεὶ σφαιρία, ἐν οἷς ὁ καρπός. δίδοται ἡ ῥίζα καὶ ὁ καρπὸς σὺν οἴνῳ θηριοδήκτοις.

Περὶ ξυρίδος. κεφ. φλη.

Ξυρίς. οἱ δὲ, ἶριν ἀγρίαν. οἱ δὲ, καλός. ῥωμαῖοι γλαδίολουμ. οἱ δὲ, ἶριμ ἀγρέστεμ. δακοὶ ἄπρους. τὰ μὲν φύλλα ἔχει ἴριδι ὅμοια πλατύτερα δὲ καὶ ἐξ ἄκρου ὀξέα. καυλὸν δὲ ἐκ μέσου τῶν φύλλων πηχυαῖον. ἱκανῶς παχύν. ἐφ᾽ οὗ λοβοὶ τρίγωνοι. ἐπ᾽ αὐτῶν ἄνθος πορφυροῦν. τὸ δὲ ἐν μέσῳ φοινικοῦν. καρπὸς δὲ ἐν θυλακίοις κυάμοις ὅμοιος. στρογγύλος. ἐρυθρός. δριμύς. ῥίζα δὲ πολυγόνατος. μακρά. πυῤῥά. ποιοῦσα πρὸς τὰ ἐν κεφαλῇ τραύματα καὶ κατάγματα. ἀνάγει δὲ σκόλοπας. καὶ πᾶν βέλος ἐπιπασσομένη μετὰ ἀπολίας μιγνύντος αὐτῇ χαλκοῦ ἄνθους μέρος τρίτον. καὶ κενταυρείου ῥίζης μέρος ε΄ καὶ μέλιτος. θεραπεύει δὲ καὶ οἰδήματα καὶ φλεγμονὰς καταπλασσομένη μετ᾽ ὄξους. πίνεται δὲ καὶ πρὸς σπάσματα. ῥήγματα. ἰσχιάδας τε καὶ στραγγουρίας. καὶ διαῤῥοίας ἡ ῥίζα μετὰ γλυκέος τεθλασμένη. ὁ δὲ καρπὸς οὐρητικώτατος ὅσον τριώβολον ποθεὶς ἐν οἴνῳ. τήκει δὲ καὶ σπλῆνα σὺν ὄξει ποθείς.

Περὶ ἀγχούσης. κεφ. φλθ.

Ἄγχουσα. οἱ μὲν κατάγχουσαν. οἱ δὲ λιβυκήν. οἱ δὲ, ἀρχεβέλλιον. οἱ δὲ, ἀλκιβιάδιον. οἱ δὲ, ὀνόφυλλος. οἱ δὲ, πορφυρίς. οἱ δὲ, μύδουσα, οἱ δὲ, σάλυξ. οἱ δὲ, γονικαί. ἄφροι βουϊνεσάθ. ἄγχουσα. ἣν ἔνιοι κάλυκα. οἱ δὲ, ὀνόκλεαν καλοῦσι. τὰ μὲν φύλλα ἔχει θριδακίνῃ τῇ ὀξυφύλλῳ παραπλήσια. δασέα. τραχέα. μέλανα, πολλά. πανταχόθεν ἀπὸ ῥίζης πρὸς πεπλασμένα τῇ γῇ. ἀκανθώδη. ἡ δὲ ῥίζα δακτύλου τὸ πάχος, τὴν χρόαν ὕφαιμος. ἐν τῷ θέρει γινομένη καὶ βάπτουσα τὰς χεῖρας. φύεται ἐν εὐγείοις τόποις. ἔστι δὲ ἡ ῥίζα στυπτική. ποιοῦσα πρὸς κατακαύματα καὶ παλαιὰ ἕλκη, ἐναφεψομένη κηρῷ καὶ ἐλαίῳ. ἐρυσιπέλατα δὲ σὺν ἀλφίτῳ καταπλασθεῖσα θεραπεύει. καὶ ἀλφοὺς καὶ λέπρας σὺν ὄξει καταπλασσομένη. προστιθεμένη δὲ καὶ ἔμβρυα κατασπᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς δίδοται καὶ ἰκτερικοῖς. νεφριτικοῖς. σπληνικοῖς. πυρέσσουσι μετὰ μελικράτου. τὰ δὲ φύλλα κοιλίαν ἵστησι μετ᾽ οἴνου πινόμενα. χρῶνται δὲ καὶ οἱ μυρεψοὶ τῇ ῥίζῃ πρὸς τὰς στύψεις τῶν μύρων.

Περὶ ἀγχούσης ἑτέρας. κεφ. χ.

Ἄγχουσα ἑτέρα. ἣν ἔνιοι ἀλκιβιάδιον καλοῦσιν. ἢ ὀνοχειλὲς ἐκάλεσαν. αὕτη διαφέρει τῆς πρώτης, τῷ μικρότερα ἔχειν τὰ φύλλα. τραχέα δὲ ὁμοίως. καὶ τὰ κλωνία λεπτά. ἐφ᾽ ὧν ἄνθος πορφυροειδὲς ὑποφοινικίζον. ῥίζας δὲ ἐρυθρὰς ὑπομήκεις. περὶ τὸν πυραμητὸν ἐχούσας τὸ αἱματῶδες. φύεται δὲ ἐν ἀμμώδεσι τόποις. δύναμις δὲ αὐτῆς καὶ τῶν φύλλων θηριοδήκτοις βοηθεῖν. μάλιστα δὲ ἐχεοδήκτοις. ἐσθιόμενα καὶ πινόμενα καὶ περιαπτόμενα. καὶ μασησάμενός τις εἰς τὸ στόμα τοῦ θηρίου ἐμπτύσῃ, ἀποκτείνει αὐτό.

Περὶ ἑτέρας ἀγχούσης. κεφ. χα.

Ἔστι δὲ καὶ ἄλλη ἐμφερὴς ταύτῃ. ἐλάττω δὲ καρπὸν ἔχουσα φοινικοῦν. ἐν ᾗ αὐτῆς μασησάμενος ἀποπτύσῃ εἰς τὸ στόμα τοῦ ἑρπετοῦ, ἀποκτείνει. ἡ δὲ ῥίζα μετὰ ὑσσώπου καὶ

καρδα-

καρδαμώμου πόσις, ὀξυβάφου πλῆθος, πλατείας ἕλμινθας ἐκτινάσσει.

Περὶ λυκόψεως. κεφ. χβ.

Λυκοψὶς. οἱ δὲ, καὶ ταύτην ἄγχουσαν ἐκάλεσαν. τὰ μὲν φύλλα ἔχει ὅμοια θρίδακι. μακρότερα δὲ καὶ τραχύτερα καὶ παχέα καὶ πλατύτερα. πεπτωκότα περὶ τὴν τῆς ῥίζης κεφαλήν. καυλὸν αὐξήσει μακρόν. ὀρθόν. τραχύν. παραφυάδας ἔχοντα πολλάς. πηχυαίας τραχείας. καὶ ἐπ' αὐτοῖς ἄνθη μικρά. πορφυρίζοντα. ῥίζα δὲ ἐρυθρά. στυπτική. φύεται ἐν πεδίοις. καταπλασσομένη δὲ μετ' ἐλαίου ἡ ῥίζα, τραύματα ἰᾶται. μετὰ ἀλφίτου δὲ ἐρυσιπέλατα. λεία δὲ συναλειφομένη μετ' ἐλαίου ἱδρῶτας κινεῖ.

Περὶ ἐχίου. κεφ. χγ.

Ἔχιον. οἱ δὲ, ἀρίδιον. οἱ δὲ, ἀλκιβιάδιον. ῥωμαῖοι ἀλκιβιακουμ. τὰ μὲν φύλλα ἔχει προμήκη. τραχέα ὑπόλεπτα πρὸς τὰ τῆς ἀγχούσης ὑπέρυθρα. ἐλάττονα δὲ καὶ λιπαρά. ἀκάνθια λεπτὰ ἐπικείμενα καὶ δασέα. καυλία λεπτὰ πολλά. ἑκατέρωθεν δὲ φυλλάρια λεπτὰ πεφυσμένα μέλανα. ἐλάττονα καὶ πρὸς λόγον τὸν ἐπ' ἄκρου τοῦ καυλοῦ. τὰ δὲ ἄνθη παρὰ τὰ φύλλα πορφυροειδῆ. ἐν οἷς ἐστι καὶ σπέρμα κεφαλῇ ἔχεως ὅμοιον. ῥίζα δὲ λεπτοτέρα δακτύλου. ὑπομέλαινα. ἥτις οὐ μόνον τοῖς δηχθεῖσιν ὑπὸ ἑρπετῶν βοηθεῖ ποθεῖσα μετ' οἴνου, ἀλλὰ καὶ τοὺς προπιόντας ἀδήκτους ποιεῖ. ὁμοίως δὲ καὶ τὰ φύλλα καὶ ὁ καρπός. παύει δὲ καὶ ὀσφύος ἄλγημα. καὶ γάλα κατασπᾷ μετ' οἴνου ἢ ῥοφήματος ληφθεῖσα.

Περὶ ὠκιμοειδοῦς. κεφ. χδ.

Ὠκιμοειδές. οἱ δὲ, καὶ τοῦτο ἔχιον καλοῦσιν. οἱ δὲ, σκορπίουρον. οἱ δὲ, σπάργανον. οἱ δὲ, ἀλθαίας. οἱ δὲ, ἀμαρανθίδα. οἱ δὲ, προβατείας. οἱ δὲ, ἐλάφειον. οἱ δὲ, ἀστίμιμον. οἱ δὲ, πορφυρίδα. οἱ δὲ, αὔξιον. οἱ δὲ, νεμέσιον. οἱ δὲ, φιλεταίριον. οἱ δὲ, ὑαινόφολον. οἱ δὲ, θυρσίτην. οἱ δὲ, θερμουτιν. οἱ δὲ, μισόπαθος. ῥωμαῖοι ὠκιμάστρουμ. φύλλα μὲν ἔχει ὠκίμῳ ὅμοια. κλῶνας δὲ σπιθαμιαίους. δασεῖς. λοβοὺς δὲ παραπλησίους ὑοσκυάμῳ. πλήρεις σπέρματος μέλανος. ἐοικότας μελανθίῳ. δύναμιν δὲ ἔχει τὸ σπέρμα πινόμενον ἐν οἴνῳ, ἐχιοδήκτους καὶ τὰ ἄλλα τῶν ἑρπετῶν δήγματα θεραπεύειν. δίδοται δὲ καὶ ἰσχιαδικοῖς μετὰ σμύρνης καὶ οἴνου καὶ πεπέρεως. ῥίζα δὲ ὑπολεπτή ἐστι καὶ ἄχρηστος.

Περὶ ἐρίνου. κεφ. χε.

Ἔρινος. οἱ δὲ, ὠκιμοειδές. οἱ δὲ, ὑδρηρόν. ῥωμαῖοι ὠκιμουμ. φύεται παρὰ ποταμοῖς καὶ κρήναις. φύλλα ἔχει ὠκίμοις ὅμοια. μικρότερα δὲ καὶ ἐπεσχισμένα ἐκ τῶν ἄνωθεν μερῶν. κλωνία δὲ ε ἢ ϛ' σπιθαμιαῖα. ἄνθη λευκά. καρπὸν δὲ μέλανα. στρυφνόν. ὀπώδης δὲ μεστός ἐστιν ὁ καυλὸς καὶ τὰ πέταλα. τούτων ὁ καρπὸς < β πλῆθος, πρὸς κυάθοις μέλιτος τέσσαρσι ῥεύματα ὀφθαλμῶν ἐγχεόμενος ἵστησιν. ὁ δὲ χυλὸς ὤτων πόνον παύει μετὰ θείου καὶ νίτρου ἐνσταζόμενος.

Περὶ ἀγρώστεως. κεφ. χϛ.

Ἄγρωστις. οἱ δὲ, αἰγικόν. οἱ δὲ, ἀμαξῖτις. αἰγύπτιοι ἀνουφί. ῥωμαῖοι γράμεν. οἱ δὲ, ἀσφύλακμ. οἱ δὲ, σαγουινάλεμ. οἱ δὲ, οὐιόλαμ. ἱσπανοὶ ἀπαρία. δακοὶ κοτίατα. ἀφροὶ ἰεβαλ. κλήματα γονατώδη ἕρποντα ἐπὶ τῆς γῆς, καὶ ἀπὸ τῶν κλάδων προϊέμενα ῥίζας γλυκείας γονατώδεις. φύλλα ὀξέα σκληρὰ πλατέα ὡς καλάμου μικροῦ. τρέφονται βόες καὶ κτήνη. ταύτης ἡ ῥίζα καταπλασσομένη λεία, τραύματα κολλᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς πινόμενον, πρὸς στρόφους ποιεῖ καὶ δυσουρίαν. καὶ τὰ περὶ τὴν κύστιν περιπτώματα λιθώδη θρύπτει.

Περὶ καλαμαγρώστεως. κεφ. χζ.

Καλαμάγρωστις. μείζων ἐστὶ κατὰ πάντα τῆς ἀγρώστεως. ἔστι δὲ κτηνῶν ἀναιρετικὴ βρωθεῖσα. καὶ μάλιστα ἡ ἐν βαβυλῶνι παρὰ τὰς ὁδοὺς φυομένη.

### Περὶ τῆς ἐν παρνασῷ ἀγρώστεως. κεφ. χη.

Ἡ δὲ ἐν τῷ παρνασῷ γεννωμένη ἄγρωστις, πολυκλαδωτέρα ἐστί. φύλλα δὲ κισσῷ ὅμοια φέ-
ρει. ἄνθος λευκὸν καὶ εὐῶδες. καρπὸν, μικρόν. οὐκ ἄχρηστον. ῥίζας ε΄ ἢ ς΄. δακτύλου, πά-
χος. λευκάς. μαλακάς. γλυκείας ἰσχυρῶς. τὸν ὁ χυλὸς ἑψηθεὶς σὺν οἴνῳ καὶ μέλιτι συμμέ-
ξω καὶ σμύρνης ἡμίσει μέρει, πεπέρεως τε καὶ λιβανωτοῦ τῷ τρίτῳ, φάρμακόν ἐστιν
ἄριστον πρὸς ὀφθαλμούς. ἀποτίθεται δὲ ἐν χαλκῇ πυξίδι. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν, ποιεῖ
πρὸς ἃ καὶ αὐτή. τὸ δὲ σπέρμα ταύτης ἰσχυρῶς διουρητικὸν καὶ ἐμέτων καὶ κοιλίας
ῥεούσης σταλτικόν. ἡ δὲ ἐν κιλικίᾳ γεννωμένη, ἣν οἱ ἐπιχώριοι κίνναν καλοῦσιν, ὑγρὰ
βρωθεῖσα πολλάκις, ἀποπνίγει τοὺς βόας.

### Περὶ σιδηρίτιδος. κεφ. χθ.

Σιδηρῖτις. οἱ δὲ, ἡράκλειαν. προφῆται γόνον. οἱ δὲ, αἷμα τιτάνου. οἱ δὲ οὐρὰ σκορπίου. Πυ-
θαγόρας πάρμιρον. ἀνδρέας ξανθοφανία. ὀσθάνης βουόφθαλμον. αἰγύπτιοι σενδιονώρ.
ῥωμαῖοι οὐερτίμνουμ. οἱ δὲ σιδεράστρουμ. ἄφροι οὐδιδόμιν. πόα ἐστὶ φύλλα ἔχουσα ὅμοια
πρασίῳ. ἐπιμηκέστερα δὲ πρὸς τὰ τοῦ ἐλελισφάκου ἢ δρυός. μικρότερα μέντοι καὶ τρα-
χέα. καυλοὺς δὲ ἀνίησι τετραγώνους σπιθαμιαίους ἢ καὶ μείζονας. οὐκ ἀηδεῖς ἐν τῇ
γεύσει. καὶ στύφοντας. ἐν οἷς ἐκ διαστημάτων σπόνδυλοι περιφερεῖς, ὥσπερ τῆς πρα-
σίου. καὶ ἐν αὐτοῖς σπέρμα μέλαν. φύεται δὲ ἐν ὑποπετρίοις χωρίοις. δύναμιν δὲ ἔχει τὰ
φύλλα καταπλασσόμενα, τραυμάτων κολλητικὴν καὶ ἀφλέγμαντον.

### Περὶ ἑτέρας σιδηρίτιδος. κεφ. χι.

Ἄλλη σιδηρῖτις, κλῶνας ἔχει δισπήχεις. λεπτούς. φύλλα δὲ ἐπὶ μόσχων μακρῶν, ὅμοια τοῖς
τῆς πτέριδος. ἀκροσχιδῆ πολλὰ ἑκατέρωθεν. ἐκ δὲ τῶν ἀνωτέρω μασχαλῶν, ἀποφύσεις
μακράς. λεπτάς. ἐπ᾽ ἄκρου σφαιροειδεῖς κεφαλὰς ἐχούσας τραχείας. ἐν οἷς σπέρμα
ὅμοιον σεύτλῳ. στρογγυλώτερον δὲ καὶ σκληρότερον. δύναμις δὲ καὶ ταύτης ἐστὶ καὶ τῶν
φύλλων τραυματική.

### Περὶ ἑτέρας σιδηρίτιδος. κεφ. χια.

Ἔτι καὶ ἑτέρα εἶναι λέγεται σιδηρῖτις. ἣν καὶ αὐτὴν Κρατεύας ἡράκλειαν καλεῖ. φυομένην
ἐν τοίχοις καὶ ἀμπελῶσιν. ἔχουσα φύλλα πολλὰ ἀπὸ μιᾶς ῥίζης ὅμοια κοριάνῳ περὶ
καυλίοις σπιθαμιαίοις λείοις. ξυφοῖς. ὑπολεύκοις. ἐνερευθέσιν. ἄνθη δὲ, φοινικᾶ. μικρά.
γευομένῳ πικρά. γλίσχρα. καὶ ταύτης ἡ δύναμις ἐπιτιθεμένης, κολλητικὴ ἐναίμων καὶ
νεοτρώτων.

### Περὶ ἀχιλλείου. κεφ. χιβ.

Ἀχίλλειος. οἱ δὲ μυριόμορφον. οἱ δὲ, χιλιόφυλλον. οἱ δὲ, στρατιωτικόν. οἱ δὲ, ἡράκλειον. ῥωμαῖοι
σουπερκίλιουμ βενέρις. οἱ δὲ, ἄκρουμ σιλβάτικουμ. οἱ δὲ, μιλιτάρεμ. οἱ δὲ, μιλλεφόλιουμ.
ἄφροι ἀστὴρ χίλλος. καλοῦσι τινὲς καὶ ταύτην χίλλειον, σιδηρῖτιν. φέρει δὲ ῥάβδια σπιθα-
μιαῖα ἢ καὶ μείζω ἀγανώδη. καὶ περὶ αὐτὰ φυλλάρια λεπτά. ἐκ πλαγίων ἐντομὰς ἔ-
χοντα πυκνάς. προσεμφερῆ κορίῳ. ὑπόπικρα. γλίσχρα. πολύοσμα. οὐ κακώδη. φαρμακώ-
δη δὲ τὴν ὀσμήν. σκιάδιον ἐπ᾽ ἄκρου περιφερές. ἄνθη λευκὰ καὶ πορφυρᾶ καὶ χρυσίζοντα.
φύεται ἐν εὐγέοις τόποις. τούτου ἡ κόμη λεία, ἐναίμων ἐστὶ κολλητική. καὶ ἀφλέγμαντος.
αἱμορραγίας τε ἐφεκτική. καὶ τὰς ἐκ μήτρας ἐν προσθέτῳ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς ἐστιν ἐγ-
κάθισμα ῥοικαῖς. πίνεται δὲ καὶ πρὸς δυσεντερίας.

### Περὶ βάτου. κεφ. χιγ.

Βάτος. οἱ δὲ, κυνόσβατον. οἱ δὲ, σελινοείτιον. οἱ δὲ, ἀσύντροφον. προφῆται αἷμα τιτάνου.
οἱ δὲ, αἷμα ἴβεως. ῥωμαῖοι σέντες. οἱ δὲ, ῥοῦβουμ. οἱ δὲ, μόρα βατικαῖα. δακοὶ μαντεία. αἰγύ-

πτιοι

ποι αἵμεος. οἱ δὲ, ἄμετρος. βάτος ἣν γινώσκομεν στύφει καὶ ξηραίνει· τρίχας βάπτει. τὸ δ' ἀφέψημα τῶν ἀκρεμόνων αὐτῆς, κοιλίαν ἵστησι πινόμενον. ῥοῦν ἐπέχει γυναικεῖον καὶ πρηστῆρος δήγματι βοηθεῖ. κρατύνει δὲ καὶ οὖλα καὶ ἄφθας ὑγιάζει διαμασσώμενα τὰ φύλλα. καὶ ἕρπητας ἐπέχει. καὶ ἀχῶρας τοὺς ἐν κεφαλῇ θεραπεύει. καὶ ὀφθαλμῶν προπτώσεις. καὶ κονδυλώματα. καὶ αἱμορροΐδας καταπλασσόμενα τὰ φύλλα. ἐπὶ τῶν στομαχῶν δὲ καὶ καρδιακῶν λεῖα ἐπιτιθέμενα ἁρμόζει. ὁ δὲ χυλὸς αὐτῆς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων, συστραφεὶς ἐν ἡλίῳ, βέλτιον ποιεῖ εἰς πάντα τὰ εἰρημένα. τοῦ δὲ καρποῦ αὐτοῦ ὁ χυλὸς πεπείρου ὄντος πλέως, εἰς τὰ στοματικὰ ἁρμόζει. ἵστησι δὲ καὶ κοιλίαν ἐσθιόμενος ὁ μέσος πέπειρος. καὶ τὸ ἄνθος δὲ αὐτῆς ποθὲν σὺν οἴνῳ, κοιλίαν ἵστησι.

Περὶ ἰδαίας βάτου. κεφ. χιδ.

Βάτος ἰδαία ἐκλήθη μὲν διὰ τὸ πολλὴν ἐν τῇ Ἴδῃ γεννᾶσθαι. ἔστι δὲ ἁπαλωτέρα πολλῷ τῆς πρὸ αὐτῆς. ἀκάνθας μικρὰς ἔχουσα. εὑρίσκεται δὲ καὶ χωρὶς ἀκάνθης. δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς. ἐκπερισσοῦ δὲ τὸ αὐτῆς ἄνθος σὺν μέλιτι λειανθὲν, ὀφθαλμικαῖς φλεγμοναῖς περιχριόμενον βοηθεῖ. καὶ ἐρυσιπέλατα σβέννυσι. στομαχικοῖς τε μεθ' ὕδατος ἐν ποτῷ δίδοται.

Περὶ ἐλξίνης. κεφ. χιε.

Ἐλξίνη. οἱ δ', ἐλέπτιν. οἱ δὲ, κανοκερασίαν. οἱ δ', ἀμελξίνην. οἱ δ', ὀνίτιν. οἱ δὲ, ἀμοργίνην. οἱ δὲ, συνκόπτα χές. οἱ δὲ, ψυχύλακος. οἱ δ', μελάμπελον. οἱ δὲ, κιττάμπελον. οἱ δὲ, κισσόμηθον. οἱ δὲ, ἀνατεταμένον. Ῥωμαῖοι βουλουτουλαπέρου. Αἰγύπτιοι ἄσπαπ. οἱ δ', παρθένιον. οἱ δὲ, σιδηρῖτιν. οἱ δ', ἡράκλειαν. οἱ δὲ, ἀγρίαν. οἱ δὲ, κλιβάδιον. οἱ δὲ, πολυώνυμον καλοῦσι. φύεται ἐν φραγμοῖς καὶ τοίχοις καὶ ἀμπελῶσι. ἔστι δὲ (?)τω. καυλία δ' ἔχει ὑπέρυθρα. φύλλα ὅμοια λινοζώστει. δασέα. περὶ δὲ τοὺς καυλοὺς οἱονεὶ σπερμάτια τραχέα ἀντιλαμβανόμενα τῶν ἱματίων. δύναμιν δὲ ἔχει τὰ φύλλα, ψυκτικὴν στυπτικήν. ὅθεν καταπλασσόμενα ἰᾶται ἐρυσιπέλατα. κατακαύματα. κονδυλώματα. φύγεθλα ἀρχόμενα. καὶ πᾶσαν φλεγμονὴν καὶ οἰδήματα. ὁ δὲ χυλὸς αὐτῆς μιγεὶς ψιμυθίῳ, ἐρυσιπέλατα καὶ ἕρπητας ὠφελεῖ καταχριόμενος. καὶ ποδάγρας σὺν κηρωτῇ κυπρίνῃ ἀναληφθεὶς ἢ τραγείῳ στέατι. ὠφελεῖ καὶ βήσσοντας χρονίως ὁ χυλὸς καταρροφούμενος ὅσον κύαθος. καὶ παρισθμίοις φλεγμαίνουσιν ἀναγαργάρισμα καὶ διάχρισμα ὠφέλιμόν ἐστι. καὶ ὠταλγίας σὺν ῥοδίνῳ ἐγχεόμενον ὠφελεῖ. ἐν ἄλλῳ. Ἐλξίνη ἔχει φύλλα ὅμοια κισσοῦ. ἐλάττονα δὲ καὶ κλωνία μικρά. περιπλεκόμενα ὅπου ἂν τύχοι. δύναμιν δὲ ἔχει τῶν φύλλων ὁ χυλὸς πινόμενος λυτικὴν κοιλίας.

Περὶ ἐλατίνης. κεφ. χιϛ.

Ἐλατίνη τὰ μὲν φύλλα ἔχει ὅμοια τῇ ἐλξίνῃ. μικρότερα δὲ καὶ στρογγυλώτερα. δασέα. κλωνίας λεπτούς. σπιθαμιαίους ἓξ ἢ ε΄ ἀπὸ τῆς ῥίζης. φύλλων πλήρεις στυφόντων ἐν τῇ γεύσει. φύεται ἐν σίτοις καὶ τόποις ἐργασίμοις. δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλαττόμενα σὺν ἀλφίτοις, φλεγμαίνοντας καὶ ῥευματιζομένους ὠφελεῖν ὀφθαλμούς. ἑψηθεῖσα δὲ καὶ ῥοφουμένη δυσεντερίας ἵστησιν.

Περὶ εὐπατωρίου. κεφ. χιζ.

Εὐπατώριον. οἱ δὲ, ἡπατώριον. οἱ δὲ, ἡπατῖτις. Ῥωμαῖοι οὐέλουκρουμ μαίους. πόα δ' ἐστὶ φρυγανώδης. ῥάβδον ἀναφέρουσα μίαν. λεπτήν. ξυλώδη. ὀρθήν. μέλαιναν. ἁπλῆν σὺν πηχυαίαν ἢ καὶ μείζονα. φύλλα δὲ ἐκ διαστημάτων. ἐσχισμένα μάλιστά που εἰς ε΄ μοίρας ἢ καὶ πλείους. τῷ δὲ τῆς πενταφύλλου ἢ καναβίδος μᾶλλον ἐοικότα. καὶ αὐτὰ δὲ ὑπομέλανα πρινοειδῶς ἐξάκρων ἐντετμημένα. σπέρμα δὲ περὶ τὴν ἔκφυσιν ἀναμέσον τοῦ καυλοῦ, ὑπόδασυ. κάτω νευ-

γωνικός. ὡς τε τοῖς ἱματίοις ἐνίζεσθαι ξηρανθέν. ταύτης τὰ φύλλα μετὰ στέατος χοιρείου παλαιοῦ λεῖα ἐπιτεθέντα, τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἰᾶται. τὸ δὲ σπέρμα καὶ ἡ ῥίζα μετ᾽ οἴνου πινόμενα, δυσεντερικοὺς καὶ κοιλιακοὺς τούς τε ἑρπετοδήκτους σώζει. ἔνιοι ταύτην ἀρτεμισίαν ἐκάλεσαν πλανηθέντες. ἑτέρα γάρ ἐστιν, ὡς ὑπεδείξαμεν.

Περὶ πενταφύλλου. κεφ. χιη.

Πεντάφυλλον. οἱ δὲ, πενταπετές. οἱ δὲ, πεντάτομον. οἱ δὲ, πενταδάκτυλον. οἱ δὲ ψευδοσέλινον. οἱ δὲ, καλλιπέταλον. οἱ δὲ, ξυλόλωτον. οἱ δὲ ξυλοπέταλον. οἱ δὲ, ἀσφάλτιον. οἱ δὲ, πεντάκονον. οἱ δὲ, θυμιατῖτις. αἰγύπτιοι ὀρφιτιβέοκε. οἱ δὲ, ἔνωξον. προφῆται ἴβεως ὄνυξ. οἱ δὲ, πτερὸν ἴβεως. οἱ δὲ, ἑρμοδάκτυλον. ῥωμαῖοι κινκεφόλιουμ. γάλλοι πεμπέδουλα. δάκοι προπέδουλα καλοῦσι. κλῶνας φέρει ἐκ ῥάβδου λεπτοὺς σπιθαμιαίους ἐφ᾽ ὧν ὁ καρπός. φύλλα δὲ ἔχει ἐοικότα ἡδυόσμῳ, πέντε καθ᾽ ἕνα μίσχον. σπανίως δὲ πλείονα, κύκλῳ ἐγκεχαραγμένα πριονοειδῶς. ἄνθος δὲ ὑπόχλωρον, χρυσοειδές. φύεται δὲ ἐν ἐνύδροις τόποις καὶ παρ᾽ ὀχετοῖς. ῥίζαν δὲ ἔχει ὑπέρυθρον, ἐπιμήκη, παχυτέραν ἐλλεβόρου μέλανος. ἔστι δὲ πολύχρηστος. δύναται δὲ τὸ τῆς ῥίζης ἀφέψημα ἄχρι τρίτου καταβιβασθὲν ἐν τῇ ἑψήσει, ὀδονταλγίας παύειν διακρατούμενον ἐν τῷ στόματι. καὶ σηπεδόνας τὰς ἐν τῷ στόματι διακλυζόμενον ἵστησι. τὰς τραχύτητας ἀρτηρίας ἀναγαργαριζόμενον παραμυθεῖται. κοιλίας τε ῥεούσας καὶ δυσεντερίας βοηθεῖ. ἀρθριτικοῖς τε καὶ ἰσχιαδικοῖς πινόμενον. ἑφθὴ δὲ ἐν ὄξει λεία καταπλασσομένη, ἕρπητας ἐπέχει. διαφορεῖ χοιράδας, σκληρίας, οἰδήματα, ἀνευρύσματα, ἀποστήματα, ἐρυσιπέλατα, πτερύγια τὰ ἐν δακτύλῳ. καὶ κονδυλώματα καὶ ψώρας ἰᾶται. ὁ δὲ χυλὸς τῆς ῥίζης ἁπαλῆς, ποιεῖ πρὸς τὰ ἐν ἥπατι καὶ πνεύμονι πάθη, καὶ τὰ θανάσιμα. τὰ δὲ φύλλα πίνεται μεθ᾽ ὑδρομέλιτος ἢ οἴνου κεκραμένου καὶ πεπέρεως ὀλίγου πρὸς περιόδους. ἐπὶ μέντοι τεταρταίου, καὶ τεττάρων κλωνιαρίων φύλλα. ἐπὶ δὲ τριταίου τριῶν. ἐπὶ δὲ ἀφημερινοῦ ἑνός. ἀρήγει δὲ τῇ ἐπιληψίᾳ πινόμενα ἐφ᾽ ἡμέρας λʹ ἀνὰ φύλλων λʹ. ὑπάγει δὲ καὶ ἴκτερον τὸν χρόνιον ὁ χυλὸς τῶν φύλλων ποθεὶς ἐπί τινας ἡμέρας τριῶν κυάθων πλῆθος. τραύματά τε καὶ σύριγγας μεθ᾽ ἁλῶν καὶ μέλιτος καταπλαττόμενα ἰᾶται. βοηθεῖ δὲ καὶ ἐντεροκηλικοῖς. τὰς αἱμορροΐδας ἵστησι πινόμενον καὶ καταπλασσόμενον. τέμνεται δὲ καὶ πρὸς καθαρμοὺς τὰς αἱμορραγίας καὶ ἁγνείας.

Περὶ φοίνικος. κεφ. χιθ.

Φοῖνιξ. οἱ δὲ, ῥοῦν. οἱ δὲ ἀγχίνωπα. οἱ δὲ, φοινικόπτερον. οἱ δὲ, ῥοῦν στάχυς. οἱ δὲ, ὀφθαλμόν. ῥωμαῖοι παλλερλουκουπίνουμ. αἰγύπτιοι ἄθρον. τὰ μὲν φύλλα ἔχει ὅμοια κριθῇ. βραχύτερα δὲ καὶ στενώτερα. στάχυν δὲ ἐμφερῆ τῇ αἴρᾳ. κλῶνας δὲ ἑξαδακτύλους κύκλῳ τῆς ῥίζης, καὶ στάχυς ζʹ ἢ ηʹ. φύεται δὲ ἐν ἀρούραις, καὶ ἐπὶ τῶν στεγῶν τῶν νεοκαταχρίστων. δύναμιν δὲ ἔχει πινόμενον ἐν οἴνῳ αὐστηρῷ, διάρροιαν τε καὶ αἱμορραγίαν τὴν ἐκ μήτρας καὶ οὔρων πλείονα φορὰν ἱστᾶν. ἱστοροῦσι δέ τινες καὶ ἴσχαιμον αὐτὴν εἶναι ἐνδεσμουμένην φοινικῷ ἐρίῳ τε περιαπτομένην.

Περὶ ἰδαίας ῥίζης. κεφ. χκ.

Ἰδαία ῥίζα. ὀξυμυρσίνῃ τὰ φύλλα ἔοικε. παρ᾽ αὐτὰ δὲ ὡς ἕλικες μικραὶ παραπεφύκασιν, ἐξ ὧν τὸ ἄνθος. ταύτης ἡ ῥίζα στυπτικὴ σφόδρα, ἁρμόζουσα ἐφ᾽ ὧν στύψεως ἡ χρεία. πίνεται δὲ καὶ πρὸς κοιλίας ῥεύματα καὶ ῥοῦν γυναικεῖον. αἱμορραγίας τε πάσας ἵστησι.

Περὶ ῥοδίας ῥίζης. κεφ. χκα.

Ῥοδία ῥίζα. οἱ δὲ ῥοδίδα καλοῦσι. γεννᾶται ἐν μακεδονίᾳ. ἐοικυῖα κόστῳ. κουφοτέρα δὲ καὶ ἀνώμαλος. ῥόδων ἐν τῇ διατρίψει ἀποφορὰν ποιοῦσα ὁμοίαν. χρήσιμος δ᾽ ἐπὶ τῶν κεφαλαλγούντων σὺν ῥοδίνῳ λεπτὴ ἐπιτιθεμένη τε, ἐμβρεχομένη μετώπῳ καὶ κροτάφοις.

# ΤΕΤΑΡΤΟΝ.

Περὶ ἱππούριδος. κεφ. χκβ.

Ἵππουρις. οἱ δέ, τριμάχιον. οἱ δέ, ἀνάβασις. οἱ δέ, χερόσδρανον. οἱ δέ, φαίσδραν. οἱ δέ, ἱππάνδεν-
δρον. οἱ δέ, γέτ. οἱ δέ, χοινιόστροφον. αἰγύπτιοι φερφρά. προφῆται κρόνου τροφή. ῥωμαῖοι
ἐκυινάλις. οἱ δέ, σάλιξ ἐκυινάλις. οἱ δὲ ἀναβάσιον. οἱ δὲ ἔφυδρον καλοῦσι. φύεται ἐν
τόποις ἐφύδροις καὶ τάφροις, καυλία κοῖλα, ὑπέρυθρα, ὑπότραχα, στερεά, γόνασι δι-
ειλημμένα, ἐμπεφυκόσιν εἰς ἄλληλα. περὶ δὲ αὐτὰ σχοινώδη φύλλα πυκνά, λεπτά. αὔ-
ξεται δὲ εἰς ὕψος ἀναβαίνουσα ἐπὶ τὰ παρακείμενα στελέχη καὶ κατακρημνᾶται πε-
ρικεχυμένη κόμαις πολλαῖς μελαίναις καθάπερ ἵππου οὐρά. ῥίζα ξυλώδης, σκλη-
ρά. στυπτικὴ δὲ ἡ πόα. ὅθεν ὁ χυλὸς αὐτῆς αἱμορραγίας ἵστησι τὰς ἐκ μυκτήρων. καὶ δυ-
σεντερίας ὠφελεῖ πινόμενος μετ᾽ οἴνου. κινεῖ δὲ οὖρα. τὰ δὲ φύλλα ἔναιμα τραύματα
κολλᾷ λεῖα ἐπιπλασσόμενα. ἡ δὲ ῥίζα καὶ ἡ πόα βηχικοῖς τε καὶ ὀρθοπνοικοῖς καὶ ῥηγμα-
τίαις ἀρήγει. ἱστορεῖται δὲ καὶ ἐντέρου διαιρέσεις καὶ κύστεως διακοπὴν καὶ ἐντεροκή-
λην συνάγειν τὰ φύλλα πινόμενα ἐν ὕδατι.

Περὶ ἑτέρας ἱππούριδος. κεφ. χκγ.

Ἵππουρις ἑτέρα. οἱ δέ, ἐκύτιον. οἱ δέ, χέδραν. οἱ δέ, γιόον. ῥωμαῖοι σάλιξ ἐκυίνα. καυλός ἐστιν,
ὀρθός, ἴσος, μείζων δὲ πήχεως, ὑπόκοιλος. κόμας ἐκ διαστημάτων ἔχουσα βραχυτέρας καὶ
λευκοτέρας καὶ μαλακωτέρας. ἥτις καὶ αὐτὴ λειανθεῖσα σὺν ὄξει τραύματα ἰᾶται
τὴν αὐτὴν ἔχουσα δύναμιν.

Περὶ κόκκου βαφικῆς. κεφ. χκδ.

Κόκκος βαφική. θάμνος ἐστὶ μικρὸς φρυγανώδης. ᾧ πρόσκεινται οἱ κόκκοι ὡς φακοί.
οἵτινες ἐκλεγόμενοι συντίθενται. ἀρίστη δέ ἐστιν ἡ γαλατικὴ καὶ ἡ ἀρμενιακή. ἔπει-
τα ἡ ἐν ἀσίᾳ καὶ ἡ κιλικίας. ἐσχάτη δὲ πασῶν ἡ ἐν ἱσπανίᾳ. δύναμιν δὲ ἔχει στυπτικήν.
ἁρμόζουσα τραύμασι καὶ νεύρων τρώσεσι λεία μετ᾽ ὄξους καταπλασσομένη. γίνε-
ται δὲ ἡ ἐν κιλικίᾳ ἐν τοῖς δρυσὶν ὅμοιος κοχλίᾳ μικρῷ. ἣν αἱ γυναῖκες τῷ στόμα-
τι ἀναλέγουσαι κόκκον καλοῦσιν.

Περὶ τραγίου. κεφ. χκε.

Τράγιον φύεται μὲν ἐν κρήτῃ μόνῃ. ἔχει δὲ τὰ φύλλα σχίνῳ ὅμοια. καὶ τοὺς ῥάβδους καὶ
καὶ τὸν καρπόν. μικρότερα δὲ πάντα. φέρει δὲ ὀπὸν κόμμει παραπλήσιον. τούτου
τὰ φύλλα καὶ ὁ καρπὸς καὶ τὸ δάκρυον καταπλασσόμενα σὺν οἴνῳ, ἐκσπᾶται σκό-
λοπας καὶ πάντα τὰ ἐμπεπηγμένα. πινόμενα δὲ στραγγουρίας ἰᾶται. καὶ λίθους τοὺς
ἐν κύστει θρύπτει. καὶ καταμήνια ἄγει. λαμβανόμενα δὲ ὁλκῇ < α. φασὶ δὲ καὶ τὰς ἀ-
γρίας αἶγας τοξευθείσας καὶ νεμηθείσας τὴν πόαν, ἐκβάλλειν τὰς ἀκίδας.

Περὶ ἄλλου τραγίου. κεφ. χκϛ.

Τράγιον ἄλλο. οἱ δέ, τράγος. οἱ δέ, τραγόκερως. οἱ δέ, σκορπίον. οἱ δέ, γάργανον. ῥωμαῖοι κερ-
νουλάκα. οἱ δέ, βιτουνέσσα. δάκοι σαλία. αἰγύπτιοι σοβέρ. ἄφροι ἀχιεσίμ. τὰ μὲν φύλ-
λα ἔχει ὅμοια σκολοπενδρίῳ, ῥίζαν δὲ λεπτήν, λευκήν. παραπλησίαν ῥαφανίδι ἀγρίᾳ. ἣ
τις βοηθεῖ δυσεντερικοῖς ὠμή τε καὶ ἑφθὴ ἐσθιομένη. προβάλλει δὲ κατὰ τὸ φθινόπωρον τὰ
φύλλα, τράγου ὀσμήν. ὅθεν καὶ ὠνόμασται τράγιον. φύεται δὲ ἐν ὀρεινοῖς καὶ κρημνώδεσι
τόποις.

Περὶ τράγου. κεφ. χκζ.

Τράγος. οἱ δέ, σκορπίον. οἱ δέ, τράγανος. φύεται παρὰ θαλάττῃ μάλιστα. θαμνί-
σκος ἐπὶ γῆς ἐπιμήκης. οὐ μέγας. ὅσον σπιθαμῆς ἢ μείζων. φύλλα δὲ οὐκ ἔχει. ἐπὶ δὲ τῶν
κλάδων πρόσκεινται οἷον ῥάγες μικραί. πυρραί. κατὰ μέγεθος πυροῦ. ὀξεῖαι ἐπ᾽ ἄκρω-

πολλαί. λίαν γινόμεναι στυπτικαί. τούτου ὁ καρπὸς ὡς ῥῶγες δʹ σὺν οἴνῳ πο-
θεῖσαι, κοιλιακοὺς καὶ ῥοϊκὰς γυναῖκας ὠφελοῦσιν. ἔνιοι δὲ καὶ κόπτοντες αὐτὴν,
ἀναπλάττουσι τροχίσκους εἰς ἀπόθεσιν καὶ οὕτω χρῶνται.

Περὶ ὀξυσχοίνου. χκη.

Ὀξύσχοινος, οἱ δὲ σχοῖνος λεία. οἱ δὲ, ὀξύπτερυς. οἱ δὲ, ὀφρὺς ἡλίου. ῥωμαῖοι ἰούγκουμ μαρί-
νουμ. οἱ δὲ, ἰούγκουμ μασχάλεμ. ἄφροι χούδουα. τούτου διττὸν εἶδος. τὸ μὲν τι αὐτοῦ κα-
λεῖται σχοῖνος λεία. τὸ δὲ, ὀξύσχοινος ἄποξυς ἐπ᾽ ἄκρου. διττὸν δὲ ἐστὶ ταύτης εἶδος. ἡ μὲν γὰρ
ἄκαρπος. ἡ δὲ, καρπὸν μέλανα ἔχει περιφερῆ. παχύτεροι δὲ ταύτης οἱ κάλαμοι καὶ σαρκω-
δέστεροι. ἔστι δὲ καὶ τρίτη ἄλλη σαρκωδεστέρα καὶ τραχυτέρα τοῖν δυοῖν, ὁλόσχοινος λεγομένη.
ἔχει δὲ καὶ αὐτὴ καρπὸν ἐπ᾽ ἄκρου ὅμοιον τῷ πρὸ αὐτῆς. ἀμφοτέρων δὲ ὁ καρπὸς φρυγεὶς
καὶ πινόμενος μετὰ κράματος, κοιλίαν καὶ ῥοῦν ἐρυθρὸν ἵστησι. καὶ οὖρα κινεῖ. ἔστι
δὲ καὶ κεφαλαλγές. τὰ δὲ πρὸς τὴν ῥίζαν ἁπαλὰ φύλλα καταπλαττόμενα, φα-
λαγγιοδήκτοις ἁρμόζει. ἡ δὲ αἰθιοπικὴ σχοῖνος, ὑπνωτικὸν ἔχει τὸν καρπόν. φυλάττε-
σθαι δὲ δεῖ αὐτοῦ ἐν ταῖς πόσεσι τὸ πλῆθος. καροῖ γάρ.

Περὶ λειχῆνος. χκθ.

Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν. οἱ δὲ, βρύον καλοῦσι. βρύον ἐστὶ προσεχόμενον ταῖς ἐνδρόσοις πέ-
τραις. τοῦτο καταπλασθὲν αἱμορραγίας ἵστησι καὶ φλεγμονὰς παρηγορεῖται. καὶ λει-
χῆνας θεραπεύει. ὠφελεῖ δὲ καὶ ἰκτερικοὺς μετὰ μέλιτος διαχριόμενον. στόματος δὲ
καὶ γλώττης ῥευματισμοὺς παρηγορεῖται.

Περὶ παρωνυχίας. χλ.

Παρωνυχία. οἱ δὲ, ἀδήκτος. οἱ δὲ, νευράς. οἱ δὲ, φρύνιον. ῥωμαῖοι βουνιάλις. φύεται ἐν πέ-
τραις θαμνίσκιον ὅμοιον πεπλῳ. τοῦ δὲ μήκει ἔλαττον. τοῖς δὲ φύλλοις μεῖζον. ὅ-
περ καταπλασθὲν λεῖον ὅλον παρωνυχίας καὶ κηρίας θεραπεύει.

Περὶ χρυσοκόμης. χλα.

Χρυσοκόμη. οἱ δὲ, χρυσῖτις. οἱ δὲ, χρυσάνθεμον. οἱ δὲ, ἀμάραντον. οἱ δὲ, διὸς πώγων. ῥωμαῖοι
ἴοβις βάρβα. ἄφροι δουβάθ. οἱ δὲ, βουρχουμάθ. θαμνίον ἐστὶ σπιθαμιαῖον. ἔχον κόμην
κορυμβοειδῆ ὁμοίαν ὑσσώπῳ. ῥίζας δασείας. λεπτὴν, ὡς ἐλλεβόρου μέλανος. γευο-
μένῳ οὐκ ἀηδῆ. κυπέρῳ ἴσην οὖσαν. ἐν τῷ γλυκεῖ ὑπαύστηρον. φύεται ἐν παλισκίοις
καὶ πετρώδεσι. δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ στυπτικὴν ἡ ῥίζα, ἡπατικοῖς καὶ πε-
ριπνευμονικοῖς ἁρμόζουσα. λαμβάνεται δὲ καὶ σὺν ὑδρομέλιτι ἑφθὴ πρὸς κά-
θαρσιν ὑστέρας.

Περὶ χρυσογόνου. χλβ.

Χρυσόγονον. οἱ δὲ, χρυσόσπερμον. οἱ δὲ, δάσσιν. οἱ δὲ, ἐρίγανον. οἱ δὲ, ἀρκόφθαλμον. ῥωμαῖοι
ἀριλλάρια. φύλλα ἔχει ὅμοια δρυΐ. οἱ δὲ, θάμνος ἐστὶ πυκνός. ἄνθος δὲ παραπλή-
σιον τοῖς στεφανωματικοῖς φλόμοις. ῥίζαν ὁμοίαν γογγύλῃ. ἔνδοθεν ἰσχυρῶς ἐρυθράν. ἔξω-
θεν δὲ μέλαιναν. ἥτις βοηθεῖ σὺν ὄξει λεανθεῖσα καὶ ἐπιτεθεῖσα μυγαλῆς δήγμασιν.

Περὶ ἑλιχρύσου. χλγ.

Ἑλίχρυσον. οἱ δὲ, χρυσάνθεμον. οἱ δὲ, καὶ τοῦτο ἀμάραντον καλοῦσιν. ᾧ καὶ τὰ ὕδατα
στεφανοῦσι. ῥάβδιον λευκὸν χλωρόν. ὀρθόν. στερεόν. φύλλα στενά. ἐκ διαστήματος ἔ-
χον πρὸς τὰ τοῦ ἀβροτόνου. κόμην, κυκλοτερῆ. χρυσοφανῆ. σκιάδιον περιφερὲς
ὥσπερ κορύμβους ξηρούς. ῥίζαν, λεπτήν. φύεται δὲ ἐν τραχέσι καὶ χαραδρώδεσι τόποις. βοη-

θεῖ

θεῖσα δὲ ἡ κόμη σὺν οἴνῳ ποθεῖσα, δυσουρίαις καὶ ἑρπετῶν δήγμασι, καὶ ἰσχιάσι καὶ ῥήγμασι. καὶ ἔμμηνα ἄγει. καὶ θρόμβους αἵματος τοὺς ἐν κύστει ἢ κοιλίᾳ τήκει σὺν ὀξυμέλιτι πινομένη. ἰσχύει δὲ καὶ κατάῤῥουν ὅσον τριώβολον τῆς ξηρᾶς δοθεῖσα ἐν κράματι οἴνου λευκοῦ. συντίθεται δὲ καὶ μετὰ ἱματίων ἄβρωτα τηροῦσα αὐτά.

## Περὶ χρυσανθέμου. κεφ. ξγ.

Χρυσάνθεμον ἢ χαλκάς· οἱ δὲ, χαλκῖτιν· οἱ δὲ, χάλκανθον· οἱ δὲ, χαλκάνθεμον· οἱ δὲ, βούφθαλμον· ῥωμαῖοι ἄκανθαν. θοῦσκοι γαρουλέουμ. ἄφροι χουρζῆτα. τρυφεράτις πόα. θαμνοειδὴς δὲ, λείους ἀναφέρουσα καυλοὺς καὶ φύλλα πολυσχιδῆ. ἄνθη μήλινα, ἰσχυρῶς στίλβοντα, καὶ ὀφθαλμὸν κυκλοτερῆ. διὸ καὶ οὕτως ὠνόμασται. φύεται περὶ τὰς πόλεις. οἱ καυλοὶ δὲ αὐτοῦ λαχανεύονται. τὰ δ' ἄνθη λεῖα μετὰ κηρωτῆς, στεατώματα λέγεται διαφορεῖν. ἰκτερικοὺς δὲ προσκαίρως εὐχροεῖν ποιεῖ, ποθεῖσα μετὰ τὴν ἐν τοῖς λουτροῖς ἀπὸ τῆς μακρᾶς διατριβῆς ἔξοδον.

## Περὶ ἀγηράτου. κεφ. ξδ.

Ἀγήρατον. θάμνος ἐστὶ φρυγανώδης, σπιθαμιαῖος, ταπεινός, ἁπλοῦς, ἐμφερὴς ὀριγάνῳ, σκιάδιον ἔχων. ἐφ' οὗ ἄνθος πομφολυγῶδες, χρυσοειδὲς, ἔλαττον ἑλιχρύσου. ὠνόμασται δὲ ἀγήρατον, διὰ τὸ ἐπιπολὺ τὸ ἄνθος ὁμοιοειδὲς φυλάττεσθαι. δύναμιν δὲ ἔχει τὸ ἀφέψημα αὐτοῦ πυρωτικήν. καὶ αὐτὴ ἡ πόα ὑποθυμιωμένη οὖρα ἄγει. καὶ τὰ περὶ ὑστέραν μαλάττει.

## Περὶ περιστερεῶνος. κεφ. ξε.

Περιστερεὼν ὀρθός· οἱ δὲ, περιστέριον· οἱ δὲ, τριγώνιον· οἱ δὲ, βούνιον· οἱ δὲ, ἱερὰ βοτάνη· οἱ δὲ, θιλπροδότης. αἰγύπτιοι πεμψεμπτέ. προφῆται ἥρας δάκρυον· οἱ δὲ, αἷμα γαλῆς· οἱ δὲ αἷμα ἑρμοῦ. ῥωμαῖοι κρίστα γαλλινάκεα· οἱ δὲ, φέρεια· οἱ δὲ, τριζαλίς· οἱ δὲ, ἐξούπερα· οἱ δὲ, ἑρβασαγκινάλις. φύεται ἐν ἐνύδροις τόποις. δοκεῖ δὲ ὠνομάσθαι ἐκ τοῦ τὰς περιστερὰς ἡδέως διατρίβειν ἐν αὐτῇ. πόα δὲ ἐστὶ σπιθαμιαία ἔχουσα τὸ ὕψος ἢ καὶ μεῖζον. πέταλα ἐντετμημένα, ὑπόλευκα, ἐκπεφυκότα ἐκ τοῦ καυλοῦ. μονόκλωνος ὡς ἐπὶ πολὺ καὶ μονόῤῥιζος εὑρίσκεται. δοκεῖ δὲ τὰ φύλλα σὺν ῥοδίνῳ ἢ στέατι χοιρείῳ νεαρῷ προστιθέμενα, ἀνωδυνίαν ὑστέρας ποιεῖν. στέλλει δὲ καὶ ἐρυσιπέλατα σὺν ὄξει καταπλασθεῖσα. καὶ σηπεδόνας ἐπέχει. καὶ τραύματα κολλᾷ. καὶ ἀπουλοῖ τὰ παλαιὰ σὺν μέλιτι.

## Περὶ περιστερεῶνος ὑπτίου. κεφ. ξϛ.

Περιστερεὼν ὕπτιος· οἱ δὲ, ἱερὰ βοτάνη· οἱ δὲ, περιστέριον· οἱ δὲ, χαμαίλυκον· οἱ δὲ, σιδηρῖτιν· οἱ δὲ, κουρῖτιν· οἱ δὲ, φερσεφόνιον· οἱ δὲ, δῖος ἠλακάτιον· οἱ δὲ, δίχρωμον· οἱ δὲ, καλλήσιον· οἱ δὲ, ἱππάρισον· οἱ δὲ, δημητριάς. αἰγύπτιοι πεμφθεμφθάμ. Πυθαγόρας ἐρισίσκηπτρον. ῥωμαῖοι γκινάλλις. ῥάβδους ἀφίησι πηχυαίους ἢ καὶ μείζονας, γωνιώδεις. περὶ ἃς τὰ φύλλα ἐκ διαστημάτων ἐοικότα δρυΐ, πολὺ στενώτερα καὶ ἐλάσσονα, ἐντετμημένα δὲ τὰ κύκλῳ ὑπόγλαυκα. ῥίζαν δὲ ὑπομήκη, λεπτήν. ἄνθη πορφυρᾶ, λεπτά. ταύτης τὰ φύλλα καὶ ἡ ῥίζα ποτιζόμενα μετ' οἴνου καὶ καταπλασσόμενα, ποιεῖ πρὸς ἑρπετά. πρὸς δὲ ἴκτερον τὰ φύλλα ὅσον < ὁλκὴν μετὰ λιβανωτοῦ τριωβόλου, σὺν οἴνου παλαιοῦ κοτύλῃ ἡμισείᾳ νῆστι, ἐφ' ἡμέρας μ' πινόμενα. οἰδήματά τε χρόνια ἢ φλεγμονὰς, καταπλασθεῖσα πραΰνει. ῥυπαρά τε ἕλκη καθαίρει. ἑψηθεῖσα δὲ ὅλη σὺν οἴνῳ, ἴσχει τὰ ἐν τῷ στόματι

περιρρήττει καὶ νομὰς τὰς ἐν στόματι ἀναγαργαριζομένη ἐφίστησι. ῥαινόμενόν τε ἐν συμποσίοις τὸ ἀπόβρεγμα, εὐδιαγωγοτέρους ἱστορεῖται ποιεῖν. δίδοται δὲ τριταΐζουσι περὶ τὸ γ' τοῦ γόνυ ἀπὸ τῆς γῆς σὺν τοῖς περικειμένοις φύλλοις. τεταρταΐζουσι δὲ τὸ τέταρτον. καλεῖται δὲ αὕτη ἱερὰ βοτάνη. διὰ τὸ εὔχρηστον ἐν τοῖς καθαρμοῖς εἶναι εἰς περιάμματα.

Περὶ ἀστραγάλου. κεφ. χλζ.

Ἀστράγαλος. οἱ δὲ, χαμαισύκη. οἱ δὲ ὄνυξ. οἱ δὲ, γατάλης. ῥωμαῖοι πίνουμ ζίβιουμ. ὁμοίως φίκουμ τέρραι. οἱ δὲ, γλαύδυλαν. οἱ δὲ, πούμ.. οἱ δ', νωναφιαμ. ἀστράγαλος θαμνίσκος ἐστὶ μικρὸς ἐπὶ γῆς. φύλλοις καὶ κλωνίοις ὅμοιος ἐρεβίνθῳ. ἄνθη πορφυρᾶ. μικρά. ῥίζα δὲ ὑπεστρογγύλη ὡς τῆς ῥαφάνου εὐμεγέθης. παραφυάδας ἔχουσα στερεὰς μελαίνας. σκληροτέρας ὡς κέρατα αὐτὰ ἐμπεπλεγμένας ἀλλήλαις. γευσαμένῳ στυπτικάς. φύεται δὲ ἐν εὐανέμοις καὶ συσκίοις καὶ χιονιζομένοις τόποις. πολλὴ δὲ ἐν μέμφιδι τῆς ἀρκαδίας. ἵστησι δὲ κοιλίαν ῥευματιζομένην ἐν οἴνῳ ποθεῖσα ἡ ῥίζα. κινεῖ τε οὖρα. ποιεῖ καὶ πρὸς παλαιὰ ἕλκη ξηρὰ ἐπιπασσομένη. καὶ αἷμα ἴσχει. κόπτεται δὲ δυσχερῶς διὰ τὸ στερεὸν αὐτῆς.

Περὶ ὑακίνθου. κεφ. χλη.

Ὑάκινθος. οἱ δ', ἐλωνιάς. οἱ δὲ, πορφυρανθές. ῥωμαῖοι βάκκινουμ. οἱ δὲ, οὐακίνουμ. φύλλα ἔχει ὅμοια βολβῷ. καυλὸν σπιθαμιαῖον. λεῖον. λεπτότερον τοῦ μικροῦ δακτύλου. χλωρόν. κόμην ἐπικεκαμμένην κυρτὴν ἄνθους πλήρη πορφυροειδοῦς. ῥίζαν καὶ αὐτὴν ἐμφερῆ βολβῷ. ἥτις σὺν οἴνῳ καταπλασθεῖσα λευκῷ ἐπὶ παίδων, ἀνήβους τηρεῖν πεπίστευται. ἵστησι δὲ καὶ κοιλίαν. καὶ οὖρα ἄγει ποθεῖσα. καὶ φαλαγγιοδήκτοις ὠφελεῖ. ὁ καρπὸς δὲ στυπτικώτερος ὤν, καὶ αὐτὸς θηλειακοῖς ἁρμόζει. ἴκτερόν τε ἀποκαθαίρει σὺν οἴνῳ πινόμενος.

Περὶ μήκωνος ῥοιάδος. κεφ. χλθ.

Μήκων ῥοιάς. οἱ δὲ, ὀξύτονον. ῥωμαῖοι παπαβεράλις. αἰγύπτιοι ναντί. ὠνόμασται δὲ διὰ τὸ ταχέως τὸ ἄνθος ἀποβάλλειν. φύεται ἐν ἀρούραις. ἐν κριθαῖς, ἔαρος. ὅτε καὶ συλλέγεται. ἔοικε δὲ τὰ φύλλα ὀριγάνῳ. ἢ εὐζώμῳ ἢ κιχωρίῳ ἢ θύμῳ ἐσχισμένα. μακρότερα δὲ καὶ τραχέα. καυλὸν δὲ ῥαβδοειδῆ. ὄρθιον τραχὺν ὡς πήχεος. ἄνθος φοινικοῦν. ἐνίοτε δὲ καὶ λευκὸν ὅμοιον τῷ τῆς ἀγρίας ἀνεμώνης. κεφαλὴ δὲ προμήκης. ἧττον μέντοι ἢ τῆς ἀνεμώνης. καρπὸς πυρρός. ῥίζα ἐπιμήκης. ὑπόλευκος δακτύλου ἔχουσα μικροῦ πάχος. πικρά. ταύτης τὰ κεφάλια πέντε ἢ ς' μετ' οἴνου κυάθων τριῶν ἑψήσας ὡς εἰς β' ἀγαγεῖν ἢ ἕνα, πότιζε οὓς ἂν βούλει ὑπνῶσαι. τοῦ δὲ σπέρματος ποθὲν ὅσον ὀξύβαφον σὺν μελικράτῳ, κοιλίαν ἠπίως μαλάσσει. μίσγνυται δὲ καὶ μελιτώμασι καὶ ξηρίοις πρὸς τὸ αὐτό. τὰ δὲ φύλλα σὺν ταῖς κωδείαις καταπλασθέντα φλεγμονὰς ἰᾶται. καὶ τὸ ἄντλημα δὲ αὐτῶν προσκλυσθὲν, ὑπνοποιόν ἐστι.

Περὶ μήκωνος ἡμέρου. κεφ. χμ.

Μήκων ἥμερος. οἱ δὲ, χαμαισύκην. οἱ δὲ, μήκων ῥοιάς. οἱ δὲ, ὀξύτονον. ῥωμαῖοι παπάβερ. αἰγύπτιοι ναντί. ἡ μέν τις ἐστὶν ἥμερος, ἣ κηπευτὴ ἧς τὸ σπέρμα ἀρτοποιεῖται εἰς τὴν ἐν ὑγείᾳ χρῆσιν. καὶ σὺν μέλιτι δὲ ἀντὶ σησάμου αὐτῇ χρῶνται. καλεῖται δὲ θυλακῖτις ἐπιμήκες ἔχουσα τὸ κεφάλιον. καὶ τὸ σπέρμα λευκόν. ἡ δέ τις ἀγρία. ἐγκαθημένην ἔχουσα τὴν κωδίαν. μέλαν σπέρμα. ὃ καὶ πιθῖτις ὀνομάζεται. ὑπ' ἐνίων δὲ ῥοιὰς καὶ αὕτη. διὰ τὸ ῥεῖν ἐξ αὐτῆς τὸν ὀπόν. τρίτη δὲ ἀγριωτέρα καὶ φαρμακωδεστέρα τε μακροτέρα τούτων. ἔχουσα τὴν κωδίαν ἐπιμήκη. κοινὴ δὲ αὐτῶν δύναμις ψυκτική. ὅθεν τὰ φύλλα τε καὶ κω-

δίαι

διὸ καὶ ἀφεψηθεῖσαι ἐν ὕδατι καὶ προσαντλούμεναι, ὑπνοποιοῦσι. πίνεται δὲ πρὸς ἀγρυπνίαν τὸ ἀφέψημα. καὶ εἰς τὰ καταπλάσματα δὲ λεῖαι αἱ κωδίαι μετὰ ἀλφίτων μιγνύμεναι, πρὸς φλεγμονὰς καὶ ἐρυσιπέλατα ἁρμόζουσι. δεῖ δὲ κόπτοντας αὐτὰς χλωρὰς ἀναπλάττειν εἰς τροχίσκους. καὶ ξηραίνοντας ἀποτίθεσθαι. καὶ οὕτω χρῆσθαι. καθ᾽ ἑαυτὰς ἢ ἑψηθεῖσαι αἱ κωδίαι ἐν ὕδατι μέχρις ἡμίσεως, εἶτα σὺν μέλιτι πάλιν ἑψηθεῖσαι, ἄχρις ἂν συστραφῇ τὸ ὑγρὸν, ποιοῦσι φάρμακον ἐκλεικτόν. ἀνώδυνον πρὸς βῆχας καὶ ῥευματισμοὺς ἀρτηρίας καὶ κοιλιακὰς διαθέσεις. ἐνεργέστερον δὲ γίνεται μιγνυμένου αὐτῷ ὑποκυστίδος χυλοῦ καὶ ἀκακίας. τὸ δὲ σπέρμα τῆς μελαίνης μήκωνος λεῖον σὺν οἴνῳ ποτίζεται πρὸς ῥεῦμα κοιλίας καὶ γυναικεῖον ῥοῦν. καταπλάσσεται δὲ ἐπὶ τῶν ἀγρυπνούντων μεθ᾽ ὕδατος κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων. ὁ δὲ ὀπὸς καὶ αὐτὸς ψύχων ἐπὶ πλέον καὶ παχύνων καὶ ξηραίνων. ληφθεὶς βραχὺς ὅσον ὄροβος, ἀνώδυνός ἐστι καὶ ὑπνοποιὸς καὶ πεπτικός. βοηθῶν βηξὶ καὶ κοιλιακαῖς διαθέσεσι. πλείων δὲ ποθεὶς βλάπτει. ποιῶν ληθαργικοὺς καὶ ἀναιρεῖ. ποιεῖ δὲ καὶ κεφαλαλγοῦσι σὺν ῥοδίνῳ ἐμβρεχόμενος. ὠταλγοῦσι δὲ σὺν ἀμυγδαλίνῳ καὶ κρόκῳ καὶ σμύρνῃ ἐγχεόμενος. ἐπὶ δὲ φλεγμοναῖς ὀφθαλμοῦ σὺν λεκύθῳ ὀπτῇ καὶ κρόκῳ. καὶ πρὸς ἐρυσιπέλατα δὲ καὶ τραύματα σὺν ὄξει. πρὸς δὲ ποδάγρας σὺν γάλακτι γυναικείῳ καὶ κρόκῳ. προστεθεὶς δὲ δακτύλῳ ἀντὶ βαλάνου ὕπνον ποιεῖ. κράτιστος δέ ἐστιν ὀπὸς ὁ πυκνὸς καὶ βαρύς. ἐν δὲ τῇ ὀσμῇ καρωτικός. πικρὸς ἐν τῇ γεύσει. εὐχερῶς διϊέμενος ὕδατι. λεῖος. λευκὸς οὐ τραχύς. οὔτε θρομβώδης. οὔτε συστρεφόμενος ἐν τῷ διηθεῖσθαι ὡς κηρός. ἔτι τε ἐν ἡλίῳ τεθεὶς, διαχεόμενος καὶ πρὸς λύχνον ἀναπτόμενος οὐ ζοφώδει φλογί. φυλάσσων τε μετὰ τὸ σβεσθῆναι τὴν ἐν τῇ ὀσμῇ δύναμιν. δολοῦσι δὲ αὐτὸν γλαύκιον μιγνύντες ἢ κόμμι. ἢ χυλὸν ἀγρίας θρίδακος. ἔστι δὲ ὁ μὲν ἐκ τοῦ γλαυκίου κροκίζων ἐν τῇ ἀνέσει. ὁ δὲ ἐκ τῆς θρίδακος ἐξίτηλος τὴν ὀσμὴν καὶ τραχύτερος. ὁ δὲ ἐκ τοῦ κόμμεως ἄτονος καὶ διαυγής. ἔνιοι δὲ εἰς τοσοῦτον ἀνοίας παραγίνονται, ὡς καὶ στέαρ παραμιγνύναι αὐτῷ. φώγνυται δὲ εἰς τὰ ὀφθαλμικὰ ἐπὶ ὀστράκου καινοῦ ἕως ἂν μαλακώτερος καὶ κιρρότερος φανῇ. Ἐρασίστρατος μέντοι διαγράφων φησὶν ἀποδοκιμάζειν αὐτοῦ τὴν χρῆσιν ἐπὶ τῶν ὠταλγικῶν καὶ ὀφθαλμιώντων. διὰ τὸ ἀμβλυωπῆ εἶναι καὶ καρωτικήν. ἀνδρέας δέ φησιν, ὅτι εἰ μὴ ἐδολοῦτο, ἐτυφλοῦντο ἂν οἱ ἐγχεόμενοι ὑπ᾽ αὐτοῦ. μνησίδημος δέ φησι μόνην αὐτοῦ χρῆσιν εἶναι τὴν κατὰ ὄσφρησιν εἰς ὕπνον ἁρμόζουσαν. ἄλλως δὲ ἐπιβλαβῆ τυγχάνειν. ἅπερ ἐστὶ ψευδῆ, ὑπὸ τῆς πείρας ἐλεγχόμενα. διὰ τὸ ἐπιμαρτυρεῖσθαι τοῖς ἔργοις τὴν ἐνέργειαν τοῦ φαρμάκου. οὐκ ἄτοπον δὲ ὑπογράψαι καὶ τὸν τρόπον ᾧ συλλέγουσι τὸν ὀπόν. ἔνιοι μὲν οὖν τὰς κωδίας μετὰ τῶν φύλλων κόπτοντες ἐκθλίβουσι διὰ πιεστῆρος. καὶ τρίβοντες ἐν θυίᾳ, ἀναπλάττουσι τροχίσκους. καλεῖται δὲ τὸ τοιοῦτον μηκώνιον ἀσθενέστερον τοῦ ὀποῦ. ὀπίζοντας δὲ δεῖ μετὰ τὸ τὰς δρόσους ἀποξηρανθῆναι, περιγράφειν μαχαιρίῳ τὸν ἀστερίσκον. ὡς μὴ εἰς τὰ ἐντὸς διαβαίνειν. καὶ ἐκ πλαγίων δὲ τῆς κωδίας ἐπιπολαίας ἐκτέμνειν ὀξύτητι πολλῇ. καὶ ἀποσταζὸν τὸ δάκρυον ἐπιλεγόμενον δακτύλῳ εἰς μύακα. καὶ πάλιν ἐπιπορεύεσθαι μετ᾽ οὐ πολύ. εὑρίσκεται γὰρ ἐπισυνεστώς. καὶ τῇ ἐπιούσῃ δὲ οὕτως εὑρίσκεται. δεῖ δὲ ἐν θυίᾳ παλαιᾷ τρίβειν καὶ ἀποτίθεσθαι ἀναπλάσσοντας. ἐν μέντοι

(τῷ τέμνειν ὀπίσω ἀναχωρεῖν δεῖ.

πρὸς τὸ μὴ ἀποψᾶσθαι τῷ ἱματίῳ τὸν ὀπόν.

Περὶ μήκωνος κερατίτιδος. κεφ. χμα.

Μήκων κερατῖτις· οἱ δέ, παράλιον· οἱ δέ, ἀγρίαν μήκωνα· οἱ δέ, θαλάσσιον· ῥωμαῖοι φάβουλουμ μαρίνουμ· ἄφροι σιμάλα. φύλλα ἔχει λευκά, δασέα, ὅμοια φλόμῳ, τὴν περισμένα τὴν περιφέρειαν ὥσπερ τὰ τῆς ἀγρίας μήκωνος. καὶ τὸν καυλὸν ὅμοιον. ἄνθος ὠχρόν. καρπὸν δὲ μικρόν, καμπύλον ὥσπερ κέρας, ὅμοιον τῷ τῆς τήλιδος. ὅθεν καὶ ἐπωνόμασται. σπέρμα δὲ μικρόν, μέλαν, ὅμοιον τῷ τῆς μήκωνος. ῥίζαν δὲ ἐπιπολῆς φυομένην, μέλαιναν, παχεῖαν. φύεται ἐν παραθαλασσίοις τόποις καὶ τραχέσι. δύναμιν δὲ ἔχει ἡ μὲν ῥίζα ἑψηθεῖσα ἄχρις ἡμίσους ἐν ὕδατι καὶ ποθεῖσα, ἰσχιάδας καὶ ἡπατικὰς διαθέσεις θεραπεύει. καὶ τοὺς παχέα ἢ ἀραχνώδη ἢ τραχέα οὐροῦντας ὠφελεῖ. τὸ δὲ σπέρμα πλῆθος ὀξυβάφου ποθὲν σὺν μελικράτῳ, κοιλίαν ἐπιεικῶς καθαίρει. τὰ δὲ φύλλα καὶ τὰ ἄνθη ἐσχάρας περιρρήττει καταπλασθέντα σὺν ἐλαίῳ. ἐγχριθέντα δὲ τὰ τῶν κτηνῶν ἄργεμα καὶ νεφέλια ἀποκαθαίρει. ἔνιοι δὲ ἐπλανήθησαν νομίσαντες ἐκ ταύτης τὸ γλαύκιον γίνεσθαι διὰ τὴν τῶν φύλλων ἐμφέρειαν. Ἐν ἄλλῳ. ἐν δὲ τῷ βρωθῆναι ἢ ποθῆναι ταύτην τὴν κερατῖτιν μήκωνα, ἐπιφέρονται ὅσα καὶ τῷ ὀπῷ τῆς μήκωνος συμπτώματα. καὶ τοῖς αὐτοῖς ὑποπίπτει βοηθήμασι. συνάγεται δὲ ὁ καρπὸς ἐν θέρει ξηρός. τὸ δὲ ἀφέψημα τῆς ῥίζης πίνεται μετὰ οἴνου. καὶ θεραπεύει δυσεντερίας.

Περὶ μήκωνος ἀφρώδους. κεφ. χμβ.

Μήκων ἀφρώδης· ὑπὸ δέ τινων ἡράκλεια καλεῖται, καυλὸν ἔχει σπιθαμιαῖον. καὶ τὰ φύλλα σφόδρα μικρά, στρουθίῳ ἐοικότα. καὶ καρπὸν παρ' αὐτοῖς λευκόν. καὶ τὸ ὅλον δὲ βοτάνιον λευκόν ἐστι καὶ ἀφρῶδες. ῥίζαν δὲ λεπτὴν ἐπὶ πλέον. ταύτης ὁ καρπὸς συλλέγεται ὅταν τελέως ἁδρυνθῇ θέρους. καὶ ξηρανθεὶς ἀποτίθεται. καθαίρει δὲ δι' ἐμέτων ὀξυβάφου πλῆθος σὺν μελικράτῳ λαμβανόμενος. ἰδίως δὲ ἡ τοιαύτη κάθαρσις ἐπιληπτικοῖς ἁρμόζει.

Περὶ ὑπηκόου. κεφ. χμγ.

Ὑπήκοον· οἱ δέ, ὑπόφεων καλοῦσι. φύεται δὲ ἐν τοῖς σίτοις καὶ ταῖς ἀρούραις. φύλλον δὲ ἔχει πηγάνῳ ὅμοιον. κλωνίας μικρούς. δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ τῆς μήκωνος ὀπῷ.

Περὶ ὑοσκυάμου. κεφ. χμδ.

Ὑοσκύαμος· οἱ δέ, διοσκύαμος· οἱ δέ, πυθώνιον· οἱ δέ, ἀδάμαντα· οἱ δέ, ἀδύμενον· οἱ δέ, ὑπνωτικόν· οἱ δέ, ἐμμανές· οἱ δέ, ἄτομον· οἱ δέ, δισάμβριον. Πυθαγόρας· προφῆται, ἐσθένης ξελέων. Ζωροάστρης, τυφώνιον· ῥωμαῖοι, ἰνσάνα, δεντάρια· οἱ δέ, ἀπολιναῖρις. προφῆται, ῥάπωντική. αἰγύπτιοι, σαφθώ. θοῦσκοι, φαβουλώνιαμ. γάλλοι, βιλινουντίαν. δακοί, διέλφαν. θάμνος ἐστὶ καυλοὺς ἀνιεὶς παχεῖς. φύλλα πλατέα ἐπιμήκη, ἐσχισμένα, μέλανα, δασέα. παρὰ δὲ τὸν καυλὸν ἐφεξῆς πεφύκασιν ἄνθη ὥσπερ ῥοιᾶς κύτινοι, πεφραγμένοι ἀσπιδίσκοις, σπέρματος μεστοῖς ὥσπερ μήκωνος. ἔστι δὲ αὐτοῦ διαφορὰ τρισσή. ὁ μὲν γὰρ ἄνθη ὑπόρφυρα φέρει. φύλλα σμίλακι ὅμοια. σπέρμα μέλαν. καὶ τοὺς κοτίνους σκληροὺς καὶ ἀκανθώδεις. ὁ δέ τις ἄνθη μηλοειδῆ. φύλλα καὶ λοβοὺς ἁπαλώτερα. σπέρμα ὑπόξανθον ὥσπερ ἐρύσιμον. ἀμφότεροι δὲ οὗτοι μανιώδεις ὑπάρχουσι καὶ καρωτικοί. δύσχρηστοι. εὔχρηστος δὲ εἰς θεραπείαν ἡπιώτατος ὢν ὁ τρίτος. λιπαρὸς καὶ ἁπαλὸς καὶ χνοώδης. ἄνθη λευκὰ ἔχων. καὶ τὸ σπέρμα λευκόν.

κόν. φύεται περὶ θάλατταν καὶ ἐρείπια. εἰ δὲ μὴ παρείη οὗτος, χρηστέον δεῖ τῷ ξανθῷ· τὸν δὲ μέλανα ἀποδοκιμάζειν ὡς χείριστον. χυλίζεται δὲ ὁ καρπὸς ἁπαλὸς καὶ τὰ φύλλα καὶ οἱ καυλοὶ κοπτόμενοι καὶ ἐκθλιβόμενοι ἐν ἡλίῳ, ξηραινομένου τοῦ ὑγροῦ. χρῆσις δὲ αὐτοῦ πρὸς ἐνιαυτὸν διὰ τὸ ἄσηπτον. χυλίζεται δὲ καὶ τὸ σπέρμα αὐτοῦ κατ' ἰδίαν κοπτόμενον ξηρόν, ὑφ' ὕδατος θερμοῦ παραθλιβόμενον καὶ ἐκθλιβόμενον. ἔστι δὲ βέλτιον τοῦ ὀποῦ τὸ χύλισμα, καὶ ἀνωδυνώτερον. ἡ δὲ χλωρὰ κοπεῖσα καὶ μιγεῖσα σιτανίῳ ἀλεύρῳ, ἀναπλάσσεται εἰς ἀρτίσκους καὶ ἀποτίθεται. ἁρμόζει δὲ τὸ πρῶτον χύλισμα, καὶ τὸ ἀπὸ ξηροῦ τοῦ σπέρματος εἰς κολλύρια ἀνώδυνα. καὶ πρὸς ῥεύματα δριμέα καὶ θερμά, ὠταλγίας τε καὶ τὰ περὶ ὑστέραν. σὺν ἀλεύροις δὲ ἢ ἀλφίτοις, πρός τε ὀφθαλμῶν φλεγμονὰς καὶ ποδῶν καὶ τὰς ἄλλας. τὸ δὲ σπέρμα τὰ αὐτὰ παρέχει. ποιεῖ καὶ πρὸς βῆχας καὶ κατάρρουν καὶ ῥεῦμα ὀφθαλμῶν καὶ περιωδυνίας. πρός τε ῥοῦν γυναικεῖον καὶ τὰς ἄλλας αἱμορραγίας. ὅσον ὀβολὸς σὺν μήκωνος σπέρματι καὶ μελικράτῳ ποθέν. ἁρμόζει καὶ πρὸς ποδάγρας, ὄρχεις πεφυσωμένους, μαστοὺς ἐν τοκετῷ ἐπαιρομένους, λεῖον μετ' οἴνου καταπλασσόμενον. καὶ εἰς τὰ ἄλλα ἀνώδυνα καταπλάσματα μίγνυται. ὠφέλιμα δὲ καὶ τὰ ἀναπεπλασμένα φύλλα, εἰς πάντα τὰ ἀνώδυνα σὺν χρείᾳ μισγόμενα ἀλφίτοις. καὶ καθ' ἑαυτὰ καταπλασσόμενα. τὰ δὲ πρόσφατα φύλλα καταπλασθέντα, ἀνωδυνώτατα πρὸς πάντα πόνον. τρία δὲ ἢ τέσσαρα ποθέντα σὺν οἴνῳ, ἠπιάλους πυρετοὺς θεραπεύει. ἑψηθέντα δὲ ὡς λάχανα καὶ βρωθέντα τρυβλίου πλῆθος, μετρίαν παρακοπὴν ἐργάζεται. φασὶ δὲ ὅτι ἐάν τις ἕλκος ἔχοντα ἐν κώλῳ ἐγκλύσῃ, τὸ αὐτὸ ἀπεργάζεται. ἡ δὲ ῥίζα μετ' ὄξους ἑψηθεῖσα, ὀδονταλγίας ἐστὶ διάκλυσμα.

## Περὶ ψυλλίου. χμέ.

Ψύλλιον. οἱ δὲ, κατάφυσις. οἱ δὲ, κυνοκεφάλιον. οἱ δὲ, κρυστάλλιον. οἱ δὲ, κυνόμυια. οἱ δὲ, ψύλλαφις. οἱ δὲ, σικελιωτικόν. οἱ δὲ σικελοὶ κονίδες. ῥωμαῖοι σιλβάκισμ. οἱ δὲ, ἕρβα πουλικάρις. ἄφροι οὐβροντζούμ. φύλλα ἔχει κορωνόποδι ὅμοιον, δασὺ καὶ μακρότερον. κλῶνας δὲ σπιθαμιαίους. καὶ τὸ ὅλον βοτάνιον χορτῶδες. ἄρχεται δὲ αὐτοῦ ἡ κόμη ἀπὸ μέσου τοῦ καυλοῦ. κεφάλια δὲ δύο ἢ τρία ἐπ' ἄκρου συνεστραμμένα. τὸ δὲ σπέρμα ψύλλοις ὅμοιον, μέλαν, σκληρόν. φύεται ἐν ἀρούραις καὶ χέρσοις. δύναμιν δὲ ἔχει μαλακτικήν, στυπτικήν, ψυκτικήν. ὠφελεῖ δὲ καταπλαττόμενον ἀρθρίτιδας, παρωτίδας, φύματα, οἰδήματα, σπάσματα, κεφαλαλγίαν, μετὰ ῥοδίνου ἢ ὄξους ἢ ὕδατος. ἐντεροκήλας τε τὰς τῶν παίδων καὶ ἐξομφάλους ὑπάγει καταπλασσόμενον σὺν ὄξει. δεῖ δὲ ὀξυβάφου πλῆθος λεάναντας βρέχειν ἐν δυσὶν ὕδατος κοτύλαις. καὶ ὅταν παγῇ τὸ ὕδωρ, ἐπιπλάττειν. ψύχει γὰρ ἱκανῶς καὶ εἰς ὕδωρ δὲ ζέον ἐπιτιθέμενον καταστέλλει τὴν θέρμην. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα. φασὶ δὲ ὅτι κομισθεῖσα ἐν οἴκῳ χλωρά, οὐκ ἐᾷ ψύλλας γεννᾶσθαι. κοπεῖσα δὲ μετὰ στέατος, τὰ ῥυπαρὰ καὶ κακοήθη τῶν ἑλκῶν ἀνακαθαίρει. ὁ δὲ χυλὸς μετὰ μέλιτος πρὸς ὦτα ῥευματιζόμενα ποιεῖ καὶ σκώληκας ἔχοντα.

## Περὶ στρύχνου. χμς'.

Στρύχνος κηπαῖος. οἱ δὲ, ἥμερον. ῥωμαῖοι στρούμουμ. οἱ δὲ κακουβαλούμ. αἰγύπτιοι ἀλλελῶ. γάλλοι σκουβελουμ. ἄφροι ἀστρισμουνίμ. στρύχνος ἐδώδιμος ἐστὶ θαμνίσκος.

οὐ μέγας. μασχάλας ἔχων πολλάς. φύλλα μέλανα, ὠκίμου μείζονα καὶ πλατύτερα. καρπὸν περιφερῆ, χλωρὸν, μέλας δὲ ἢ κιρρὸς γίνεται μετὰ τὸ πεπανθῆναι. ἀβλαβὴς δὲ ἡ βοτάνη πρὸς γεῦσιν. δύναμιν δὲ ἔχει ψυκτικήν. ὅθεν τὰ φύλλα καταπλασσόμενα, ἁρμόζει πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας μετὰ παιπάλης ἀλφίτου. καθ᾽ αὑτὰ δὲ ἐπιτιθέμενα, αἰγίλωπα θεραπεύει καὶ κεφαλαλγίας. στομάχῳ καυσουμένῳ βοηθεῖ. παρωτίδας δὲ διαφορεῖ σὺν ἅλατι λεῖα καταπλασσόμενα. καὶ ὁ χυλὸς δὲ αὐτοῦ ποιεῖ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας, σὺν ψιμμυθίῳ καὶ ῥοδίνῳ καὶ λιθαργύρῳ. πρὸς αἰγίλωπας δὲ σὺν ἄρτῳ ἁρμόζει. καὶ σειριῶσι παιδίοις σὺν ῥοδίνῳ ἐμβρεχόμενος. μίγνυται δὲ καὶ κολλυρίοις ἀντὶ ὕδατος ἢ ᾠοῦ τοῖς πρὸς ῥεύματα δριμέα εἰς τὰς ἐγχρίσεις. ὠφελεῖ καὶ ὠταλγίας ἐνσταγείς. ἴσχει δὲ καὶ ῥοῦν γυναικεῖον ἐν ἐρίῳ προστιθείς. ὁ δὲ χυλὸς ἀναγκαῖος ἐστὶ πρὸς αἰγίλωπας, συμμαλασσόμενος ἀφόδῳ πυρᾶ ὀρνίθων κατοικιδίων ἐν ῥάκει ἐπιτιθέμενος.

## Περὶ στρύχνου ἁλικακάβου.

Ἔστι καὶ ἕτερον στρύχνον, ὃ ἰδίως ἁλικάκαβον καλοῦσιν. οἱ δὲ φυσαλίδα. φύλλοις ὅμοιον τῷ προειρημένῳ, πλατυτέροις μέντοι. οἱ καυλοὶ δὲ αὐτοῦ μετὰ τὸ αὐξηθῆναι χαμαικλινεῖς γίνονται. καρπὸν δὲ ἔχει ἐν θυλακίοις περιφερέσιν ὅμοιον φύσαις, πυρρόν, περιφερῆ, λεῖον, ὡς ῥᾶγας σταφυλῆς. ᾧ καὶ οἱ στεφανοπλόκοι χρῶνται καταπλέκοντες τοὺς στεφάνους. δύναμιν δὲ ἔχει καὶ χρῆσιν, τὴν αὐτὴν τῷ κηπαίῳ στρύχνῳ, χωρὶς τοῦ βιβρώσκεσθαι. δύναται δὲ ὁ καρπὸς αὐτοῦ πινόμενος, ἴκτερον ἀποκαθαίρειν, οὐρητικὸς ὤν. χυλίζεται δὲ ἀμφοτέρων ἡ πόα. καὶ ξηραίνεται ἐν σκιᾷ πρὸς ἀπόθεσιν. ποιεῖ δὲ πρὸς τὰ αὐτά.

## Περὶ στρύχνου ὑπνωτικοῦ.

Στρύχνον ὑπνωτικόν. οἱ δὲ, ἁλικάκαβον. οἱ δὲ, δόρκιον. οἱ δὲ, στρύχνον μανικόν. οἱ δὲ, δορύκνιον. οἱ δὲ, καλλιάδα. ῥωμαῖοι ἀπολινάρις μίνορ. οἱ δὲ, ἐρβαλτικάνα. οἱ δὲ, ὀψάγιεμ δαν. οἱ κυκλωλίδα. ἀφροκάκαβον. θάμνος ἐστὶ κλάδους ἔχων πολλοὺς, πυκνούς, στελεχώδεις, δυσθραύστους, φύλλων πλήρεις λιπαρῶν, ἐμφερῶν μηλοκυδωνίῳ. ἄνθος ἐρυθρόν, εὐμέγεθες. καρπὸν ἐν λοβοῖς κροκίζοντα. ῥίζαν φλοιὸν ἔχουσαν ὑπέρυθρον, εὐμεγέθη. φύεται ἐν πετρώδεσιν οὐ πόρρω θαλάσσης. ταύτης ὁ φλοιὸς τῆς ῥίζης ἐν οἴνῳ ποθεὶς < ὁλκῆ ὑπνωτικὴν ἔχει δύναμιν τοῦ ὀποῦ τῆς μήκωνος ἐπιεικεστέραν. ὁ δὲ καρπὸς οὐρητικός ἐστιν ἄγαν. δίδονται δὲ ὑδρωπικοῖς κόρυμβοι ὡς ιβ΄. πλείονες δὲ ποθέντες ἔκστασιν ἐργάζονται. βοηθοῦνται δὲ μελικράτῳ πολλῷ πινομένῳ. μίγνυται δὲ ἀνωδύνοις ὁ χυλὸς αὐτῆς καὶ τροχίσκοις. ἐναφεψηθεὶς δὲ οἴνῳ καὶ διακρατούμενος ὀδονταλγίαις ἀρήγει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἀμβλυωπίας μετὰ μέλιτος ἐγχρισθεὶς περιαιρεῖται.

## Περὶ στρύχνου μανικοῦ.

Στρύχνον μανικόν. ὃ οἱ μὲν περσίον. οἱ δὲ, θρύον ἐκάλεσαν. οἱ δὲ, ἄνυδρον. οἱ δὲ, πεντάδρυον. οἱ δὲ ἔνορον. οἱ δὲ, ἐρθόγγιον. τούτου τὸ μὲν φύλλον παραπλήσιόν ἐστιν εὐζώμῳ, μεῖζον δὲ πρὸς τὸ τῆς ἀκάνθης, ἥτις καὶ παιδέρως καλεῖται. καυλοὺς δὲ ἀνίησιν ἀπὸ τῆς ῥίζης ὑπερφυεῖς δέκα ἢ ιβ΄ ὀργυιὰς ἔχοντας ὕψος. τὴν κεφαλὴν ἐπικειμένην ὥσπερ ἐλαίαν, δασυτέραν δὲ ὡς πλατάνου σφαῖραν. μείζονα δὲ καὶ πλατυτέραν. ἄνθος μέλαν. μετὰ δὲ τοῦτο καρπὸν ἴσχει βοτρυώδη, στρογγύλον, μέλανα. ῥαγάδας ι ἢ ιβ΄ ὁμοίας κισσοκορύμβοις, μαλακὰς ὥσπερ σταφυλή. ῥίζα δὲ ὕπεστι λευκή, παχεῖα, κοίλη, ὡς πηχυαία.

Φύεται

φύεται ἐν ὀρεινοῖς χωρίοις καὶ προσηνέμοις καὶ πλατάμωσι καὶ πλατανώδεσι. δύναμιν δ' ἔχει ἡ ῥίζα ποθεῖσα μετ' οἴνου < α' πλῆθος, φαντασίας ἀποτελεῖν οὐκ ἀηδεῖς. δύο δὲ < ποθεῖσαι, ἐξιστάνουσιν ἄχρι τριῶν ἡμερῶν. δ' δὲ ποθεῖσαι, καὶ ἀναιροῦσιν. ἀντιφάρμακον δ' ἐστὶν αὐτοῦ μελίκρατον πολὺ πινόμενον καὶ ἐξεμούμενον.

Περὶ δορυκνίου.

Δορύκνιον. κρατεύας ἁλικάκαβον ἢ καλέαν καλεῖ. θάμνος ὅμοιος ἐλαίᾳ ἄρτι φυείσῃ. κλῶνας ἔχων ἐλάσσονας πήχεως. φύεται ἐν πέτραις οὐ πόρρω θαλάσσης. φύλλα δὲ τῷ χρώματι ἐλαίᾳ παραπλήσια, μικρότερα δὲ καὶ στερεώτερα, καὶ τραχέα ἰσχυρῶς. ἄνθος λευκόν. ἐπ' ἄκρου, ἔχει λοβία καὶ πυκνὰ θυλάκια ὥσπερ ἐρεβίνθου. ἐν οἷς σπερμάτια στρογγύλα ἕως ε'. ὅσον ὄροβοι μικροί, λεῖα, ἰσχυρὰ καὶ ποικίλα. ῥίζαν πάχος δακτύλου. μῆκος δὲ πήχεος. δοκεῖ δὲ καὶ τοῦτο ὑπνωτικὸν εἶναι. πλεονασθὲν δὲ ἀναιρεῖν. φασὶ δέ τινες τὸ σπέρμα αὐτοῦ εἰς τὰ φίλτρα παραλαμβάνεσθαι.

Περὶ μανδραγόρου.

Μανδραγόρας. οἱ δὲ, κίρκαιον. οἱ δὲ, ξηράνθη. οἱ δὲ, ἀντίμηνιον. οἱ δὲ, ἀντίμιον. οἱ δὲ, βομβόχυλον. οἱ δὲ, μῆνον. αἰγύπτιοι ἀπεμούμ. πυθαγόρας ἀνθρωπόμορφον. οἱ δὲ, ἀλόιτιν. οἱ δὲ, θριδακίαν. ὁ δὲ, καμμάρον. ζωροάστρις διαμόνιον ἢ ἀρχήνην. προφῆται αἷμα ἡμιόνους. οἱ δὲ, γονογεῶνας. ῥωμαῖοι μάλα κανῖνα. οἱ δὲ, μάλα τερρέστρια. οἱ δὲ, ἀντίμηλον. οἱ δὲ διρκαίαν. οἱ δὲ, κιρκαίαν καλοῦσιν. ἐπειδὴ δοκεῖ ἡ ῥίζα φίλτρων εἶναι ποιητική. ἔστι δ' αὐτοῦ ὁ μέν τις θῆλυς ὁ μέλας θριδακίας καλούμενος. φύλλα ἔχων στενώτερα καὶ μικρότερα θρίδακος. βρωμώδη καὶ βρία κατὰ τὴν ὀσμήν. κεχυμένα δ' ἐπὶ γῆς. καὶ παρ' αὐτὰ μῆλα λακκυθοῖς ὅμοια ὠχρὰ εὐώδη. ἐν οἷς καρπὸς ὥσπερ ἀπίου. ῥίζαι εὐμεγέθεις δύο ἢ τρεῖς. ἀντεμπεπλεγμέναι ἀλλήλαις. μέλαιναι κατὰ τὴν ἐπιφάνειαν. ἔνδοθεν λευκαὶ καὶ παχύφλοιοι. καυλὸν δὲ οὐ φέρει. τοῦ δὲ ἄρρενος καὶ λευκοῦ ὃν ἔνιοι νώριον ἐκάλεσαν, φύλλα λευκὰ μεγάλα. λευκὰ. πλατέα. λεῖα καθάπερ τεύτλου. τὰ δὲ μῆλα διπλάσια κροκίζοντα τῇ χροιᾷ. εὐώδη μετὰ βάρους τινός. ἃ καὶ ἐσθίοντες οἱ ποιμένες ποσῶς ὑποκαροῦνται. ῥίζα δὲ ὁμοία τῇ πρὸ αὐτοῦ. μείζων δὲ καὶ λευκοτέρα. ἄκαυλος δὲ καὶ αὐτή. χυλίζεται δὲ ὁ φλοιὸς τῆς ῥίζης χλωρὸς κοπεὶς καὶ ὑποτεθεὶς πιεστῆρι. δεῖ δὲ ἡλιάσαντας μετὰ τὸ συστραφῆναι ἀποτίθεσθαι ἐν ὀστρακίνῳ ἀγγείῳ. χυλίζεται δὲ καὶ τὰ μῆλα ὁμοίως. ἀδρανέστερον δὲ γίνεται τὸ ἐξ αὐτῶν χύλισμα. ὁ φλοιὸς δὲ τῆς ῥίζης περιαιρεθεὶς καὶ διαβληθεὶς λίνῳ, κρεμᾶται εἰς ἀπόθεσιν. ἔνιοι δὲ καθέψουσιν οἴνῳ τὰς ῥίζας ἄχρι τρίτου. καὶ διυλίσαντες ἀποτίθενται. χρώμενοι ἐπὶ τῶν ἀγρυπνούντων καὶ περιωδυνώντων κυάθῳ ἑνί. καὶ ἐφ' ὧν βούλονται ἀναισθησίαν τεμνομένων ἢ καιομένων ποιῆσαι. ὁ δὲ ὀποῦ πόσις ὀβολῶν δυοῖν πλῆθος ὁλκῆς σὺν μελικράτῳ, ἄγει ἄνω φλέγμα καὶ μέλαιναν χολὴν ὡς ἐλλέβορος. πλείων δὲ ποθεὶς ἐξάγει τοῦ ζῆν. μίσγεται καὶ εἰς τὰς ὀφθαλμικὰς καὶ ἀνωδύνους δυνάμεις. καὶ πεσσοὺς μαλακτικούς. καθ' ἑαυτὸν δὲ ὅσον ἡμιωβόλιον προστεθεὶς, ἔμμηνα καὶ ἔμβρυα ἄγει. δακτυλίῳ τε ἀντὶ βαλάνου ἐντεθεὶς ὕπνον ποιεῖ. μαλάσσειν δὲ καὶ ἐλέφαντα λέγεται ἡ ῥίζα συνεψομένη αὐτῷ ἐπὶ ὥρας ς'. καὶ εὔπλαστον αὐτὸν εἰς ὃ ἄν τις βουληθῇ σχῆμα παρασκευάζει. τὰ δὲ φύλλα πρόσφατα ἁρμόζει πρὸς τὰς ὀφθαλμῶν φλεγμονάς. καὶ τὰς ἐπὶ τῶν ἑλκῶν μετὰ ἀλφίτου καταπλασσόμενα. διαφορεῖ δὲ καὶ πᾶσαν σκληρίαν καὶ ἀποστήματα. χοιράδας. φύμα-

τα· περιχριόμενα ἀπ' ἡσυχῇ ἐπὶ ἡμέρας ε' ἢ ς', σίγματα τὰ ἐπὶ λευκῶν ἀφανίζει. ταριχευθέντα δὲ τὰ φύλλα, ἀποτίθεται πρὸς τὰς αὐτὰς χρείας. ἡ δὲ ῥίζα σὺν ὄξει λεία, ἐρυσιπέλατα ἰᾶται. πρὸς δὲ ἑρπετῶν πληγάς, σὺν μέλιτι ἢ ἐλαίῳ. σὺν ὕδατι δὲ χοιράδας καὶ φύματα διαχεῖ. ἄρθρων τε πόνους πραΰνει μετὰ ἀλφίτων. σκευάζεται δὲ καὶ δίχα ἑψήσεως οἶνος ἐκ τοῦ φλοιοῦ τῆς ῥίζης. δεῖ δὲ ἐμβαλεῖν μνᾶς γ' εἰς μετρητὴν οἴνου γλυκέος. δίδοται δὲ αὐτοῦ κύαθοι γ' τοῖς μέλλουσι τέμνεσθαι ἢ καίεσθαι ὡς προείρηται. οὐ γὰρ ἀντιλαμβάνονται τοῦ ἀλγήματος διὰ τὸ καταφέρεσθαι. τὰ δὲ μῆλα ὀσφραινόμενα καὶ ἐσθιόμενα καρωτικά. καὶ ὁ ἐξ αὐτῶν χυλός. πλεονασθέντα δὲ καὶ ἀφώνους ποιεῖ. τὸ δὲ σπέρμα τῶν μήλων ποθὲν, ὑστέραν καθαίρει. προστεθὲν δὲ μετὰ θείου ἀπύρου, ῥοῦν ἵστησιν ἐρυθρόν. ὀπίζεται δὲ περιχαραττομένης τῆς ῥίζης πολυειδῶς. καὶ τοῦ συρρέοντος εἰς τὴν κοιλότητα συλλεγομένου. ἔστι δὲ ἐνεργέστερος τοῦ ὀποῦ ὁ χυλός. ὀπὸν δὲ οὐ πανταχοῦ φέρουσιν αἱ ῥίζαι. ὑποδείκνυσι δὲ τὸ τοιοῦτον ἡ πεῖρα. ἱστοροῦσι δὲ καὶ ἑτέραν μόριον λεγομένην. φυομένην ἐν παλισκίοις καὶ περὶ τὰ ἄντρα. φύλλα ἔχουσαν ὅμοια τῷ λευκῷ μανδραγόρᾳ. μικρότερα δὲ ὡς σπιθαμιαῖα. λευκά. κύκλῳ περὶ τὴν ῥίζαν οὖσαν ἁπαλὴν καὶ λευκήν. μικρῷ μείζονα σπιθαμῆς. πάχος δακτύλου μεγάλου. ταύτην φασὶ ποθεῖσαν ὅσον < α' ἢ μετὰ ἀλφίτων ἐσθιομένην ἐν μάζῃ ἢ ὄψῳ, ἀπομωροῦν. καθεύδει γὰρ ὁ ἄνθρωπος ἐν ᾧ περ ἂν φθάσῃ σχήματι, αἰσθανόμενος οὐδενὸς ἐπὶ ὥρας γ' ἢ δ' ἀφ' οὗ περ ἂν προσενέγκηται. χρῶνται δὲ καὶ ταύτῃ οἱ ἰατροὶ ὅταν τέμνειν ἢ καίειν μέλλωσι. φασὶ δὲ καὶ ἀντίδοτον εἶναι τὴν ῥίζαν ποθεῖσαν μετὰ στρύχνου τοῦ καλουμένου μανικοῦ.

## Περὶ ἀκονίτου.

Ἀκόνιτον. οἱ δὲ, παρδαλιαγχές. οἱ δὲ, κάμμορον. οἱ δὲ, θηλύφονον. οἱ δὲ, μυοκτόνον. οἱ δὲ, θηροφόνον. φύλλα ἔχει γ' ἢ δ' ἢ τέσσαρα. ὅμοια κυκλαμίνῳ ἢ σικύῳ. μικρότερα δὲ καὶ ὑποτραχέα. καυλὸς δὲ σπιθαμιαῖος. ῥίζα ὁμοία σκορπίου οὐρᾷ. στίλβουσα ἀλαβαστροειδῶς. ταύτην τὴν ῥίζαν φασὶ προσαχθεῖσαν σκορπίῳ, παραλύειν αὐτόν. διεγείρεσθαι δὲ πάλιν ἐλλεβόρου προστεθέντος. μίσγονται δὲ καὶ ὀφθαλμικαῖς ἀνωδύνοις δυνάμεσι. κτείνει δὲ καὶ παρδάλεις καὶ σῦς καὶ λύκους καὶ πᾶν θηρίον κρέασιν ἐντιθέμενον καὶ παραβαλλόμενον.

## Περὶ ἑτέρου ἀκονίτου.

Ἀκόνιτον ἕτερον ὃ ἔνιοι κυνοκτόνον. οἱ δὲ λυκοκτόνον καλοῦσι. οἱ δὲ, κύαμον λευκόν. ῥωμαῖοι κολομέστρουμ. τούτου γένη ἐστὶ τρία. ᾧ μὲν ὦ οἱ κυνοθῆραι χρῶνται. τοῖς δὲ δυσὶν οἱ ἰατροί. ὧν τὸ τρίτον λεγόμενον ποντικόν, γεννᾶται μὲν πλεῖστον ἐν ἰταλίᾳ, ἐν τοῖς καλουμένοις ἰουστίνοις ὄρεσι διαφέρον τοῦ προτέρου. φύλλα δὲ ἔχει ὅμοια τοῖς τοῦ πλατάνου. μᾶλλον δὲ ἐπεσχισμένα καὶ μακρότερα. πολλῷ δὲ μελάντερα. καυλὸν δὲ καθάπερ πτέρεως. μόσχον ψιλόν. ὕψος πήχεως, ἢ καὶ μείζονα. καρπὸν δὲ ἐν λοβοῖς ἐπιμήκεσι ποσῶς. ῥίζας ὥσπερ πλεκτάνας καρίδων μελαίνας. αἷς χρῶνται πρὸς τὰς τῶν λύκων θήρας. ἐντιθέντες κρέασιν ὠμοῖς. βρωθέντα γὰρ ὑπὸ τῶν λύκων, ἀναιροῦσιν αὐτούς.

## Περὶ κωνείου.

Κώνειον. οἱ δὲ, αἴγωνος. οἱ δὲ ἄθουσα. οἱ δὲ ἀπολήγουσα. οἱ δὲ δολία. οἱ δὲ ἀμαύρωσις. οἱ δὲ παράλυσις. οἱ δὲ ἄφρων. οἱ δὲ κρηνίδιον. οἱ δὲ, κοίτην. οἱ δὲ, καπεχομήριον. οἱ δὲ, ἀβίωτον. οἱ δὲ, ἀψευδής. οἱ δὲ, ἀγκόμωρον. οἱ δὲ, τιμωρόν. οἱ δὲ πολυάνθρωπος. οἱ δὲ, δαρδανίς. οἱ δὲ, καταψυξις. ὀθόννης. βαβάθου. αἰγύπτιοι ἀπεμφίν. ῥωμαῖοι κικούτα. μέγα καυλὸν ἀνίησι γονατώδη ὡς μάραθρον.

ῥάβδον. μέγαν. φύλλα ἢ νάρθηκι ἐμφερῆ. στενώτερα δὲ καὶ βαρύοσμα. ἐπ᾽ ἄκρων δὲ ἀποφύσεις καὶ σκιάδια, ἄνθος ὑπόλευκον. σπέρμα ἐμφερὲς ἀνίσῳ. λευκότερον. ῥίζα κοίλη καὶ οὐ βαθεῖα. ἔστι δὲ καὶ αὐτὸ τῶν φθαρτικῶν, κατὰ ψύξιν ἀναιροῦν. βοηθεῖ ται δὲ ἄκρατος. χυλίζονται δὲ τὰ ἄκρα πρὸ τοῦ ξηρανθῆναι τὸ σπέρμα ἢ κόμη, καὶ ἐκθλίβεται κοπτομένη. καὶ συστρέφεται ἐν ἡλίῳ. ἔστι δὲ πολύχρηστος εἰς τὴν ἰατρικὴν χρῆσιν ξηρανθὲν, μισγόμενον ἐπιτηδείως τοῖς ἀνωδύνοις κολλυρίοις τὸ χύλισμα. ἕρπητάς τε καὶ ἐρυσιπέλατα καταπλασθὲν σβέννυσιν. ἡ δὲ πόα καὶ ἡ κόμη λεῖα καταπλαττομένη τῶν διδύμων, οἰδοῦσι βοηθεῖ. περίχρισι δὲ καὶ αἰδοῖα καταπλασθέντα. τὸ γάλα σβέννυσι. μαστούς τε ἐν παρθενίᾳ κωλύει αὔξεσθαι. καὶ διδύμους ἀτρόφους ποιεῖ ἐπὶ παίδων. εὐφορώτατον δέ ἐστι τὸ κρητικὸν καὶ μεγαρικὸν καὶ τὸ ἀττικόν. τὸ ἐν τῇ χίῳ καὶ κιλικίᾳ γινόμενον.

## Περὶ σμίλακος.

Σμῖλαξ· οἱ δὲ, θύμαλον. ῥωμαῖοι δὲ τάξον καλοῦσι. δένδρον ἐστὶ παραπλήσιον ἐλάτῃ τοῖς φύλλοις καὶ μεγέθει. ἐν ἰταλίᾳ καὶ ἐν ναρβωνίᾳ τῇ κατὰ τὴν ἱσπανίαν φυόμενον. τοῦ δὲ ἐν ἰταλίᾳ γινομένου τὸν καρπὸν τὰ ὀρνίθια ἐσθίοντα, μελαίνεται. οἱ δὲ προσγευσάμενοι, διαρροίαις περιπίπτουσι. τὸ δὲ ἐν τῇ ναρβωνίᾳ, τοσαύτης δυνάμεως μετέχει, ὡς καὶ ἐκ τῆς σκιᾶς τοὺς ὑποκαθίσαντας ἢ κοιμηθέντας βλάπτεσθαι. πολλάκις δὲ καὶ θνήσκειν. ἱστορεῖται δὲ περὶ αὐτῆς χάριν τοῦ προφυλάττεσθαι.

## Περὶ ἀποκύνου.

Ἀπόκυνον· οἱ δὲ, κυνάγχη. οἱ δὲ, παρδαλιαγχές. οἱ δὲ κυνόμορον. οἱ δὲ κυνοκράμβη. οἱ δὲ, κυνόκτονον. οἱ δὲ, φάλεως. οἱ δὲ, κυνάγχη. οἱ δὲ, ἐλίγφρος. οἱ δὲ, ἱππομανές. οἱ δὲ, ὄνιστις. οἱ δὲ, ἐφιοσκόρδον. οἱ δὲ, κυναρική. οἱ δὲ, ἐλαφοσκόρδον. προφῆται παράλυσις. ῥωμαῖοι βράσικα ῥούστικα. οἱ δὲ, κανίνα. θάμνος ἐστὶ ῥάβδους ἔχων μικράς. λυγώδεις. δυσώδεις. δυσθραύστους. φύλλα κισσῷ ὅμοια. μαλακώτερα δὲ καὶ ὀξύτερα κατ᾽ ἄκρον. βαρύοσμα. ὑπόγλισχρα. ὀποῦ μεστὰ μηλίνου. καρπὸς δὲ ὥσπερ λοβὸς κυάμων περὶ δακτύλου τὸ μῆκος. θυλακώδης. ἐφ᾽ ὧν σπέρματα λεπτά. σκληρά. σμικρά. μέλανα. τούτου τὰ φύλλα σὺν στέατι ἀρτοποιηθέντα ἢ παραβληθέντα, κτείνει κύνας. λύκους. ἀλώπεκας. παρδάλεις. παραχρῆμα δὲ παραλύει αὐτῶν τὰ ἰσχία.

## Περὶ νηρίου.

Νήριον· οἱ δὲ, ῥοδοδάφνη. οἱ δὲ, ῥοδόδενδρον. οἱ δὲ, σπόγγος. οἱ δὲ, αἱμοστατεῖς. ῥωμαῖοι ῥοδόδενδρουμ. λίβυκαοι ἰκμανή. αἰγύπτιοι σκινφή. ἄφροι ῥοδοδάφνη. θάμνος ἐστὶ γνώριμος. ἀμυγδαλῆς μακρότερα καὶ παχύτερα ἔχων φύλλα. τὸ δὲ ἄνθος ῥοδοειδές. καρπὸν δὲ ἐμφερῆ ἀμυγδάλῳ. ὡς κέρατι ἀνεῳγμένον. πλήρη ἐριώδους φύσεως. ὅμοιον τοῖς ὑακίνθοις παπποῖς. ῥίζα δὲ ἀπόξυς καὶ μακρά. ξυλώδης. γευσαμένῳ ἁλμυρά. φύεται ἐν παραδείσοις καὶ παραθαλασσίοις τόποις καὶ ποταμοῖς. δύναμιν δὲ ἔχει τὸ ἄνθος καὶ τὰ φύλλα, κυνῶν μὲν καὶ ὄνων καὶ ἡμιόνων καὶ τῶν πλείστων τετραπόδων ζώων φθαρτικήν. ἀνθρώπων δὲ σωστικὴν σὺν οἴνῳ πινόμενα πρὸς δήγματα θηρίων. καὶ μᾶλλον ἐὰν πήγανον παραμίξῃς. τὰ δὲ ἀσθενέστερα τῶν ζώων ὡς αἶγες καὶ πρόβατα, ἐὰν τὸ ἀπόβρεγμα αὐτῶν πίῃ, ἀποθνήσκει.

## Περὶ μυκήτων.

Μυκήτων διαφορὰ διττή ἐστιν. ἢ γὰρ βρώσιμοι εἰσὶν ἢ φθαρτικοί. παρὰ πολλὰς δὲ αἰτίας γίνονται τοιοῦτοι. ἢ γὰρ ἥλοις κατιωμένοις, ἢ ῥάκεσι σεσηπόσιν, ἢ ἑρπετῶν φωλεοῖς παραφύονται.

ἢ δένδρεσιν ἰδίως βλαπτικοὺς φέρουσι τοὺς καρπούς. ἔχουσι δὲ καὶ γλοιῶδες οἱ τοιοῦτοι ἐπίπαγον. καταποθέντες δὲ μετὰ τὸ ἀφαιρεθῆναι, ταχέως διαφθείρουσι σηπόμενοι. οἱ δὲ μὴ τοιοῦτοι ζωμοποιοὶ ἡδεῖς. πλεονασθέντες μέντοι καὶ οὗτοι βλάπτουσι δυσπεπτούμενοι. πνίγοντες ἢ χολέρας ἐπάγοντες. βοηθοῦνται δὲ πάντες ποτιζόμενοι νίτρῳ ἢ κονίᾳ μετὰ ὀξάλμης. ἢ θύμβρας ἀποζέματι. ἢ ὀριγάνῳ. ἢ ὀρνιθείῳ κόπρῳ μετ' ὄξους πινομένῃ. ἢ μέλιτι ἐκλειχομένῳ πολλῷ. τρόφιμοι δέ εἰσι καὶ δυσδιάλυτοι. ὅλως χωροῦσι δὲ ὡς ἐπὶ τὸ πολὺ σὺν τοῖς περιττώμασιν ἀποδιδόμενοι.

Περὶ κολχικοῦ.

Κολχικόν. οἱ δέ, ἐφήμερον. οἱ δέ, βολβὸν ἄγριον. ῥωμαῖοι βούλβους ἀγρέστις. λήγοντος τοῦ φθινοπώρου ἀνίησιν ἄνθος ὑπόλευκον. ὅμοιον κρόκου ἄνθει. ὕστερον δὲ τὰ φύλλα φέρει βολβῷ παραπλήσια. λιπαρώτερα. καυλὸν, σπιθαμιαῖον. καρπὸν ἔχοντα πυρρόν. ῥίζαν φλοιὸν ἔχουσαν ἐπίπυρρον ἐν τῷ μέλανι. ἥτις λεπιζομένη λευκὴ καὶ ἁπαλὴ καὶ ὀποῦ μεστὴ εὑρίσκεται καὶ γλυκεῖα. ἔχει δὲ ὁ βολβὸς διαφυὴν μέσην καθ' ἣν τὸ ἄνθος ἀνίησι. γεννᾶται δὲ πλεῖστον ἐν τῇ μεσσηνίᾳ καὶ κόλχοις. βρωθεῖσα δὲ κτείνει κατὰ πνιγμὸν ὁμοίως μύκησιν. ἀνέγραψα μὲν δὲ αὐτὴν ἵνα μὴ λάθῃ βρωθεῖσα ἀντὶ βολβοῦ. παραδόξως γάρ ἐστιν ἐπακτικὴ διὰ τὴν ἡδονὴν τοῖς ἀπείροις. βοηθεῖ δὲ τοῖς φαγοῦσιν ὅσα καὶ τοῖς μύκητας φαγοῦσι. καὶ γάλα βόειον πινόμενον. ὥστε ὅταν παρῇ τοῦτο, μηδενὸς ἄλλου δεῖσθαι βοηθήματος.

Περὶ ἐφημέρου.

Ἐφήμερον. οἱ δέ, ἶριν ἀγρίαν. φύλλα καὶ καυλὸν ὅμοια ἔχει κρίνῳ. λεπτότερα δέ. ἄνθη λευκά. πικρά. καρπὸν δὲ μαλακόν. ῥίζα δὲ ὑπὲρ δακτύλου πάχος μία. μακρά. στυπτική. εὐώδης. φύεται ἐν δρυμοῖς καὶ παλισκίοις. τούτου ἡ μὲν ῥίζα ὀδονταλγίας ἐστὶ φάρμακον διακλυζομένη. τὰ δὲ φύλλα ἐν οἴνῳ ἑψηθέντα καὶ καταπλασθέντα οἰδήματα καὶ φύματα διαφορεῖ μήπω ὑγρὸν ἔχοντα.

Περὶ ἑλξίνης.

Ἑλξίνη. οἱ δέ, ἑλεῖτιν. οἱ δέ, κανοχερσαίαν. οἱ δέ, ἀμιλξίνην. οἱ δέ, συνκόταχος. οἱ δέ, ψυχούλακος. οἱ δέ, κυτάμπελον. οἱ δέ, κισσόμεθον. οἱ δέ, ἀνατεταμένη. ῥωμαῖοι βουλουτιλάπερε. αἰγύπτιοι ἄπετω. οἱ δέ, παρθένιον. οἱ δέ, σιδηρῖτιν. οἱ δέ, ἡράκλειαν. οἱ δέ, ἀσυρίαν. οἱ δέ, ὑπὲρ τὴν ἀγρίαν. οἱ δέ, κλιβάδιον. οἱ δέ, πολυώνυμον καλοῦσι. φύεται ἐπὶ θριγκοῖς καὶ τοίχοις. κλωνία ἔχει λεπτά. ὑπέρυθρα. φύλλα ὅμοια λινοζώστει. δασέα. περὶ δὲ τοὺς καυλοὺς οἱονεὶ σπερμάτια τραχέα. ἀντιλαμβανόμενα τῶν ἱματίων. δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν. στυπτικήν. ὅθεν καταπλασσόμενα ἰᾶται ἐρυσιπέλατα. κονδυλώματα. κατακαύματα. φύγεθλα ἀρχόμενα. καὶ πᾶσαν φλεγμονὴν καὶ οἰδήματα. ὁ δὲ χυλὸς αὐτῆς μιγεὶς ψιμμυθίῳ, ἐρυσιπέλατα καὶ ἕρπητας ὠφελεῖ καταχριόμενος. καὶ ποδάγρας σὺν κηρωτῇ κυπρίᾳ ἀναληφθεὶς ἢ τραγείῳ στέατι ὠφελεῖ. καὶ βήττοντας χρονίως ὁ χυλὸς καταρροφούμενος ὅσον κύαθος. καὶ παρισθμίοις φλεγμαίνουσιν, ἀναγαργάρισμα καὶ διάχρισμα ὠφέλιμόν ἐστι. καὶ ὠταλγίαις σὺν ῥοδίνῳ ἐγχεόμενον ὠφελεῖ.

Περὶ ἀλσίνης.

Ἀλσίνη. οἱ δέ, ἀνθύλλιον. οἱ δέ, μυόρτοχον, οἱ δέ, μυρτόπαλιον. ῥωμαῖοι μούρις ἀορίκλα. ἄφροι λαβαθολαβάτ. οἱ δέ, μυὸς ὦτα. ἀπὸ τοῦ ἔχειν φύλλα ὅμοια μυὸς ὠτίοις. ἀλσίνη δέ, διὰ τὸ σκιεροὺς καὶ ἀλσώδεις φιλεῖν τόπους. ἔστιν ὁμοία ἑλξίνῃ. ταπεινοτέρα

δὲ καὶ

δὲ καὶ μακροφυλλοτέρα καὶ οὐ δασεῖα· διατριφθεῖσά τε, σικύου ὄζει. δύναμιν δὲ ἔχει ψυκτικὴν, στυπτικήν. ἁρμόζουσαν πρὸς φλεγμονὰς ὀφθαλμῶν, μετὰ ἀλφίτου καταπλασσομένη καὶ πρὸς ὤτων πόνον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος. καὶ καθόλου δύναται τὰ αὐτὰ τῇ ἑλξίνῃ.

### Περὶ φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων.

Φακὸς ὁ ἐπὶ τῶν τελμάτων. οἱ δὲ, φακὸς ἄγριος· οἱ δὲ, ἐπίπτερον. ῥωμαῖοι βιπεράλις. οἱ δὲ ἰκεοσμίγδον. εὑρίσκεται ἐπὶ τῶν στασίμων ὑδάτων. βρύον ὂν ὅμοιον φακῷ. ψύχων τῇ δυνάμει. πάσαις φλεγμοναῖς καὶ ἐρυσιπέλασι καὶ ποδάγραις ἁρμόζει καταπλασσόμενος. καθ᾽ ἑαυτόν τε καὶ σὺν ἀλφίτῳ. ἐπικολλᾷ δὲ καὶ ἐντεροκήλας τὰς ἐπὶ παίδων.

### Περὶ ἀειζώου τοῦ μεγάλου.

Ἀείζωον τὸ μέγα. οἱ δὲ, ἀειθαλές· οἱ δὲ, ἀμβρόσιον· οἱ δὲ, χειρόσπερμον· οἱ δὲ, ζωόφθαλμον· οἱ δὲ, βουφθαλμον· οἱ δὲ, στεργηθρον· οἱ δὲ, αἰώνιον· οἱ δὲ, ἀείχρυσον· οἱ δὲ, ὁλόχρυσον· οἱ δὲ, χρυσόφθαλμον· οἱ δὲ πρωτόγονον· οἱ δὲ, βόρεος· οἱ δὲ, νότιος. προφῆται [illegible]. οἱ δὲ, χρυσίτης· ῥωμαῖοι κελερακούσπια· οἱ δὲ ἴσβις καὶ ἄζλις· οἱ δὲ, λεαπετές· οἱ δὲ, σουδεμμούρ. αἰγύπτιοι ἀμφαισίς. ἀείζωον τὸ μέγα ὀνομάσθαι διὰ τὸ ἀειθαλὲς τῶν φύλλων. καυλοὺς δὲ φύει πηχυαίους ἢ καὶ μείζονας, πάχος δακτύλου μεγάλου, λιπαρούς, εὐθαλεῖς, ἐντομὰς ἔχοντας ὥσπερ τὸ χαρακίας τιθύμαλλος. φύλλα λιπαρὰ, μέγεθος δακτύλου μεγάλου, γλωσσοειδῆ κατὰ τὸ ἄκρον· καὶ τὰ μὲν κατωτέρω τῶν φύλλων ὕπτια κείμενα. τὰ δὲ κατὰ τὴν κεφαλὴν προσεσταλμένα ἐπ᾽ ἄλληλα, κυκλοειδῶς ὀφθαλμοῦ ἐμφερῆ. φύεται δὲ ἐν τόποις ὀρεινοῖς καὶ ὀστρακίνοις· ἔνιοι δὲ φυτεύουσιν αὐτὸ ἐπὶ τῶν οἰκημάτων. δύναμιν δὲ ἔχει ψυκτικὴν, στυπτικήν. ποιεῖ πρὸς ἐρυσιπέλατα, ἕρπητας, νομὰς, ὀφθαλμῶν φλεγμονὰς, πυρίκαυτα, ποδάγρας, καταπλασσόμενα τὰ φύλλα καθ᾽ ἑαυτὰ καὶ μετὰ ἀλφίτων. ὁ δὲ χυλὸς πρὸς κεφαλαλγίας μετὰ ἀλφίτου καὶ ῥοδίνου ἐμβρέχεται. καὶ φαλαγγιοδήκτοις ἐν ποτῷ δίδοται, καὶ διαρροιζομένοις καὶ δυσεντερικοῖς. στρογγύλας τε ἕλμινς ἐκτινάσσει σὺν οἴνῳ ποθείς. ἵστησι καὶ ῥοῦν γυναικεῖον ἐν προσθέτῳ. ἐγχεῖται δὲ ὁ χυλὸς καὶ ἐπὶ τῶν ὀφθαλμιώντων ὠφελίμως ἀπὸ αἵματος.

### Περὶ ἀειζώου τοῦ μικροῦ.

Ἀείζωον τὸ μικρόν. οἱ δὲ, πετροφυές· οἱ δὲ, βρόπιον· οἱ δὲ, θεοβρόπιον· οἱ δὲ κρόβυαστον· οἱ δὲ, χειμερινόν· οἱ δὲ, κεραυνία· ῥωμαῖοι βιτάλις· οἱ δὲ, ἔρβα σέρπη βίβα. αἰγύπτιοι ἰτιεκελτά. φύεται ἐν τοίχοις καὶ πέτραις, καὶ θριγκοῖς καὶ τάφροις ὑποσκίοις. καυλία ἀπὸ μιᾶς ῥίζης πολλὰ λεπτὰ περίπλεα φυλλαρίων περιφερῶν, λιπαρῶν, μικρῶν, ὀξέων ὑπάκρου. ἀνίησι δὲ καὶ καυλὸν ἐν μέσῳ περὶ σπιθαμὴν τὸ μέγεθος, ἔχοντα σκιάδιον καὶ ἄνθη λεπτὰ καὶ χλωρά. τούτου τὰ φύλλα δύναμιν ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ. Ἀείζωον τὸ λεπτόφυλλον· οἱ δὲ, ἀείζωον τὸ μικρόν· οἱ δὲ, πετροφυές· οἱ δὲ, ἀείζωον ἄγριον. ῥωμαῖοι σεμπερβίβουμ μοῦνους. δοκεῖ δὲ εἶναι καὶ τρίτον εἶδος ἀειζώου. ὃ ἔνιοι ἀνδράχνην ἀγρίαν· ἢ τηλέφιον ἐκάλεσαν. ῥωμαῖοι δὲ ἰλλέκεβραν. ἔχει δὲ αὐτὴ παχύτερα τὰ φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πέτραις. δύναμιν δὲ ἔχει θερμαντικὴν, δριμεῖαν, ἑλκωτικήν. χοιράδων διαφορητικὴν σὺν ὀξυγγίῳ καταπλασθέν.

## Περὶ κοτυληδόνος. χξϛ'.

Κοτυληδὼν. οἱ δὲ, σκυτάλιον. οἱ δὲ, κυμβάλιον. οἱ δὲ, κῆπος ἀφροδίτης. οἱ δὲ, γῆς ὀμφαλός. οἱ δὲ στοιχάς. οἱ δὲ, στέρηθρον. ῥωμαῖοι οὐμβιλίκουμ βένερις. φύλλον ἔχει ὡσπερεὶ ὀξύβαφον. περιφερὲς. ἐμφερῶς τε λείῳ κοίλῳ. καυλίον δὲ ἐν μέσῳ βραχύ. ἐν ᾧ τὸ σπέρμα. ῥίζαν ὡσεὶ ἐλαίας στρογγύλην. ταύτης καὶ τῶν φύλλων ὁ χυλὸς μετ' ὀλίγου περιχριόμενος, ἢ ἐγκλυζόμενος. φύματα τοῖς ἐν αἰδοίοις χαλᾷ. φλεγμονάς τε καὶ ἐρυσιπέλατα καὶ χιμέθλας καὶ χοιράδας καταπλαττόμενα ὠφελεῖ. καὶ στόμαχον καυσούμενον. ἐσθιόμενα δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ λίθους θρύπτει. καὶ οὐρητικά. καὶ ὑδρωπικοῖς σὺν οἰνομέλιτι δίδονται. χρῶνται δὲ αὐτῇ καὶ εἰς τὰ φίλτρα.

## Περὶ ἑτέρας κοτυληδόνος. χξζ'.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κοτυληδόνος ὅ τινες κυμβάλιον καλοῦσι. πλατύτερα ἔχον καὶ λιπαρὰ φύλλα ὡς γλωττίδια. πυκνὰ περὶ τὴν ῥίζαν. οἱονεὶ ὀφθαλμὸν ἐν μέσῳ περιγράφοντα ὡσπερ τὸ μεῖζον ἀείζωον. τῇ γεύσει στύφοντα. καυλίον λεπτόν. καὶ ἐπ' αὐτοῦ ἄνθη καὶ σπέρματα ὅμοια ὑπερικῷ. ῥίζαν δὲ μείζονα. ποιεῖ δὲ πρὸς ἃ καὶ τὸ ἀείζωον.

## Περὶ ἀκαλύφης. χξη'.

Ἀκαλύφη. οἱ δὲ, κνίδη. οἱ δὲ, ἀδίκη. ῥωμαῖοι οὐρτίκα. αἰγύπτιοι σελέψιον. δακοὶ δυώ. ἀκαλύφη ἑτέρα. οἱ δὲ, κνίφην καλοῦσι. ῥωμαῖοι οὐρτίκα μόλλις. διπλοῦν εἶδός ἐστιν αὐτῆς. ἡ μὲν, γάρ ἐστιν ἀγριωτέρα. τραχυτέρα καὶ πλατυτέρα καὶ μελαντέρα τοῖς φύλλοις. καὶ σπέρμα δὲ ὅμοιον λινοσπέρμῳ ἔχει πλὴν ἐλάττονα. ἡ δὲ ἑτέρα λεπτοσπερμός τε καὶ οὐχ ὁμοίως τραχεῖα. ἀμφοτέρων δὲ τὰ φύλλα καταπλασσόμενα μετὰ ἁλῶν, κυνόδηκτα ἰᾶται. καὶ γαγγραινικά. καὶ τὰ κακοήθη καὶ καρκινώδη. καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. καὶ στρέμματα. φύματα. παρωτίδας. φύγεθλα. ἀποστήματα. σπληνικοῖς δὲ μετὰ κηρωτῆς ἐπιτίθενται. ποιεῖ δὲ καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας τὰ φύλλα σὺν τῷ χυλῷ λεῖα ἐντιθέμενα. κινεῖ δὲ καὶ ἔμμηνα λεῖα μετὰ σμύρνης ἐντιθέμενα. καὶ ὑστέρας προπτώσεις ἀποκαθίστησιν ἔγχλωρα τὰ φύλλα προσαπτόμενα. τὸ δὲ σπέρμα πρὸς συνουσίαν παρορμᾷ πινόμενον μετὰ γλυκέος. καὶ ὑστέραν ἀναστομοῖ. σὺν μέλιτι δὲ ἐκλειχόμενον ὀρθοπνοίας ὠφελεῖ καὶ πλευρίτιδας καὶ περιπνευμονίας. ἀνάγει δὲ καὶ τὰ ἐκ θώρακος. μίγνυται δὲ καὶ σηπτικοῖς. συνεψηθέντα δὲ τὰ φύλλα κογχυλίοις τὰς κοιλίας μαλάττει. λύει ἐμπνευματώσεις. οὐρητικά. σὺν πτισάνῃ δὲ ἑψηθέντα τὰ ἐκ θώρακος ἀνάγει. τὸ δὲ ἀφέψημα τῶν φύλλων σὺν ὀλίγῃ σμύρνῃ ποθὲν, κινεῖ καταμήνια. ὁ δὲ χυλὸς ἀναγαργαριζόμενος, σταφυλὴν φλεγμαίνουσαν.

## Περὶ γαλιόψεως. χξθ'.

Γαλίοψις. οἱ δὲ, γαλεόβδολον. οἱ δὲ, γάλεψος. αἰγύπτιοι ἄθοπι. ῥωμαῖοι οὐρτίκα λαβεόνεμ. ὅλον τὸ θαμνίον σὺν τῷ καυλῷ καὶ τοῖς φύλλοις ἐμφερές ἐστι κνίδῃ. λειότερα δὲ τὰ φύλλα καὶ ἱκανῶς δυσώδη ἐν τῷ διατρίψαι. ἄνθη λεπτὰ πορφυρίζοντα. φύεται ἐν φραγμοῖς καὶ παρὰ τὰς ὁδοὺς καὶ οἰκόπεδα πανταχοῦ. δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ χυλὸς καὶ ὁ καυλὸς καὶ ὁ καρπὸς, διαχυτικὴν σκληρωμάτων καὶ καρκινωμάτων. χοιράδων. παρωτίδων. φυγέθλων. δεῖ δὲ μεταξὺ δὶς τῆς ἡμέρας καταπλάσσειν χλιαρὸν ποιοῦντας τὸ κατάπλασμα. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς καταντλεῖται ὠφελίμως. ποιεῖ καὶ πρὸς νομάς. γαγγραίνας καὶ σηπεδόνας μεθ' ἁλῶν καταπλασσόμενα.

# ΤΕΤΑΡΤΟΝ

## Περὶ γαλλίου.

Γάλλιον· οἱ δέ, γαλλέριον· οἱ δέ, γαλάτιον. ὠνόμασται δὲ ἀπὸ τοῦ γάλα πηγνύειν αὐτὸ ἀντὶ πυτίας. αὐτὸ δὲ κλωνίον, τὸ φύλλον ἔχει ἐμφερέστατον ἀπαρίνῃ. καὶ ὀρθὸν δὲ καὶ ἐπ᾽ ἄκρου ἄνθος μηλινίζον, λεπτόν, πυκνόν, πολύ, εὔοσμον. ὃ τὸ ἄνθος πρὸς τὰ πυρίκαυτα καταπλάσσεται· καὶ αἱμορραγίας ἵστησι. μίσγεται δὲ καὶ κηρωτῇ ῥοδίνῃ ἡλιαζόμενον ἄχρις ἂν λευκὸν γένηται· καὶ ἔστι τὸ τοιοῦτον ἄκοπον. ἡ δὲ ῥίζα πρὸς συνουσίαν παρορμᾷ. φύεται δὲ ἐν ἑλώδεσι τόποις.

## Περὶ ἠριγέροντος.

Ἠριγέρων· οἱ δέ, ἐρεχθίτης· ῥωμαῖοι ἐρβουλουμ· οἱ δέ, σενέκιουμ. καυλίον ἐστὶ πηχυαῖον, ὑπέρυθρον. συνεχῆ ἔχει φυλλάρια, ἀκροσχιδῆ ὡς τὰ εὐζώμου· πολλῷ δὲ ἐλάττονα. ἄνθη μηλίζοντα, ταχέως σχιζόμενα καὶ ἐξανθοῦντα εἰς τοὺς λεγομένους παππούς. ὅθεν καὶ ἠριγέρων ὠνομάσθη, διὰ τὸ ἔαρος τὰ ἄνθη τριχώδη πολιοῦσθαι. ῥίζα ἄχρηστος. φύεται μάλιστα ἐπὶ θριγκοῖς καὶ περὶ τὰς πόλεις. δύναμιν δὲ ἔχει ψυκτικὴν τὰ φύλλα σὺν τοῖς ἄνθεσιν. ὅθεν καταπλασσόμενα τὰ φύλλα ἐν ὀλίγῳ οἴνῳ ἢ καὶ καθ᾽ ἑαυτά, φλεγμονὰς ὄρχεων καὶ δακτυλίου θεραπεύει. σὺν δὲ μάννῃ, τά τε ἄλλα τραύματα καὶ τὰ ἐννεύροις ἰᾶται. καὶ οἱ πάπποι δέ, καθ᾽ ἑαυτοὺς καταπλασθέντες ἐν ὄξει τὸ αὐτὸ δρῶσι. ποθέντες μέντοι νεαροί, πνιγμὸν ἐπιφέρουσιν. ὅλος δὲ ὁ καυλὸς σὺν ὕδατι ἑψηθεὶς καὶ σὺν γλυκεῖ πινόμενος, στομάχου πόνους τοὺς ἀπὸ χολῆς θεραπεύει.

## Περὶ θαλίκτρου.

Θάλικτρον· φύλλα παραπλήσια κορίῳ ἔχει. λιπαρώτερα δὲ· καὶ καυλίον πηγανίου πάχος, ἐφ᾽ οὗ τὰ φύλλα. ἅπερ καταπλασθέντα λεῖα, τὰ χρόνια τῶν ἑλκῶν ἐπουλοῖ. φύεται δὲ μάλιστα ἐν πεδίοις.

## Περὶ βρύου θαλασσίου.

Βρύον θαλάσσιον· οἱ δέ, βαλλαρίς· οἱ δέ, ἱραίνη· ῥωμαῖοι [illegible]. φύεται ἐπὶ λίθων καὶ ὀστράκων παρὰ θάλασσαν. τριχῶδες. ἰσχνόν, ἄκαυλον· ἱκανῶς στυπτικόν. ποιοῦν πρὸς φλεγμονὰς καὶ ποδάγρας, τὰς ψύξεως δεομένας.

## Περὶ φύκους θαλασσίου.

Φῦκος θαλάσσιον γίνεται· τὸ μέν τι αὐτοῦ πλατύ· τὸ δὲ ὑπομηκέστερον καὶ φοινίσσον· τὸ δέ, λευκόν. φυόμενον δὲ ἐν κρήτῃ πρὸς τῇ γῇ, εὐανθὲς ἄγαν καὶ ἄσηπτον. ψυκτικὴν δὲ ἔχει πάντα τὴν δύναμιν. ποιοῦσι γοῦν ἐν καταπλάσμασι ποδαγρικοῖς καὶ ταῖς φλεγμοναῖς. δεῖ δὲ αὐτοῖς χρῆσθαι ἐνίκμοις πρὸ τοῦ ξηρανθῆναι. νίκανδρος δέ φησι καὶ θηριακὸν εἶναι τὸ φοινικοῦν. ὅπερ ἔδοξαν ἔνιοι εἶναι ᾧ αἱ γυναῖκες χρῶνται. ὄντως ἐκεῖνο ῥίζιον. ὁμωνύμως δὲ καλούμενον φῦκος.

## Περὶ ποταμογείτονος.

Ποταμογείτων· οἱ δέ, σταχύτιω· ῥωμαῖοι φαστάλις· αἰγύπτιοι ἐθεμψχίς. φύλλον ἐστὶν ὅμοιον σεύτλῳ, δασὺ καὶ ὀλίγον ὑπερκύπτει τοῦ ὕδατος. ψύχει δὲ καὶ στύφει· ἁρμόζει κνησμοῖς καὶ νεμομένοις καὶ παλαιοῖς ἕλκεσιν. ὠνόμασται δὲ διὰ τὸ ἐν τέλμασι καὶ ἐνύδροις τόποις φύεσθαι.

## Περὶ στρατιώτου.

Στρατιώτης, ὁ ἐπὶ τῶν ὑδάτων φυόμενος· οἱ δέ, ποτάμιον στρατιώτην καλοῦσιν· αἰγύπτιοι τιβούς· προφῆται αἷμα αἰλούρου. ὠνόμασται δὲ διὰ τὸ ἐπινήχεσθαι τοῖς ὕδασι καὶ χωρὶς ῥίζης ζῆν. φύλλον δὲ ἔχει ἀειζώου ὅμοιον, μεῖζον μέντοι. καὶ ψυκτικὴν ἔχον δύναμιν· ἐφιστάνον τὰς ἐκ νεφρῶν αἱμορραγίας πινόμενον.

τραύματά τε ἀφλέγμαντα τηρεῖ. καὶ ἐρυσιπέλατα καὶ οἰδήματα σὺν ὄξει καταπλασσόμενον.

Περὶ χιλιοφύλλου στρατιώτου. κεφ. ροη.

Στρατιώτης ὁ χιλιόφυλλος. ἐστὶ θαμνίσκος μικρὸς σπιθαμιαῖος καὶ μείζων. ἔχων τὰ φύλλα ὅμοια νεοττοῦ πτεροῖς. εἰσὶ δὲ αἱ ἐκφύσεις τῶν φύλλων σφόδρα βραχεῖαι. ἐσχισμέναι. ἔοικε δὲ μάλιστα τὰ φύλλα τῇ βραχύτητι καὶ τῇ τραχύτητι κυμίνῳ ἀγρίῳ. καὶ ἔτι βραχύτερα. καὶ τὸ σκιάδιον δὲ πυκνότερον τούτου καὶ ἁδρότερον. ἔχει γὰρ ἐπ' ἄκρου καρφία μικρὰ ἐφ' ὧν τὰ σκιάδιά ἐστιν ἀνήθου τρόπον. ἄνθη, μικρὰ. λευκά. φύεται ἐν ἀγροῖς ὑποτραχέσι καὶ περὶ τὰς ὁδοὺς μάλιστα. ἐστὶ δὲ αὕτη ἡ βοτάνη σφόδρα ἀγαθὴ πρὸς αἱμορραγίας καὶ ἕλκη παλαιά, καὶ πρόσφατα καὶ συρίγγας.

Περὶ φλόμου. κεφ. ροθ.

Φλόμος. οἱ δὲ, φλόνον. ῥωμαῖοι βερβάσκλουμ. οἱ δὲ, φιμιλάλην. ταύτης μὲν ἀνωτάτω διαφορὰν ἔχει διττήν. ἡ μὲν, γάρ ἐστιν αὐτῶν λευκή. ἡ δὲ, μέλαινα. καὶ τῶν λευκῶν ἡ μὲν, θήλεια. ἡ δὲ, ἄρρην. τῆς μὲν οὖν θηλείας τὰ φύλλα παραπλήσιά ἐστι κράμβῃ. δασύτερα δὲ πολλῷ καὶ πλατύτερα καὶ λευκά. καυλὸς πηχυαῖος καὶ μείζων. λευκός. ὑπόδασυς. ἄνθη λευκὰ ἢ ὕπωχρα. σπέρμα μέλαν. ῥίζα δὲ μακρά. στρυφνή. πάχος ἔχουσα δακτύλου. φύεται δὲ ἐν πεδίοις. ἡ δὲ ἄρρην καλουμένη, λευκόφυλλος. ὑπομήκης δὲ καὶ στενοτέρα τοῖς φύλλοις. καὶ τῷ καυλῷ δὲ λεπτοτέρα. ἡ δὲ μέλαινα ὁμοία ταῖς λευκαῖς κατὰ πάντα. πλατυφυλλοτέρα μέντοι καὶ μελαντέρα τοῖς φύλλοις ὑπάρχει. γίνεται καὶ ἡ λεγομένη ἀγρία. ῥάβδους ὑψηλὰς φέρουσα καὶ δενδρώδεις. φύλλα ἐλελισφάκῳ ὅμοια. ἔχει δὲ κλῶνας περὶ τὰς ῥάβδους ὥσπερ πράσιον. ἄνθος μήλινον. χρυσοειδές. εἰσὶ δὲ καὶ φλομίδες δύο πολλαὶ δασεῖαι. περιφερῆ τῇ γῇ στρογγύλα ἔχουσαι τὰ φύλλα. καὶ τρίτη φλομὶς ἡ καλουμένη λυχνῖτις. ὑπὸ δέ τινων θρυαλλίς. φύλλα γ' ἢ δ' ἢ καὶ πλείονα ἔχουσα. παχέα. λιπαρά. δασέα. εἰς ἐλλύχνια χρήσιμα. τῶν μὲν οὖν πρώτων δύο, ῥίζα στυπτική. ὅθεν διαρροιζομένοις, ὅσον ἀστράγαλος σὺν οἴνῳ ὠφελίμως ἐν ποτῷ δίδοται. τὸ δὲ ἀφέψημα αὐτῶν ῥήγμασι καὶ σπάσμασι καὶ θλάσμασι καὶ βηξὶ παλαιαῖς ἀρήγει. ὀδονταλγίας τε πραΰνει διακλυζόμενον. ἡ δὲ χρυσοειδὴς τὰ ἄνθη, τρίχας βάπτει. καὶ ὅπου ἂν τεθῇ σίλφας συνάγει. τὰ δὲ φύλλα ἑφθὰ ἐν ὕδατι, πρὸς οἰδήματα καὶ ὀφθαλμῶν φλεγμονὰς καταπλάσσεται. καὶ πρὸς σφακελίζοντα ἕλκη σὺν μέλιτι ἢ οἴνῳ. σὺν ὄξει δὲ τραύματα θεραπεύει. καὶ σκορπιοπλήκτοις βοηθεῖ. τὰ δὲ τῆς ἀγρίας φύλλα, πυρικαύτοις ἐστὶ καταπλάσματα. τὰ δὲ τῆς θηλείας φύλλα φασὶ μετὰ σύκων ξηρῶν συντιθέμενα, ἄσηπτα αὐτὰ διαφυλάττειν.

Περὶ αἰθιοπίδος. κεφ. ρπ.

Αἰθιοπίς. καὶ αὕτη παραπλήσια φλόμῳ ἔχει τὰ φύλλα. δασέα λίαν καὶ πυκνά. κύκλῳ περὶ τὸν πυθμένα τῆς ῥίζης. καυλὸν τετράγωνον. τραχύν. ἐοικότα μελιτταίνῃ ἢ ἀρκτίῳ. μασχάλας ἀνιέντα πολλάς. καρπὸν δὲ περὶ μέγεθος ὀρόβου σὺν δύο ἐν ἑνὶ ἀγγείῳ. ῥίζας ἀπὸ τοῦ αὐτοῦ πυθμένος πολλὰς. μακράς. παχείας. γευομένῳ κολλώδεις. γίνονται δὲ ξηραινόμεναι μέλαιναι καὶ σκληραί. κέρασιν ἐοικυῖαι. πλείστη δὲ γεννᾶται κατὰ τὴν μεσσηνίαν καὶ τὴν ἴδην. ταύτης ἡ ῥίζα ἑψομένη καὶ πινομένη βοηθεῖ ἰσχιάσι. πλευρίτισι. αἵματος πτύσει καὶ ἀρτηρίας τραχύτητι. λαμβάνεται δὲ μετὰ μέλιτος αὐτὴ ἐκλεικτόν.

Περὶ

# ΤΕΤΑΡΤΟΝ

Περὶ ἀρκτίου. κεφ. χπα'.

Ἄρκτιον· οἱ δέ, ἀρκτοῦρον. φλόμῳ καὶ αὕτη ἔχει ἐοικότα τὰ φύλλα, δασύτερα δὲ καὶ στρογγυλώτερα. ῥίζαν, ἁπαλήν, γλυκεῖαν, λευκήν. καυλὸν δέ, μαλακόν, μακρόν. καρπὸν δέ, κυμίνῳ μικρῷ ὅμοιον. ταύτης ἡ ῥίζα δύναται καὶ ὁ καρπὸς ἀφεψηθέντα ἐν οἴνῳ, ὀδονταλγίας διακρατούμενα πραΰνειν. πυρικαύτοις καὶ χιμέτλοις ἐστὶ κατάπλασμα. πίνεται δὲ πρὸς ἰσχιάδας καὶ δυσουρίαν ἐν οἴνῳ.

Περὶ ἀρκείου. κεφ. χπβ'.

Ἄρκειον· οἱ δέ, προσωπίδα· οἱ δέ, προσώπιον· οἱ δέ, ἀπαρίνην. ῥωμαῖοι περσωνάκεαμ· οἱ δέ, λάππαμ καλοῦσι. φύλλα ἔχει ὅμοια τοῖς τῆς κολοκυνθίδος. μείζονα μέντοι καὶ σκληρότερα δὲ, μελάντερα καὶ δασέα. καυλὸν ὑπόλευκον. ἐνίοτε δὲ καὶ ἄκαυλος ἐστί. ῥίζα μεγάλη καὶ λευκὴ ἔνδοθεν, ἔξωθεν δὲ μέλαινα. ἥτις βοηθεῖ ποθεῖσα < α' πλῆθος μετὰ στροβίλων, αἱμοπτυϊκοῖς, ἐμπυϊκοῖς. ποιεῖ καὶ τὰ ἐκ τῶν λυγισμῶν περὶ τὰ ἄρθρα ἀλγήματα καταπλασσομένη λεία. καὶ τὰ φύλλα δὲ ὠφελίμως ἐπὶ τῶν παλαιῶν ἑλκῶν καταπλάττεται.

Περὶ πιτυούσης. κεφ. χπγ'.

Πιτυούσης μέγεθος ἐστὶ μεῖζον πήχεως, δακτύλου μεγάλου πάχος. ἐφ' οὗ φύλλον πιτυῶδες μέγα. προσκείμενον ὥσπερ μύκης. ποιοῦν πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη, λεῖον καταπλασσόμενον.

Περὶ ἐπιπακτίδος. κεφ. χπδ'.

Ἐπιπακτίς· οἱ δέ, ἑλλεβορίνην· οἱ δέ, βόριον. θαμνίσκος μικρός, ἐλάχιστα φυλλάρια ἔχων. πρὸς τὰ θανάσιμα δὲ πίνεται, καὶ πρὸς τὰ ἐν ἥπατι πάθη.

Περὶ καπνοῦ. κεφ. χπε'.

Καπνός· οἱ δέ, κορυδάλιον ἢ κόριον· οἱ δέ, κορίδαλλον ἄγριον· οἱ δέ, καπνὸς ὁ ἐν ταῖς κριθαῖς· οἱ δέ, καπνίτης· οἱ δέ, μαρμαρίτης· οἱ δέ, καπνογόργιον· οἱ δέ, χελιδόνιον μικρόν· οἱ δέ, περιστέριον· οἱ δέ, καθαρίς· οἱ δέ, χαλκοκρί· ῥωμαῖοι ἄπιουμ· οἱ δέ, φουμάρια· αἰγύπτιοι κνύξ· οἱ δέ, τουκιν. βοτάνιόν ἐστι θαμνοειδές, κορίῳ ἐοικός, τρυφερὸν πάνυ. τὰ δὲ φύλλα λευκότερα καὶ τεφρώδη, πολλὰ πανταχόθεν. ἄνθος πορφυροῦν. τούτου ὁ χυλὸς δριμύς, ὀξυδερκής, δακρύων ἀγωγός. ὅθεν καὶ τοὔνομα εἵλκυσε. δύναται δὲ καὶ τὰς ἐκ τῶν βλεφάρων ἀποτιλθείσας τρίχας σὺν κόμμει καταχρισθεὶς μὴ ἐᾶν φύεσθαι. βρωθεῖσα δὲ ἡ πόα, οὖρα ἄγει χολώδη.

Περὶ λωτοῦ ἡμέρου. κεφ. χπϛ'.

Λωτὸς ἥμερος· οἱ δέ, τρίφυλλον· οἱ δέ, ζιπόδιον· οἱ δέ, τριβόλιον καλοῦσι. φύεται ἐν παραδείσοις. ὃς χυλισθεὶς καὶ μιγεὶς μέλιτι, ἄργεμα καὶ νεφέλια καὶ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρει.

Περὶ λωτοῦ ἀγρίου. κεφ. χπζ'.

Λωτὸς ἄγριος· οἱ δέ, τρίφυλλον· οἱ δέ, λίβυον καλοῦσι. ῥωμαῖοι τριφόλιουμ βίρους. φύεται μέν, πλεῖστος ἐν λιβύῃ. καυλὸν φέρων δίπηχυν ἢ καὶ μείζονα, μασχάλας ἔχοντα πολλάς. φύλλα ὅμοια λωτῷ τριφύλλῳ, τῷ ἐν χερσοκηπείοις γινομένῳ. σπέρμα ἐοικὸς τήλιδι, μικρότερον δὲ πολλῷ, φαρμακῶδες ἐν τῇ γεύσει. δύναμιν δὲ ἔχει θερμαντικήν, ἠπίως στυπτικήν, ἀποκαθαρτικὴν σπίλων τῶν ἐπὶ τοῦ προσώπου καὶ ἐφηλίδων σὺν μέλιτι καταχριόμενος. πινόμενος δὲ καθ' ἑαυτὸν λεῖος ἢ καὶ μετὰ μαλάχης σπέρματος σὺν οἴνῳ ἢ γλυκεῖ, τοῖς περὶ κύστιν ἀλγήμασι βοηθεῖ.

Περὶ κυτίσου. κεφ. χπη'.

Κύτισος· οἱ δέ, τηλίνην· οἱ δέ, λωτὸν μέγαν· οἱ δέ, τρίφυλλον. ῥωμαῖοι τριφόλιουμ μαίους. θάμνος ἐστὶ λευκὸς ὅλος ὡς ῥάμνος. κλάδους ἀφιεὶς πηχυαίους καὶ μείζονας. περὶ οὓς τὰ φύλλα ὅμοια τήλιδι ἢ λωτῷ τριφύλλῳ, μικρότερα δὲ καὶ ῥάχιν ἔχοντα μέσην. ὅτε

(τῷ διατρίβωσι τοῖς δακτύλοις

ὄζοντα εὐζώμου· ἐν δὲ τῇ κύσει ὅμοια ἐρεβίνθοις· δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτι-
κήν, διαφορητικὴν τῶν ἐν ἀρχῇ οἰδημάτων· σὺν ἄρτῳ λεῖα καταπλασθέντα. κινεῖ δὲ
καὶ οὖρα· τὸ ἀφέψημα αὐτῶν πινόμενον. ἔνιοι δὲ φυτεύουσιν αὐτὸ περὶ τοῖς σμήνεσιν ὡς
ἐπισπαστικὸν τῶν μελισσῶν.

## Περὶ λωτοῦ αἰγυπτίου. κε χπθ

Λωτὸς ὁ ἐν αἰγύπτῳ γεννώμενος ἐν τῷ ὕδατι τῶν ἐπικλυσθέντων πεδίων. καυλός ἐστι τῷ
τοῦ κυάμου ἐμφερής· ἔχων ἄνθος μικρόν, λευκόν· ἐοικὸς κρίνῳ· ὅ φασι κατὰ τὰς ἀνα-
τολὰς τοῦ ἡλίου ἁπλοῦσθαι, δύνοντος δὲ μύειν· καὶ ὅλην τὴν κωδίαν κρύπτεσθαι ἐν τῷ
ὕδατι. πάλιν τε πρὸς τὴν ἀνατολὴν τοῦ ἡλίου ὑπερκύπτειν. ἔοικε δὲ ἡ κωδία μήκωνι
μεγίστῃ. ἐν ᾗ καρποὶ ὡς κέγχρος· ὃν ξηραίνοντες οἱ ἐν αἰγύπτῳ, βάλλουσιν εἰς ἀρτοποι-
ίαν. ῥίζαν δὲ ἔχει ὁμοίαν μήλῳ κυδωνίῳ· ἥτις καὶ αὐτὴ ἐσθίεται ὠμή τε καὶ ἑφθή. ἀναλο-
γεῖ δὲ ἑψηθεῖσα τῇ ποιότητι λεκύθῳ ᾠοῦ.

## Περὶ μυριοφύλλου. κε χϟ.

Μυριόφυλλον· οἱ δέ, μιλλεφύλλον· οἱ δέ, στρατιωτικόν· οἱ δέ, ἀχίλλειος· ῥωμαῖοι μιλλεφόλιουμ·
οἱ δέ, σουπερκίλιουμ βένερις· γάλλοι βελιοκάνδας. καυλίσκιον ἐστὶ μονοφυὲς, ζυφερός, μο-
νόρριζος· περὶ ὃν φύλλα πολλὰ λεπτά, μαράθῳ ὅμοια· ὅθεν καὶ ὠνόμασται. ὁ δὲ καυ-
λός ἐστιν ὑπόκιρρος, διάπυκνος· ὡς ἐπίτηδες διαρρερινισμένος. φύεται ἐν ἑλώδεσι
τόποις. τοῦ τε τηρεῖ ἀφλέγμαντα τὰ νεότρωτα τῶν ἑλκῶν σὺν ὄξει χλωρόν τε καὶ ξηρὸν κα-
ταπλασσόμενον. πίνεται δὲ πρὸς τὰ πτώματα σὺν ὕδατι καὶ ἁλσίν.

## Περὶ μύρριδος. κε χϟα.

Μύρρις· οἱ δέ, μύρραν καλοῦσιν· οἱ δέ, κονίλην. τῷ καυλῷ καὶ τοῖς φύλλοις ἔοικε κωνείῳ. ῥί-
ζαν δὲ ἔχει ἐπιμήκη, ἁπαλήν, περιφερῆ, εὐώδη, ἡδεῖαν βρωθῆναι. ἥτις πινομένη σὺν οἴνῳ
φαλαγγιοδήκτοις βοηθεῖ. καθαίρει δὲ ἔμμηνα καὶ λοχία. καθεψηθεῖσα δὲ ἐν ῥοφήμα-
σιν, ὠφέλιμος φθισικοῖς δίδοται. ἱστοροῦσι δὲ ἔνιοι πινομένης αὐτῆς δὶς ἢ τρὶς τῆς ἡμέ-
ρας σὺν οἴνῳ ἐν λοιμικαῖς καταστάσεσι, βοηθεῖν πρὸς τὸ ἀνόσους διαμένειν.

## Περὶ μυάγρου. κε χϟβ.

Μύαγρος· οἱ δέ, μελάμπυρον. πόα φρυγανώδης δίπηχυς. φύλλα ἔχουσα ἐμφερῆ τοῖς
τοῦ ἐρυθροδάνου, ὠχρά· σπέρμα τραχήλῳ ἐοικὸς, λιπαρόν· ᾧ χρῶνται, κόπτοντες αὐτὸ πε-
φωσμένον, καὶ περιπλάττοντες ῥάβδοις, ἀντὶ λύχνου χρώμενοι. δοκεῖ δὲ τὸ ἐξ αὐτοῦ
λίπος ὁμαλίζειν καὶ λεαίνειν τὰς τοῦ σώματος τραχύτητας.

## Περὶ ὀνάγρας. κε χϟγ.

Ὄναγρα· οἱ δέ, ὀνοθήρας· οἱ δέ, ὄνουρις· θάμνος ἐστὶ δενδροειδής, εὐμεγέθης. φύλλα ἔχων ἀ-
μυγδαλῇ παραπλήσια, πλατύτερα δὲ, ἐμφερῆ τοῖς τοῦ κρίνου. ἄνθη ῥοδοειδῆ μεγάλα.
ῥίζαν δὲ λευκήν, μικράν· ἥτις ξηρανθεῖσα, οἴνου ὀσμὴν ἀποδίδωσι. φύεται ἐν ὀρεινοῖς τόποις.
δύναμιν δὲ ἔχει τὸ ἀπόβρεγμα τῆς ῥίζης ὑπὸ τῶν ἀγρίων ζώων πινόμενον, ἡμεροῦν αὐτά.
καταπλασθεῖσα δὲ πραΰνει τὰ θηριώδη ἕλκη.

## Περὶ κιρσίου. κε χϟδ.

Κίρσιον· οἱ δέ, βούγλωσσον μέγα καλοῦσι· ῥωμαῖοι σπίνα μόλλις. καυλός ἐστιν ἁπαλὸς, ὡς
δίπηχυς, τρίγωνος. τὰ κάτωθεν φυλλάρια ῥοδοειδῆ ἔχοντα. τὰς γωνίας ἀκανθώδεις
ἐκ διαστημάτων μαλακάς. τὰ δὲ φύλλα βουγλώσσῳ ἐμφερῆ, δασέα μετρίως καὶ μακρό-
τερα, ὑπόλευκα, ἀκανθώδη τοῖς πέρασι. τὸ δὲ ἄκρον τοῦ καυλοῦ περιφερές, δασύ.
ἐφ' οὗ τοῦ κεφάλια ἀκροπόρφυρα· ἐκ ταῦτα παππούμενα. ταύτης τὴν ῥίζαν ἀνδρίας
ἀναγράφει ὑπὲρ τὸ ἀλγοῦντα τόπον ἀναδουμένην, παύειν κιρσῶν πόνους.

Περὶ

# ΤΕΤΑΡΤΟΝ

## Περὶ ἀστέρος ἀττικοῦ. κεφ. χλε.

Ἀστὴρ ἀττικός· οἱ δὲ, ἀστερίσκος· οἱ δὲ, ἀστέριον· οἱ δὲ, βουβώνιον· οἱ δὲ, ὑόφθαλμον. ῥωμαῖοι ἐγγουινάλις· δᾶκοι ῥαθιβίδα. ῥαβδίον ξυλῶδες, ἐπ᾽ ἄκρου ἔχον ἄνθος πορφυροῦν ἢ μήλινον, ὡς τὸ ἀνθεμίδος κεφάλιον περισχιδές. ἔχει δὲ φυλλάρια ἀστέρι ὅμοια. τὰ δὲ περὶ τὸν καυλὸν φύλλα ὑπομήκη δασέα. ὠφελεῖ δὲ στόμαχον ἐκπυρούμενον καταπλασσόμενον. καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ βουβῶνας. καὶ τὰς προπτώσεις ἕδρας. φασὶ δὲ καὶ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ᾽ ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν καὶ ἐπιληψίαις παίδων. ἁρμόζει δὲ καταπλασσόμενον ὑγρὸν πρὸς βουβώνων φλεγμονάς. ξηρὸν δὲ ἀναιρεθὲν τῇ ἀριστερᾷ χειρὶ τοῦ ἀλγοῦντος, καὶ περιαφθὲν τῷ βουβῶνι, ἀπαλλάσσει τῆς ὀδύνης. γίνεται δὲ μέσον πετρῶν καὶ τόπων τραχέων. ταύτης οἱ ἀστέρες ἐν νυκτὶ λάμπουσιν. οἱ γὰρ μὴ εἰδότες ὅταν αὐτὴν ἴδωσι, νομίζουσι φάντασμα εἶναι. εὑρίσκεται δὲ παρὰ βοσκοῖς προβάτων. καὶ Κρατεύας ὁ ῥιζοτόμος ἱστορεῖ. αὕτη χλωρὰ κοπεῖσα μετὰ ὀξυγγίας παλαιοῦ, ποιεῖ πρὸς λυσσοδήκτους καὶ βρογχοκηλικούς. ὑποθυμιωμένη δὲ φυγαδεύει θηρία.

## Περὶ ἰσοπύρου. κεφ. χλϛ.

Ἰσόπυρον· οἱ δὲ, φασίολον καλοῦσι. ἀπὸ τοῦ ἐοικέναι φασιόλῳ τὸ κατ᾽ ἄκρον τὸ πέταλον ἕλικα φέρειν. ἔχει δὲ κεφαλαὶ ἐπ᾽ ἄκρου τοῦ καυλοῦ λεπταί. σπερματίων πλήρεις. παραπλησίων μελανθίῳ τὴν γεῦσιν. τὸ δὲ φύλλον ἀνίσῳ. τούτου τὸ σπέρμα πινόμενον σὺν μελικράτῳ, τοὺς περὶ θώρακα καὶ βῆχας ὠφελεῖ, αἱμοπτοικοῖς τε καὶ ἡπατικοῖς ἁρμόζει.

## Περὶ ἴου. κεφ. χλζ.

Ἴον πορφυροῦν· οἱ δὲ δασυπόδιον· οἱ δὲ, πριαπήιον· οἱ δὲ, ἴον ἄγριον· οἱ δὲ κυβέλιον. ῥωμαῖοι σεπτάλις· οἱ δὲ μαρτρία· οἱ δὲ βιόλα πουρπούρεα. φύλλον ἔχει μικρότερον κισσοῦ καὶ λεπτότερον. μελάντερον δὲ καὶ οὐκ ἀνόμοιον. καυλίον μέσον ἀπὸ τῆς ῥίζης. ἐφ᾽ οὗ ἀνθύλλιον σφόδρα εὐῶδες. πορφυροῦν. φύεται ἐν παλισκίοις καὶ τραχέσι τόποις. δύναμιν δὲ ἔχει ψυκτικήν. οὗ τὰ φύλλα καταπλασσόμενα καθ᾽ ἑαυτὰ καὶ μετὰ ἀλφίτων, βοηθεῖ στομάχῳ καυσουμένῳ καὶ ὀφθαλμῶν φλεγμοναῖς. καὶ ταῖς τῆς ἕδρας προπτώσεσι. φασὶ δὲ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ᾽ ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν καὶ ἐπιληψίαις ταῖς τῶν παίδων.

## Περὶ κακαλίας. κεφ. χλη.

Κακαλία· οἱ δὲ, λεοντικήν. φύλλα φέρει λευκὰ εὐμεγέθη. καυλὸς δὲ ἐξ αὐτῶν μέσος ὀρθὸς λευκός. ἄνθος ἔχων ἐοικὸς βρύῳ ἐλαίας. ἐν ὄρεσι δὲ φύεται. ταύτης ἡ ῥίζα ἐν οἴνῳ βρεχομένη ὡς τραγάκανθα καὶ ἐκλειχομένη ἢ διαμασωμένη καθ᾽ ἑαυτὴν, βῆχας καὶ τραχύτητας καὶ ἀρτηρίας θεραπεύει. οἱ δὲ μετὰ τὴν ἐξάνθησιν ἐπιφυόμενοι κόκκοι λεῖοι, ἀναληφθέντες κηρωτῇ καὶ ἐπιχρισθέντες, τεταμένον καὶ ἀρρυτίδωτον τηροῦσι τὸ πρόσωπον.

## Περὶ βουνίου. κεφ. χλθ.

Βούνιον· οἱ δὲ, ἄτον· οἱ δὲ, ἀλετινήν· οἱ δὲ, ἀνεμόσφορον. προφῆται παιδὸς δάκρυ. αἰγύπτιοι ἐρζώλω. ῥωμαῖοι σκόπα ῥέγια. ἄφροι ζιγάρ. οἱ δὲ, θέψω. καυλὸν ἀνίησι τετράγωνον. καὶ ἐν αὐτῷ κλωνάρια περίπολλα φυλλαρίων, λεπτῶν, καὶ ἀνθέων πολλά. τῷ μήκει δακτυλιαῖον. φύλλα δὲ πρὸς τῇ ῥίζῃ ὅμοια σελίνῳ, λεπτότερα δὲ πολλῷ πρὸς τὸ πηγανοειδές. ἄνθος ἀνήθου. σπέρμα εὐῶδες, ὑοσκυάμου μικρότερον. ἔστι δὲ οὐρητικόν. θερμαντικόν. καὶ δευτέρων ἀγωγόν. σπλῆνί τε καὶ νεφροῖς καὶ κύστει ἐπιτήδειον. χρῆσις δὲ αὐτοῦ ἐγχυθέντος ξηροῦ καὶ χυλισθέντος

σὺν ταῖς ῥίζαις καὶ τοῖς καυλοῖς καὶ τοῖς φύλλοις μετὰ μελικράτου.

Περὶ ψευδοβουνίου.

Ψευδοβούνιον· θαμνίσκον ἐστὶ σπιθαμιαῖον ἐν Κρήτῃ· ἔχει φύλλα βουνίῳ ὅμοια, δριμέα, καὶ κλωνία. δύναται δὲ τὰ δ΄ αὐτοῦ πινόμενα κλωνία ὅσον δ΄ σὺν ὕδατι, στρόφους καὶ στραγγουρίας καὶ πλευρᾶς πόνον θεραπεύειν. διαφορεῖ δὲ καὶ χοιράδας μετὰ ἁλῶν καὶ ὄξους καταπλασσόμενα χλωρά.

Περὶ χαμαικίσσου.

Χαμαίκισσος· οἱ δὲ, χαμαιλεύκη· οἱ δὲ, κισσὸς ἄκαρπος· οἱ δὲ, γῆς στέφανος· οἱ δὲ, σελινῖτις· ῥωμαῖοι ἕδερα πλουβιάτικα. φύλλα ἔχει ὅμοια κισσῷ, μακρότερα δὲ καὶ λεπτότερα, πολλὰ κλωνία σπιθαμιαῖα περίπλεα φύλλων ἀπὸ ῥίζης ε΄ ἢ ς΄. ἄνθη λευκοΐοις ὅμοια, λευκότερα καὶ λεπτότερα καὶ πικρὰ πρὸς τὴν γεῦσιν ἰσχυρῶς. ῥίζα λεπτὴ λευκὴ ἄχρηστος. φύεται ἐν ἐργασίμοις χωρίοις. ἁρμόζει δὲ τὰ φύλλα ἰσχιαδικοῖς, ὅσον τριώβολον ἐν ὕδατι κυάθοις τρισὶ πινόμενα ἐπὶ ἡμέρας μ΄ ἢ ν΄. καὶ ἴκτερον δὲ ἀποκαθαίρει ὁμοίως πινόμενα πρὸς ς΄ ἢ ζ΄ ἡμέρας.

Περὶ χαμαιλεύκης.

Χαμαιλεύκη· ποιεῖ πρὸς ὀσφύος ἀλγήματα σὺν ὕδατι λεία πινομένη. ἐν ἄλλῳ. ἔστι δὲ βοτάνη ὁλόχλωρος, ἔχουσα φύλλα ἐλαίᾳ παρακαμπῆ καὶ τοὺς κλάδους ἐπικαμπεῖς. καὶ ἄνθη ὡς ῥόδα.

Περὶ βουγλώσσου.

Βούγλωσσον· προφῆται γένος αἰλούρου· ὀσθάνης τζανουχέ· αἰγύπτιοι αὐτουνερινβέσωρ· ῥωμαῖοι λοπαίδβουμ· οἱ δὲ, λιβάνιν· ἄφροι αὐσατάφ· γίνεται εἰς τόπους ὁμαλοὺς καὶ ἀμμώδεις· συνάγεται δὲ ἐν ἰουλλίῳ μηνί. φασὶ δὲ πρὸς ῥίγη λυσιτελεῖν. πρὸς μὲν τριταῖον τοῦ ἔχοντος βουγλώσσου γ΄ καυλοὺς, ὅλην ἀποβρέχουσι μετὰ τῶν ῥιζῶν καὶ τοῦ σπέρματος τὴν βοτάνην, δίδουσι πιεῖν· τοῦ δὲ τέσσαρας ἔχοντος τῷ τεταρταΐζοντι· ἡ δὲ ψῆσις τούτων σὺν οἴνῳ. καὶ πρὸς ἀποστήματα φασὶν αὐτὸ χρήσιμον εἶναι. ἔοικε δὲ φλόμῳ. φύλλον χαμαιπετές, τραχύτερον καὶ μελάντερον· ὅμοιον βοὸς γλώσσῃ, ὅπερ καθιέμενον εἰς τὸν οἶνον, εὐφρόσυνον δοκεῖ εἶναι.

Περὶ κυνογλώσσου.

Κυνόγλωσσον· οἱ δὲ, φυτόν· οἱ δὲ, καβαλλάτιον· οἱ δὲ, [illegible]· οἱ δὲ, σκέλυμος· ῥωμαῖοι λίγγουα κανῖς· οἱ δὲ, λίγγουα κανῖνα. φύλλα ἔχει ἀρνογλώσσῳ τῷ πλατυφύλλῳ ἐμφερῆ, στενώτερα δὲ καὶ μικρότερα, χνοώδη, ἄκαυλον, ἐπὶ γῆς ἐστρωμένα. φύεται ἐν ἀμμώδεσι τόποις. δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα σὺν στέατι παλαιῷ ὑείῳ κυνόδηκτα καὶ ἀλωπεκίας καὶ κατακαύματα ἰᾶσθαι· ἑψηθεῖσα δὲ ἡ πόα καὶ πινομένη σὺν οἴνῳ, κοιλίας ἐστὶ μαλακτική.

Περὶ φυτεύματος.

Φύτευμα· φύλλα ἔχει ὅμοια στρουθίῳ, μικρότερα δέ. καρπὸν πολὺν τετρημένον. ῥίζαν μικρὰν λεπτὴν ἐπιπόλαιον. ἣν ἀναγράφουσί τινες εὐθετεῖν πρὸς φίλτρον.

Περὶ λεοντοποδίου.

Λεοντοπόδιον· οἱ δὲ, ζωόνυχον· οἱ δὲ ἀετόνυχον· οἱ δὲ, κνῆμος· οἱ δὲ, δαμναμένη· οἱ δὲ, ἰδιόφυτον· οἱ δὲ, φυτοβασίλεια· οἱ δὲ, κρόσπον· οἱ δὲ, κροσόφθον· προφῆται αἷμα κροκοδείλου· οἱ δὲ, κροκομέλειον· αἰγύπτιοι δαφνοίνιος· ῥωμαῖοι μανέρκιουμ· οἱ δὲ, γεσουμάτουσ· οἱ δὲ, παλλάδιουμ· οἱ δὲ, φλάμμουλα. δακτυλιαῖον ἐστὶ βοτάνιον, ἔχον φυλλάρια στενὰ ὡς τεσσάρων δακτύλων ἢ καὶ τριῶν τὸ μῆκος, δασέα, ἐριωδέστερα πρὸς τῇ ῥίζῃ καὶ ὑπόλευκα. ἐπ΄ ἄκρων δὲ τῶν καυλῶν κεφάλια ὥσπερ τετμημένα· ἄνθη μέλανα. ὁ καρπὸς δὲ αὐτοῦ δυσθεώρητος διὰ τὸ περιεχόμενον αὐτῷ χνοῦν. ῥίζα δ΄ ὕπεστι μικρά. φασὶ δὲ καὶ ταύτην εὐχρηστεῖν εἰς φίλτρα περιαπτομένην. καὶ φύματα διαφορεῖν.

# ΤΕΤΑΡΤΟΝ

Περὶ ἰσοπλώσου. κεʹ ιζ.

Ἰσόπλωσον· οἱ δέ, καὶ τοῦτο ἀντίρρινον· οἱ δέ, ἀνάρρινον· οἱ δέ, καὶ ταύτην λυχνίδα ἀγρίαν καλοῦσι· θαμνίσκος ἐστὶ μυρσίνῃ ἀγρίᾳ καὶ λεπτὰ τὰ φύλλα ὅμοιος· κόμην δὲ ἀκανθώδη ἔχει· καὶ ὑπάκρου ὡς τὴν γλωσσίδα παρὰ τοῖς φύλλοις· δοκεῖ δὲ ἡ κόμη τὸ ἴαμμα εἶναι χρήσιμον κεφαλαλγοῦσι· μίγνυται δὲ καὶ εἰς μαλάγματα ἥ τε ῥίζα καὶ τὸ χύλισμα.

Περὶ ἀντιρρίνου. κεʹ ιη.

Ἀντίρρινον· οἱ δὲ ἀνάρρινον· ἔνιοι δὲ καὶ ταύτην λυχνίδα ἀγρίαν ἐκάλεσαν. πόα ἐστὶν ἐμφερὴς ἀναγαλλίδι φύλλοις καὶ καυλῷ· τὸ δὲ ἄνθος πορφυρᾶ ὅμοια λευκοΐῳ, μικρότερα δέ· διὸ καὶ ἀγρία λυχνὶς ἐκλήθη. καρπὸν δὲ φέρει μόσχου ῥισὶν ὅμοιον· ῥῶσιν ἰδεῖν. ἱστορεῖται δὲ τοῦτο ἀντιπαθὲς εἶναι φαρμάκοις περιαπτόμενον· εὔχαρί τε ποιεῖν ἀλειφόμενον σὺν ἐλαίῳ κρινίνῳ ἢ κυπρίνῳ.

Περὶ καταναγκῆς. κεʹ ιθ.

Καταναγκη· οἱ δέ, δαμναμένη· οἱ δέ, διονυσιάς· οἱ δέ, θύρσιον· οἱ δέ, δῆμος· οἱ δέ, κῆμος· οἱ δέ, κρόπιον· προφῆται αἷμα χάρας· οἱ δέ, ἀρνόπους· ῥωμαῖοι ἔρβα φιλικλᾶ· οἱ δέ, δαπίσκα· οἱ δέ, ἰοβισμαδιούς· δακοὶ καρωπελα· ἡ μέν τις αὐτῶν ἔχει φύλλα μακρὰ ὡς κορωνόποδος· ῥίζαν λεπτήν· χειρώδη κεφαλὰς ἢ ἓξ ἢ ἑπτά· ἐν αἷς καρπὸς ὅμοιος ὀρόβῳ. κάμπτεται δὲ ξηραινόμενα ἐπὶ τὴν γῆν· καὶ ἰκτίνου ὄνυξιν ὁμοιοῦται τεθνηκότος· τὸ δὲ ἕτερον μέλος μέγεθος ἔχει μικροῦ· ῥίζαν ἢ μικρὰν ὅσον ἐλαίας σχήματι καὶ χροιᾷ ἐοικότα ἐλαίᾳ· μαλακὰ δὲ τὰ φύλλα ἐστρωμένα καὶ ἐπικεχλασμένα· καρπὸν τὸν ῥαβδίοις μικρόν· τετρημένον κατὰ πολλὰ μέρη ὡς ἐρέβινθον· ἀμφοτέρας δὲ ἱστοροῦσί τινες εἰς φίλτρα ἁρμόζειν· χρῆσθαι δὲ λέγουσιν αὐταῖς τὰς θεσσαλὰς γυναῖκας.

Περὶ τριπολίου. κεʹ ι.

Τριπόλιον· οἱ δέ, ψυχήν· οἱ δέ, μηρίς· οἱ δέ, ποταμογείτων· οἱ δέ, σαχύτης· ῥωμαῖοι καλιουμαρης· φύεται ἐν παραθαλασσίοις τόποις οὓς ἐπικλύζει ἡ θάλασσα καὶ ὑποχωρεῖ· οὔτε δὲ ἐν ξηρᾷ οὔτε ἐν θαλάσσῃ. φύλλα δὲ ἔχει ἰσάτιδι παραπλήσια· ξηρά· πλατύτερα μέντοι· καυλὸν σπιθαμιαῖον· ἄνθος ἐπικεχλασμένον· ταύτης ἱστορεῖται τὸ ἄνθος τρὶς τῆς ἡμέρας μεταβάλλειν τὸ χρῶμα· πρωὶ μὲν λευκόν· κατὰ δὲ τὴν μεσημβρίαν πορφυρίζον· ὀψὲ δὲ φοινικοῦν. ῥίζα λευκὴ εὐώδης· θερμαντικὴ δυνάμει. ταύτης πινομένης ἐν οἴνῳ < β´ πλῆθος, κατὰ κοιλίας ὕδωρ ἄγει καὶ οὖρα. πέμπεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Περὶ ἀδιάντου. κεʹ ια.

Ἀδίαντον· οἱ δέ, πολύτριχον· οἱ δέ, καλλίτριχον· οἱ δέ, τριχομανές· οἱ δέ, ἐβενότριχον· οἱ δέ, ἄφθιον· οἱ δέ, κόσμον ἔνυγρον· αἰγύπτιοι ἐπέρ· ῥωμαῖοι κινκινάλις· οἱ δέ, τέρραι κα πίλλους· οἱ δέ, σουπερκίλιουμ τέρραι· δακοὶ φιθοφθεθελα. φύλλα μὲν ἔχει κοριάνδρῳ ὅμοια· ἐπεσχισμένα ὑπάκρου· τὰ δὲ καυλία ἐφ᾽ ὧν ἐκπέφυκε μέλανα· ἰσχυρῶς λεπτά, σπιθαμιαῖα· στίλβοντα· φύλλα ὅμοια πτερίδι· μικρὰ λίαν· οὔτε δὲ καυλὸν οὔτε ἄνθος οὔτε καρπὸν φέρει· ῥίζα ἄχρηστος· δύναται δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον, βοηθεῖν ἀσθματικοῖς· δυσπνοικοῖς· ἰκτερικοῖς· σπληνικοῖς, δυσουροῦσι· θρύπτει δὲ καὶ λίθους· καὶ κοιλίαν ἵστησι· θηριοδήκτοις βοηθεῖ· καὶ στομάχου ῥεύματι σὺν οἴνῳ πινόμενον· ἄγει δὲ τὰ ἔμμηνα καὶ λόχια· ἵστησι δὲ καὶ αἵματος ἀναγωγήν· καταπλάττεται δὲ πρὸς θηριόδηκτα ὠμόν· καὶ ἀλωπεκίας δασύνει· χοιράδας σκορπίζει· ἀποσμᾶ πίτυρα καὶ ἀχῶρας σὺν κονίᾳ· σὺν λαδάνῳ δὲ καὶ μυρσινίνῳ καὶ σουσίνῳ ἢ ὑσσώπῳ καὶ οἴνῳ τρίχας ῥεούσας ἐπικρατεῖ· καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ σὺν κονίᾳ καὶ οἴνῳ σμηχόμενον· μιγνύμενον τῇ τροφῇ ἀλεκτρυόνας καὶ τοὺς ὄρτυγας μαχιμωτέρους [illegible] φύεται δὲ [illegible] ἐν τοῖς

μανδραις. φύεται δὲ ἐν παλισκίοις καὶ ἐλώδεσι τόποις καὶ τοίχοις ἐνίκμοις· καὶ περὶ τὰς κρήνας.

Περὶ τριχομανοῦς. κεφ. ριβ΄.

Τειχομανές· οἱ δὲ, πτέριον· οἱ δὲ, ὄπτερον· ῥωμαῖοι καπιλλάρεμ· οἱ δὲ, πίνουλαμ· οἱ δὲ, φιλικλάμ· οἱ δὲ, καὶ τοῦτο ἀδίαντον καλοῦσι. φύεται κατὰ τοὺς αὐτοὺς τόπους. ὅμοιον πτερίδι. μικρὸν λίαν. στοιχηδὸν ἐξ ἑκατέρου μέρους τὰ φύλλα ἔχον λεπτά· φακοειδῆ ἐναντία ἀλλήλοις. ἐπὶ ῥαβδίων λεπτῶν καὶ στιλπνῶν καὶ στρυφνῶν· ὑπομελάνων. δοκεῖ δὲ τὰ αὐτὰ δύνασθαι τῷ προειρημένῳ.

Περὶ ξανθίου. κεφ. ριγ΄.

Ξάνθιον· οἱ δὲ, φάσγανιον· οἱ δὲ ἀντιθέσποτοι· οἱ δὲ χάστικον· οἱ δὲ, χοιραδόλεθρον· οἱ δὲ, καὶ τοῦτο ἀπαρίνην καλοῦσι. ῥωμαῖοι λάππα. φύεται ἐν δυσγείοις τόποις καὶ λίμναις ἀνεξηραμμέναις. καυλὸν ἔχει πηχυαῖον. λιπαρόν. γωνιοειδῆ. καὶ ἀπ᾽ αὐτοῦ μασχάλας πλείονας. ἀτραφάξει δὲ τὰ φύλλα ἐμφερῆ ἔχει· ἐντομὰς ἔχοντα. καρδάμῳ δὲ τὴν ὀσμὴν παραπλήσια. καρπὸν δὲ στρογγύλον ὡς ἐλαίαν μεγάλην. ἀκανθώδη ὡς πλατάνου σφαῖρα. ἀντιλαμβανόμενον τῶν ἱματίων κατὰ τὴν ψαῦσιν. δύναται δὲ ὁ καρπὸς πρὶν τελέως ξηρανθῆναι, συλλεγεὶς καὶ κοπεὶς καὶ ἀποτεθεὶς εἰς κεραμεοῦν ἀγγεῖον, ξανθὰς τρίχας ποιεῖν· ἐάν τις ἐπὶ τῇ χρήσει λαβὼν τρυβλίου πλῆθος ἐξ αὐτοῦ, διέσῃ ὕδατι χλιαρῷ, καὶ προσεκνίψας τὴν κεφαλὴν καταπλάσῃ. τινὲς δὲ καὶ μετὰ οἴνου κόψαντες αὐτὸ, ἀποτίθενται. καταπλάττεται δὲ καὶ πρὸς οἰδήματα ὁ καρπὸς ἐπιτηδείως.

Περὶ αἰγίλωπος. κεφ. ριδ΄.

Αἰγίλωψ· οἱ δὲ, σιτόσπελος· οἱ δὲ, σίφων· οἱ δὲ, βρῶμος· ῥωμαῖοι ἀβένα. βοτάνιον ἐστὶ φύλλα πυρῷ ἔχον ὅμοια. μαλακώτερα δὲ ἐπ᾽ ἄκρας δὲ τῆς κεφαλῆς, καρποὺς ἔχει β΄ ἢ γ΄ ἐρυθρούς. ἐφ᾽ ὧν ἀθέρες οἱονεὶ τρίχες ἐκπεφύκασι. θεραπεύει δὲ ἡ πόα μετὰ ἀλεύρου καταπλασθεῖσα αἰγίλωπα. καὶ σκληρίας διαφορεῖ. ἀποτίθεται δὲ ὁ χυλὸς πρὸς τὰ αὐτὰ μιγεὶς ἀλεύρῳ καὶ ξηρανθείς.

Περὶ βρώμου. κεφ. ριε΄.

Βρῶμος ἡ πόα· οἱ δὲ, σιφώνιον· οἱ δὲ, ἀκρίσπελος· ῥωμαῖοι ἀβέναμ. πόα ἐστὶν αἰγίλωπι ἐμφερής. δύναμιν ἔχουσα ξηραντικήν. ἀφεψηθεῖσα οὖν σὺν ταῖς ῥίζαις μεθ᾽ ὕδατος, ἕως ἀποτριτωθῇ τὸ ἀπόζεμα, διυλίζων αὐτὸ, ἐπίμισγε μέλιτος ἴσον τὸν· καὶ ἕψε μέχρις ἂν σχῇ πάχος ὑγροῦ μέλιτος. καὶ χρίε ἐπὶ τῶν ὀζαινικῶν, ἐμβρέχων ὀθόνιον προστίθεις τῷ μυκτῆρι. καὶ καθ᾽ ἑαυτὸ μέντοι ποιεῖ οὕτως. ἔνιοι δὲ καὶ ἀλόην λειώσαντες προσμίσγουσι. καὶ οὕτω χρῶνται. ποιεῖ δὲ καὶ μετὰ ῥόδων ξηρῶν ἀφεψηθεὶς σὺν οἴνῳ πρὸς τὰς τοῦ στόματος δυσωδίας.

Περὶ γλαυκός. κεφ. ρις΄.

Γλαὺξ. κυτίσῳ ἢ φακῷ τὰ φύλλα ἔοικεν· ὑπτία καὶ τὸ ἐντὸς λευκότερα. ἄνωθεν δὲ χλωρά. κλωνία δὲ ἀπὸ γῆς ἀφίησι πέντε ἢ ς΄ λεπτὰ σπιθαμιαῖα ἀπὸ τῆς ῥίζης. ἄνθη λευκοΐοις ὅμοια. μικρότερα δὲ πορφυρᾶ. φύεται παρὰ θάλατταν. αὕτη ἑψομένη μετὰ ἀλεύρου κριθίνου καὶ ἁλὸς καὶ ἐλαίου καὶ ῥοφηθεῖσα, γάλα σβεννύμενον ἀνακαλεῖται.

Περὶ πολυγάλου. κεφ. ριζ΄.

Πολύγαλον· θαμνίον ἐστὶ σπιθαμιαῖον. ἔχει φύλλα φακοειδῆ. γεύσει ὑπόστρυφνον. ποθὲν δὲ καὶ τοῦτο, γάλα δοκεῖ πλεῖον ποιεῖν.

Περὶ ὀσύριδος. κεφ. ριη΄.

Ὄσυρις φρυγάνιον μέλαν. λεπτόραβδον. δύσθραυστον. καὶ περὶ αὐτὸ φυλλάρια γ΄. ἔστι δὲ καὶ δ΄ ἢ ε΄ ἢ ς΄ αὐτῶν ὥσπερ λίνου μέλανα καταρχάς. μεταβαλλόμενα δὲ ὑπέρυθρα γίνεται. ταύτης τὸ ἀφέψημα πινόμενον ἰκτέρῳ βοηθεῖ.

Περὶ σμίλακος τραχείας. κεφ. ριθ΄.

Σμίλαξ τραχεῖα· οἱ δὲ, ἐπάπτις· οἱ δὲ, λυκάνθεμον· οἱ δὲ, κυνόσβατον· οἱ δὲ, ἀνίκητον· οἱ δὲ, ἡλιόφυτον.

φυτεῦ. οἱ δὲ ἀνατολικόν, οἱ δὲ δυτικόν. οἱ δὲ ἐλίδα. Αἰγύπτιοι ἀνιθφί. Ῥωμαῖοι μὲν ῥῆνα. οἱ δὲ σκοιράδια. τὰ μὲν φύλλα ἔχει περικλυμένῳ ὅμοια. καὶ κλήματα πολλά. λεπτά. ἀκανθώδη ὡς παλίουρος ἢ βάτος. ἑλίσσεται περὶ τὰ δένδρα ὡς ἄνω καὶ κάτω κρεμομένη. καρπὸν δὲ φέρει βοτρυοειδῆ ὡς ἐπὶ φυλλίδι. πεπανθέντα δὲ ἐρυθρόν. ὑποδάκνοντα ἠρέμα ἐν τῇ γεύσει. ῥίζαν σκληράν. παχεῖαν. φύεται ἐν τόποις ἑλώδεσι καὶ τραχέσι. ταύτης τὰ φύλλα καὶ ὁ καρπὸς θανασίμων ἐστὶν ἀντίδοτος. προπινόμενα. ἐπιπινόμενα. παραδίδοται, ὅτι ἐάν τις ἀρτιγενεῖ παιδίῳ τρίψας τι τούτων δῷ πιεῖν, ὑπ᾽ οὐδενὸς δηλητηρίου φαρμάκου βλαβήσεται.

Περὶ σμίλακος λείας. κε. ρκ'.

Σμίλαξ λεία· ὅμοια κισσῷ τὰ φύλλα ἔχει. μαλακώτερα δὲ καὶ λειότερα καὶ λεπτότερα. τὰ δὲ κλήματα ὡς ἡ πρὸ αὐτῆς ἀκάνθας οὐκ ἔχοντα. ἑλίσσεται δὲ περὶ τὰ δένδρα ὡς ἡ προτέρα. καρπὸν δὲ ἔχει ὡς τῆς θέρμου μέλανα μικρόν. ἄνω δὲ ἐπάνω ἔχοντα ἄνθη λευκὰ πολλά. κατὰ πᾶσαν τὴν σμίλακα καὶ περιφερῆ. καὶ σκιαὶ δι᾽ αὐτῆς γίνονται τοῦ θέρους. φυλλορροεῖ δὲ τῷ φθινοπώρῳ. τούτου ὁ καρπὸς μετὰ δορυκνίου πινόμενος, τριωβόλου ὁλκὴ ἑκατέρου ἐνύπνια πολλὰ καὶ ταραχώδη ὁρᾶν ἱστορεῖται.

Περὶ μυρσίνης ἀγρίας. κε. ρκα'.

Μυρσίνη ἀγρία. οἱ δὲ μυρτάκανθα. οἱ δὲ ἱερόμυρτον. οἱ δὲ ὀξυμυρσίνη. οἱ δὲ μυάκανθα. οἱ δὲ ἄγριον. οἱ δὲ σκίγχον. οἱ δὲ μάνθη. οἱ δὲ κατάγγελος. οἱ δὲ ἀνάγγελος οἱ δὲ ἀκαιρόν. οἱ δὲ ὀκνηρόν. οἱ δὲ κίτνη. οἱ δὲ λεχένη. οἱ δὲ χαμαιπίτυς. οἱ δὲ χαμαιμύρτη. Βοιωτοὶ δὲ μυρρινιάς. προφῆται γόνος Ἡρακλέους. Ῥωμαῖοι ῥούσκουμ. τὸ μὲν φύλλον μυρσίνῃ ἔχει ὅμοιον. πλατύτερον δέ. λογχοειδές. ὀξὺ ἐπ᾽ ἄκρου. τὸν δὲ καρπὸν στρογγύλον. ἐν μέσῳ δὲ τῷ πετάλῳ περιφερῆ. ἐρυθρὸν ἐν τῷ πεπαίνεσθαι. ἔχοντα τὸ ἐντὸς ὀστῶδες. κλωνία λυγώδη πολλὰ ἐκ τῆς ῥίζης αὐτῆς. δυσθραυστα. ὅσον πηχυαῖα. φύλλων μεστά. ῥίζαν παραπλησίαν ἀγρώστει. γευομένῳ στρυφνήν. ὑπόπικρον. δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς ἐν οἴνῳ πινόμενα, οὖρα κινεῖν. καταμήνια ἄγειν, καὶ λίθους τοὺς ἐν κύστει θρύπτειν. θεραπεύει δὲ καὶ ἴκτερον καὶ στραγγουρίαν. καὶ κεφαλαλγίαν. φύεται ἐν τραχέσι τόποις καὶ κρημνώδεσι. καὶ τὸ ἀφέψημα δὲ τῆς ῥίζης σὺν οἴνῳ ποθέν, τὰ αὐτὰ ποιεῖ. καὶ ἀντὶ ἀσπαράγου δὲ οἱ καυλοὶ νεοθαλεῖς λαχανευόμενοι ἐσθίονται. εἰσὶ δὲ ἔμπικροι καὶ διουρητικοί.

Περὶ δάφνης. κε. ρκβ'.

Δάφνη Ἀλεξάνδρεια. οἱ δὲ ἰδαία. οἱ δὲ δανάη. οἱ δὲ ὑπόγλωττον. οἱ δὲ ζάλεια. οἱ δὲ στεφάνη. οἱ δὲ δάφνος. οἱ δὲ σαμοθρακική. οἱ δὲ μέθριον οἱ δὲ ὑπογλώσσιον. φύλλα ὀξυμυρσίνῃ ὅμοια ἔχει μείζονα δὲ καὶ μαλακώτερα καὶ λευκότερα. καρπὸν δὲ ἐν μέσοις ἐρυθρὸν ἐρεβίνθου τὸ μέγεθος. κλῶνας ἐπὶ γῆς σπιθαμιαίους ἢ καὶ μείζονας. ῥίζαν παραπλησίαν τῇ ὀξυμυρσίνῃ. μείζονα δὲ καὶ εὐώδη καὶ μαλακωτέραν. φύεται ἐν τόποις ὀρεινοῖς. δύναμιν δὲ ἔχει ἡ ῥίζα πινομένη < ϛ' πλῆθος μετ᾽ οἴνου γλυκέος, βοηθεῖν ταῖς δυστοκούσαις καὶ στραγγουριώσαις. ἄγει δὲ καὶ αἷμα.

Περὶ δαφνοειδοῦς. κε. ρκγ'.

Δαφνοειδὲς ὅμοιον ἀλύπῳ ἄνθος ὡς νυμφαίας. καὶ μέσον τούτου κώνῳ ἐμφερὲς ἐν ᾧ τὸ σπέρμα. οἱ δὲ εὐπέταλον. οἱ δὲ χαμαιδάφνην. οἱ δέ, πετάλιον καλοῦσι. θαμνίσκος ἐστὶ πηχυαῖος. κλάδους πολλοὺς ἔχων ἱμαντώδεις πρὸς τὸ ἄνωθεν ἥμισυ. φυλλοφόρους. φλοιὸς δὲ περὶ τὰς ῥάβδους γλίσχρος ἰσχυρῶς. φύλλα δάφνῃ ἐοικότα. μαλακώτερα δὲ καὶ ἰσχνότερα καὶ οὐκ εὔθλαστα. δάκνοντα καὶ πυροῦντα τὸ στόμα καὶ φάρυγγα.

αὐτῇ λευκὰ καρπὸς μέλας ὅταν πεπανθῇ. ῥίζα ἄχρηστος. φύεται ἐν ὀρεινοῖς τόποις. ἄγει δὲ καὶ τὸ φύλλον αὐτοῦ ξηρὸν ἢ νεαρὸν ποθὲν κατὰ κοιλίαν φλεγματώδη. κινεῖ καὶ ἐμέτους καὶ ἔμμηνα. καὶ διαμασηθὲν ἀποφλεγματίζει. ἔστι δὲ καὶ πταρμικόν. καθαίρει δὲ καὶ ὁ καρπὸς αὐτοῦ ὅσοι κόκκοι ιε´ πινόμενοι.

## Περὶ χαμαιδάφνης. ϡξδ´.

Χαμαιδάφνη. οἱ δέ, καὶ ταύτην ἀλεξάνδρειαν ἐκάλεσαν. οἱ δὲ δαφνίτην. οἱ δὲ ὑδραγωγόν. ῥωμαῖοι λαυρίολα. οἱ δὲ λαντάγο. γάλλοι οὐσουβίμ. ῥάβδους ἀνίησι μονοκλώνους πηχυαίους. ὀρθάς. λεπτὰς καὶ λείας. καὶ ταύτης δὲ τὰ φύλλα ὅμοια δάφνῃ. λειότερα δὲ πολλῷ καὶ χλωρότερα. καρπὸν δὲ περιφερῆ ἐρυθρόν. τοῖς φύλλοις ἐμπεφυκότα. ταύτης τὰ φύλλα λεῖα καταπλασθέντα, κεφαλαλγίαις καὶ στομάχου ἐγκαύσεσιν ἀρήγει. ποθέντα δὲ μετ' οἴνου στρόφους παύει. ὁ δὲ χυλὸς σὺν οἴνῳ πιπιζόμενος καταμήνια καὶ οὖρα ἄγει. καὶ ἐν πεσσῷ προστεθεὶς τὸ αὐτὸ ποιεῖ.

## Περὶ ἐλλεβόρου λευκοῦ. ϡξε´.

Ἐλλέβορος λευκός. οἱ δὲ ἀσκίδα. οἱ δὲ ἄτομον. οἱ δὲ πεντατόξαρις. προφῆται γόνος ἡρακλέους. οἱ δὲ πολύειδος. οἱ δὲ ἀναφυσος. αἰγύπτιοι σομθία. οἱ δὲ σιῶρι. ῥωμαῖοι βεράτρουμ ἄλβουμ. γάλλοι λαύτιον. οἱ δὲ ἀνεψά. φύλλα ἔχει ὅμοια τοῖς τοῦ ἀρνογλώσσου. ἢ σεύτλου ἀγρίου, βραχύτερα δὲ καὶ μελάντερα ὑπέρυθρα τὴν χροιάν. καυλὸν δὲ παλαιστιαῖον. κοῖλον. περιφλοιζόμενον ὅτε ἄρξεται ξηραίνεσθαι. ῥίζαι δ' ὕπεισι πολλαὶ λεπταί. ἀπὸ κεφαλίου μικροῦ καὶ ἐπιμήκους. ὡς περὶ κρομμύου συμπεφυκυῖαι. φύεται ἐν ὀρεινοῖς τόποις καὶ τραχέσι. συλλέγειν δὲ δεῖ τὰς ῥίζας περὶ τὸν πυραμητόν. ἄριστος δέ ἐστιν αὐτοῦ, ὁ μετρίως τεταμένος καὶ λευκός. καὶ εὔθραυστος καὶ σαρκώδης. οὐκ ἀποξὺς δὲ καὶ σχοινώδης. ἢ χνοώδης ἀφιεὶς ἐν τῷ θραύεσθαι. ἔχων δὲ καὶ τὴν ἐντεριώνην λεπτήν. ἐκ πυρῶν τὴν γεῦσιν οὐ λίαν, οὐδὲ ἀθρόως σίελον ἐπισπώμενος. πνιγώδης δὲ ὁ τοιοῦτος. πρωτεύει δὲ ὁ κυρηναϊκός. ὁ δὲ γαλατικὸς καὶ καππαδοκικός, λευκότερος καὶ χνοώδης καὶ πνιγωδέστερος. καθαίρει δὲ δι' ἐμέτων ἄγων ποικίλα. μίγνυται δὲ καὶ κολλυρίοις τοῖς δυναμένοις τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρειν. καὶ ἔμμηνα ἄγει. καὶ ἔμβρυα κτείνει προστιθέμενος. πταρμούς τε ἐρεθίζει. καὶ μύας κτείνει σὺν μέλιτι καὶ ἀλεύρῳ φυραθείς. συγκαθεψόμενος δὲ κρέασι, συντήκει αὐτά. δίδοται δὲ νήστεσι καθ' αὑτὸν καὶ μετὰ σησάμου καὶ θερμίας χυλοῦ. ἢ ἄλικος ἢ μελικράτου ἢ πολτοῦ ἢ φακοῦ ἢ ἄλλου ῥοφήματος. συναπτοποιεῖται δὲ καὶ ἄρτος ὀπτᾶται. ἡ δὲ προσαγωγὴ καὶ ἐπιδιαίτησις, ἐξείργασται τοῖς προηγουμένως περὶ δόσεως αὐτῆς γράψασι. μάλιστα δὲ συγκατατιθέμεθα Φιλωνίδῃ τῷ σικελῷ τῷ ἀπὸ ἔννης. μακρὸν γάρ ἐστιν ἐν ὕλης παραδόσει προηγουμένως θεραπευτικὴν ἐκτίθεσθαι ἀγωγήν. διδόασι δὲ ἔνιοι σὺν πατοῦ ῥοφήματι ἢ χόνδρου πλήθει. ἢ καὶ τροφὴν ὀλίγην προδιδόντες, ἐπιδιδόασι τὸν ἐλλέβορον εὐθέως. ἐφ' ὧν μάλιστα πνιγμὸς ὑποπτεύεται ἢ ἀσθένεια σώματος ὑπόκειται. ἀκίνδυνος γάρ ἐστι τῶν οὕτω συμβαινόντων ἡ κάθαρσις. διὰ τὸ μὴ ἀκαίρως τὸ φάρμακον παρατίθεσθαι τοῖς σώμασι. καὶ βάλανοι δὲ ἐξ αὐτοῦ προστιθέασι τῇ ἕδρᾳ μετοξους, ἐμέτους κινοῦσιν.

## Περὶ ἐλλεβόρου μέλανος. ϡξϛ´.

Ἐλλέβορος μέλας. οἱ δὲ μελαμπόδιον. οἱ δὲ ἔκτομον. οἱ δὲ πολύρριζον. οἱ δὲ πρώτιον. οἱ δὲ μελανόρριζον. οἱ δὲ κιρραΐνιον. προφῆται ζωμαρίτιον. αἰγύπτιοι ἰσοία. οἱ δὲ ἐλαφινέ. οἱ δὲ νκεμελέγ. ῥωμαῖοι βεράτρουμ νίγρουμ. οἱ δὲ σαράκα. δάκοι προδιόρνια. μελαμπόδιον λέ-

γεται

ον. ἐπειδὴ δοκεῖ μελάμπους τὶς αἰπόλος τὰς προίτου θυγατέρας, μανείσας ἐν αὐτῷ καθῆραι πρῶτος καὶ θεραπεῦσαι. ἔχει δὲ τὰ φύλλα χλωρά, πλατάνῳ προσεμφερῆ. ἐλάττονα δὲ πρὸς τὰ τοῦ σφονδυλίου καὶ πολυσχιδέστερα καὶ μελάντερα καὶ ὑποτραχέα. καυλὸς, τραχύς. ἄνθη δὲ λευκὰ ἐμπόρφυρα, τῷ δὲ σχήματι βοτρυώδη. καὶ ἐν αὐτῷ καρπὸς κνίκῳ ὅμοιος. ὃν καὶ αὐτὸν καλοῦσιν οἱ ἐν ἀντικύρᾳ σησαμοειδῆ· χρώμενοι πρὸς τὰς καθάρσεις αὐτῷ. ῥίζαι δὲ ὕπεισι λεπταί, μέλαιναι. οἱονεὶ ἀπό τινος κεφαλίου κρομμυώδους ἠρτημέναι, ὧν καὶ ἡ χρῆσις. φύεται ἐν τραχέσι καὶ γεωλόφοις καὶ καταξήροις τόποις. καὶ ἔστιν ἄριστος ὁ ἐκ τῶν τοιούτων λαμβανόμενος χωρίων. οἷός ἐστιν ὁ ἐξ ἀντικύρας. καὶ γὰρ ὁ μέλας καὶ κάλλιστος ἐν αὐτῇ γεννᾶται. ἐκλέγου δὲ τὸν εὔσαρκον καὶ εὔτροφον. λεπτὴν ἔχοντα τὴν ἐντεριώνην. δριμὺν ἐν τῇ γεύσει καὶ πυρώδη. τοιοῦτος δέ ἐστιν ὁ ἐν τῷ ἑλικῶνι καὶ παρνασσῷ καὶ αἰτωλίᾳ φυόμενος. διαφέρει μέντοι ὁ ἑλικώνιος. καθαίρει δὲ τὴν κάτω κοιλίαν, ἄγων φλέγμα καὶ χολήν. καθ' ἑαυτὸν ἢ μετὰ σκαμμωνίας διδόμενος· καὶ ἁλῶν < α ἢ τριωβόλου ὁλκῆς. συνέψεται δὲ καὶ φακῇ. καὶ ζωμοῖς τοῖς εἰς κάθαρσιν λαμβανομένοις. ὠφελεῖ δὲ ἐπιληπτικούς. μελαγχολικούς. μαινομένους. ἀρθριτικούς. παραλελυμένους. προστεθεὶς δὲ, ἔμμηνα ἄγει. καὶ ἔμβρυα κτείνει. σύριγγάς τε καθαίρει κατατιθεὶς καὶ μετὰ τρίτην ἐξαιρεθείς. ὁμοίως καὶ ἐπὶ δυσηκοούντων καθίεται εἰς τὸ οὖς, ἐώμενος ἐπὶ β' ἢ γ' ἡμέρας. θεραπεύει δὲ καὶ ψώρας μετὰ λιβανωτοῦ καὶ κηροῦ καὶ πίσσης καὶ κεδρίνου ἐλαίου καταχριόμενος. μετ' ὄξους δὲ καθ' ἑαυτὸν καταπλασσόμενος, ἀλφοὺς καὶ λειχῆνας καὶ λέπρας θεραπεύει. ἑψηθεὶς δὲ σὺν ὄξει ὀδονταλγίας πραΰνει διακλυζόμενος. σηπτικοῖς τε μίσγνυται. μετὰ δὲ κριθίνου ἀλεύρου καὶ οἴνου, κατάπλασμά ἐστιν ὑδρωπικοῖς ὠφέλιμον. συμφυτευθεὶς δὲ ἀμπέλοις πρὸς τῇ ῥίζῃ, τὸν ἐξ αὐτῶν οἶνον καθαρτικὸν ἐργάζεται. περιῤῥαίνουσι δὲ καὶ οἰκίας αὐτὸν καθαρτικὸν εἶναι νομίζοντες. ὅθεν καὶ ὀρύσσοντες ἵστανται προσευχόμενοι ἀπόλλωνι καὶ ἀσκληπιῷ, φυλαττόμενοι ἀετόν. ἐφίπτασθαι γάρ φασιν οὐκ ἀκινδύνως. δίδωσι γὰρ θάνατον ὁ ὄρνις ἐὰν περιίδῃ τὴν ὄρυξιν τοῦ ἐλλεβόρου. συντόμως δὲ δεῖ ὀρύττειν. διὰ τὸ καρηβαρίαν ἐκ τῆς ἀποφορᾶς γίνεσθαι. ὅθεν εἰς προφυλακὴν οἱ ὀρύττοντες, ἐσθίουσι σκόροδα. καὶ οἶνον πίνουσιν. ἀβλαβέστεροι γὰρ οὕτω διατίθενται. ἐξεντερίζεται δὲ ὥσπερ καὶ ὁ λευκὸς ἐλλέβορος.

### Περὶ σησαμοειδοῦς τοῦ μεγάλου. κε'. φκζ'.

Σησαμοειδὲς τὸ μέγα. οἱ δὲ σησαμίτης. οἱ δὲ σησαμίς. οἱ δὲ λευκοσκυτάλιον. οἱ δὲ ἐλλέβορος λευκός. οἱ δὲ ἀντικύρικον. οἱ δὲ ἐν ἀντικύρᾳ, ἐλλέβορον καλοῦσι, διὰ τὸ μίσγνυσθαι ἐν ταῖς καθάρσεσι τῷ λευκῷ ἐλλεβόρῳ. ἔοικε δὲ πόᾳ ἠριγέροντι ἢ πηγάνῳ. φύλλα, μακρά. ἄνθος, λευκόν. ῥίζα, ἰσχνή. ἄπρακτος. ὅμοιον σησάμῳ. πικρὸν ἐν τῇ γεύσει. ὃ καθαίρει τὴν ἄνω κοιλίαν. φλέγμα τε καὶ χολὴν ὅσον τοῖς τρισὶ δακτύλοις λειοῦν ληφθὲν μετὰ ἐλλεβόρου λευκοῦ τριῶν ἡμιωβόλων σὺν μελικράτῳ.

### Περὶ σησαμοειδοῦς τοῦ μικροῦ. κε'. φκή.

Σησαμοειδὲς τὸ μικρόν. οἱ δὲ κορώνιον. οἱ δὲ σήσαμον ἄγριον καλοῦσι. καυλία ἐστὶ σπιθαμιαῖα. ἔχοντα φύλλα κορωνόποδι ὅμοια. δασύτερα μέντοι καὶ μικρότερα. ἐπ' ἄκρου δὲ τῶν καυλίων κεφάλια ἀνθῶν ὑποπορφύρων. ὧν τὸ μέσον, λευκόν. ἐν οἷς σπέρμα σησάμῳ ἐοικός. πικρόν. κιῤῥόν. ῥίζα, λεπτή. καθαίρει δὲ χολὴν καὶ φλέγμα πόσει τὸ

σπέρμα, ὀξυβάφου ἥμισυ σὺν μελικράτῳ. καταπλασθὲν δὲ μεθ᾽ ὕδατος, φύματα καὶ οἰδήματα διαφορεῖ. φύεται ἐν τραχέσι χωρίοις.

Περὶ σίκυος ἀγρίου. κεφ. ψκθ΄.

Σίκυς ἄγριος· οἱ δὲ ἐλατήριον· οἱ δὲ γρῶνον· οἱ δὲ βαλίς· οἱ δὲ σύγκρισις· οἱ δὲ βουβάλιον· οἱ δὲ σκόπιον· οἱ δὲ φέρομβρον· οἱ δὲ πυκεδανόν· οἱ δὲ νόπιον· Ῥωμαῖοι ἀγρέτουμ· οἱ δὲ ἀγρέστεμ. Ἄφροι κουσιμεζάρ. τῷ καρπῷ μόνῳ διαφέρει τοῦ ἡμέρου σίκυος· ἐλάσσονα πολλῷ ἔχων βαλανίοις ἐπιμήκεσιν ἐοικότα. τὰ φύλλα καὶ τὰ κλήματα ἡμέρῳ ὅμοια· ῥίζαν δὲ λευκὴν καὶ μεγάλην. φύεται ἐν οἰκοπέδοις καὶ ἀμμώδεσι τόποις. ὅλος δὲ ὁ θάμνος πικρός. ἁρμόζει δὲ ὁ τῶν φύλλων χυλὸς ἐνσταζόμενος ὠταλγίαις. ἡ δὲ ῥίζα καταπλασθεῖσα μετὰ ἀλφίτου πᾶν οἴδημα παλαιὸν διαφορεῖ. μετὰ ῥητίνης δὲ τερεβινθίνης ἐπιτεθεῖσα, φύματα ῥήσσει. μετὰ ὄξους δὲ ἑψηθεῖσα καὶ καταπλασθεῖσα, ποδάγρας διαφορεῖ καὶ ἰσχιάδος δὲ ὄξει ἔγκλυσμα. καὶ ὀδονταλγίαις διάκλυσμα τὸ ἀφέψημα. ξηρὰ δὲ λεία ἀλφούς, λέπρας καὶ λειχῆνας σμήχει. οὐλάς τε μελαίνας καὶ σπίλους τοὺς ἐν προσώπῳ ἀποκαθαίρει. καὶ ὁ χυλὸς δὲ τῆς ῥίζης, πλῆθος τριῶν ἡμιωβολίων τὸ ἐλάχιστον. καὶ ὁ φλοιὸς δὲ ὅσον τέταρτον ὀξυβάφου καθαίρει φλέγμα καὶ χολήν. καὶ μάλιστα ἐπὶ ὑδρωπικῶν. δίχα δὲ τοῦ τὸν στόμαχον ἀδικεῖν ποιεῖται τὴν κάθαρσιν. δεῖ δὲ τῆς ῥίζης λαβόντα, ἡμιλίτρον, μετὰ δυοῖν ξεστῶν οἴνου μάλιστα λιβυκοῦ λεαίνειν καὶ διδόναι ἐκ τούτου κυάθους γ΄ νήστεσι παρ᾽ ἡμέρας γ΄ ἕως ἂν ὁ ὄγκος ἱκανῶς συσταλῇ.

Περὶ ἐλατηρίου. κεφ. ψλ΄.

Τὸ δὲ λεγόμενον ἐλατήριον, ἐκ τοῦ καρποῦ τῶν σικύων σκευάζεται τὸν τρόπον τοῦτον. τοὺς ἄμα τῷ ἅψασθαι σικύους ἀποπηδῶντας ἐκλέγων, ἀποτίθεσο ἐπὶ νύκτα. τῇ δὲ ὑστεραίᾳ ἐπὶ κρατῆρι κόσκινον μὴ πυκνὸν ἐπιθείς, καὶ μαχαίριον ὕπτιον ἁρμόσας, τὴν ἀκμὴν ἔχον ἄνω, λαμβάνων ἀμφοτέραις ταῖς χερσὶ καθ᾽ ἕνα τῶν σικύων, διαίρει καὶ ἔκθλιβε διὰ τοῦ κοσκίνου τὸ ὑγρὸν εἰς τὴν ὑποκειμένην κρατηρίαν. προσεκθλίβων καὶ τὸ ἐν αὐτοῖς σαρκῶδες ὃ δὴ προσπίπτει τῷ κοσκίνῳ, ἵνα καὶ αὐτὸ διεκπίπτῃ. καὶ ὅταν ὅλον ἐκθλίψῃς, ἔασον αὐτὸ καταστῆναι. καὶ εἰς λεκάνην παρακειμένην τὰ ἐκθλιβόμενα βάλλε. σαρώσας δὲ τὰ τετμημένα ἐπὶ τοῦ κοσκίνου, ὕδατι γλυκεῖ περιχέας καὶ ἀποπιέσας, ταῦτα μὲν ῥίπτει. ταράξας δὲ τὸ ἐν τῇ λεκάνῃ ὑγρὸν καὶ σκεπάσας ὀθόνῃ, τίθεσο ἐν ἡλίῳ. καὶ ὅτε στῇ, πᾶν τὸ ἐπινηχόμενον ὕδωρ μετὰ τοῦ ἐπιπάγου, ἀπόχει. καὶ τοῦτο ποίει πολλάκις ἄχρις οὗ καταστῇ τὸ ἐφιστάμενον ὕδωρ. ὅπερ ἐκστραγγίσας ἐπιμελῶς, τὴν ὑπόστασιν βαλὼν εἰς θυίαν, λέαινε. καὶ ἀνάπλαττε τροχίσκους. ἔνιοι δὲ πρὸς τὸ ταχέως αὐτὸ ἐκμαδῆναι τὸ ὑγρόν, τέφραν σεσησμένην ἐπὶ γῆς καταστρώσαντες καὶ κοιλάναντες τὸ μέσον, ὀθόνιον τρίπλουν ἐπιτείναντες, κατὰ τούτου τὸ ἐλατήριον σὺν τῇ ἰκμάδι ἐπιχέουσιν. ἀναξηρανθὲν δὲ ἐν θυίᾳ λεαίνουσιν ὡς προείρηται. ἔνιοι δὲ ἀντὶ τοῦ ὕδατος θάλατταν παραχέοντες, πλύνουσιν. οἱ δὲ, τῇ τελευταίᾳ πλύσει μελίκρατον παραχέουσι. δοκεῖ δὲ ἐλατήριον κάλλιστον εἶναι τὸ μετὰ τοῦ λευκοῦ ὑπόχλωρον, ἔνικμον. κοῦφον. λεῖον. πικρότατον τῇ γεύσει. καὶ προσαχθὲν λύχνῳ εὐκαές. τὸ μέντοι προσίζον καὶ τραχὺ καὶ θολερὸν τῇ ὄψει, γέμον ὀροβίου ἢ τέφρας, βαρύ τε ἐστὶ καὶ φαῦλον. ἔνιοι δὲ καὶ τὸν χυλὸν τοῦ σικύου, μιγνύουσιν ἀμύλῳ· πρὸς τὸ μιμήσασθαι αὐτὸ λευκὸν καὶ κοῦφον. εἰς μέντοι τὰ καθαρτικὰ ὁ διετὴς ἁρμόζει ἄχρι δεκαετοῦς. ἡ δὲ τελεία δόσις ὀβολός. ἡ δὲ ἐλαχίστη ἡμιωβόλιον. παισὶ δὲ διχάλκιον. πλεῖον δὲ ποθὲν κίνδυνον ἐπιφέρει. κινεῖ δὲ τὴν κάτω καὶ τὴν ἄνω κάθαρσιν ἄγει φλέγμα καὶ χολήν.

λὴν. ἀρίστη δὲ τοῖς δυσπνοοῦσιν ἡ διʼ αὐτοῦ κάθαρσις. εἰ μὲν οὖν θέλοις κατὰ κοιλίαν καθαίρειν, διπλάσιον ἁλῶν μίξας καὶ στίμμεως ὅσον χρῶσαι διʼ ὕδατος ὀροβιαῖα καταπότια δίδου. ἐπιῤῥοφείτω δὲ χλιαροῦ ὕδατος κυάθους ἑπτά. εἰς δὲ ἔμετον ὕδατι αὐτὸ ἀνεὶς, πτερῷ τοὺς ὑπὸ γλῶσσαν διάχριε τόπους ὡς ὅτι ἐσωτάτω. εἰ δὲ δυσεμὴς εἴη ἢ ἐλαίῳ ἢ ἰρίρῳ μύρῳ δεύσας. κωλύει δὲ κοιμᾶσθαι. τοῖς δὲ ὑπερκαθαιρομένοις, συνεχῶς προσφέρειν δεῖ οἰνέλαιον. ἐμοῦντες γὰρ ἀποκαθίστανται. μὴ παυομένων δὲ τῶν ἐμέτων, ὕδωρ ψυχρὸν καὶ ἄλφιτον καὶ ὀξύκρατον καὶ ὀπώραν, καὶ ὅσα δύνανται τὸν στόμαχον πυκνῶσαι προσενεκτέον. κινεῖ δὲ τὸ ἐλατήριον καὶ ἔμμηνα. καὶ ἔμβρυα κτείνει ἐν προσθέτῳ. ἐγχυθὲν δέ τι μετὰ γάλακτος εἰς τοὺς ῥώθωνας, ἴκτερον ἀποκαθαίρει. καὶ κεφαλαλγίας τὰς χρονίους ἀπαλλάττει. συναγχικοῖς τε διάχρισμα πρακτικὸν μετʼ ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ χολῆς ταυρείας. Περὶ ἡμέρου σικύου. κε'. ψλα'.

Τοῦ δὲ ἡμέρου σικύου ἡ ῥίζα λεία ποθεῖσα σὺν ὑδρομέλιτι < α' ὁλκῇ, ἐμέτους κινεῖ. εἰ δέ τις μετὰ τὸ δεῖπνον πραέως ἐμέσαι ἐθέλει, ἀρκοῦσιν ὀβολοὶ β'. Περὶ σταφίδος ἀγρίας. κε'.

Σταφὶς ἀγρία. οἱ δὲ τρίφυλλον. οἱ δὲ στιοῦ. οἱ δὲ ἀσταφίς. οἱ δὲ φθειροκτόνον. οἱ δὲ φθειριον. (ψλγ'. οἱ δὲ ἀπάνθρωπον. οἱ δὲ πλευρῖτις. οἱ δὲ ψευδοπαθής. οἱ δὲ ἀρσενοτίμη. αἰγύπτιοι ἰβησσοι δή. ῥωμαῖοι ἕρβα πεδικουλάρια. φύλλα μὲν ἔχει ὥσπερ ἀμπέλου ἀγρίας ἐσχισμένα. καυλία ὀρθά. μαλακά. μέλανα. τὸ δὲ ἄνθος φέρει ἰσάτει ὅμοιον. τὸν δὲ καρπὸν ἐν θυλακίοις χλωροῖς ὥσπερ ἐρεβίνθου. τρίγωνον. τραχύ. ὑπόκιῤῥον ἐν τῷ μέλανι. τὰ δὲ ἔνδον λευκόν. γευσαμένῳ δριμύ. τούτου κόκκους ι' ἢ ιε' ἐάν τις λεάνας ἐν μελικράτῳ δῷ, καθαίρει διʼ ἐμέτων παχέα. περιπατείτωσαν δὲ οἱ πεπωκότες. δεῖ μέντοι προσέχειν συνεχῶς μελίκρατον διδόντας, διὰ τὸ ἐπιφέρειν τοὺς κατὰ πνιγμὸν κινδύνους. καὶ καίειν τὴν φάρυγγα. ἁρμόζει δὲ τριφθεῖσα καὶ ἐλαίῳ συγχρισθεῖσα πρὸς φθειριάσεις καὶ κνησμοὺς καὶ ψώρας. διαμασηθεῖσα δὲ, φλέγμα ἄγει πλεῖστον. καὶ ὀδονταλγίας ὠφελεῖ σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη. οὖλά τε ῥευματιζόμενα στέλλει. καὶ ἄφθας τὰς ἐν στόματι θεραπεύει μετὰ μέλιτος. μίσγεται καὶ τοῖς πυρωτικοῖς μαλάγμασιν. Περὶ θαψίας. κε'. ψλδ'.

Θαψία. οἱ δὲ ὑπώπιον. οἱ δὲ πάγκρασον. οἱ δὲ σκαμμώνιον. οἱ δὲ θηλυπτερίς. ῥωμαῖοι φερουλάγω. οἱ δὲ φέρουλα σιλουέστρις. ἀφροι βοΐδην. ὠνόμασται μὲν θαψία, ἀπὸ τοῦ δοκεῖν πρῶτον εὑρῆσθαι ἐν Θάψῳ τῇ νήσῳ τῇ ὁμωνύμῳ. τῇ δὲ ὅλῃ φύσει ἔοικε νάρθηκι. ἰσχνότερος δὲ αὐτῆς μᾶλλον ὁ καυλός. καὶ τὰ φύλλα μαράθρῳ ἐμφερῆ. ἐπʼ ἄκρου δὲ σκιάδια καθʼ ἑκάστην ἀπόφυσιν. ἀνήθῳ ὅμοια. ἐφʼ ὧν ἄνθος μήλινον. σπέρμα ὑπόπλατυ. τῷ τοῦ νάρθηκος ἐμφερές. ἔλαττον μέντοι. ῥίζα ἔνδοθεν λευκή. μεγάλη. μέλαινα δὲ ἔξωθεν παχύφλοιος. δριμεῖα. ἥτις ὀπίζεται περιορυχθεῖσα καὶ ἐγκοπτομένη τὸν φλοιόν. ἢ κοιλανθεῖσα αὐτῇ ἐν ἑαυτῇ θολοειδῶς ἡ ῥίζα καὶ πωμαζομένη πρὸς τὸ καθαρὸν μένειν τὸν ὀπόν. τῇ δὲ ὑστεραίᾳ δεῖ ἐπιόντας ἀναιρεῖσθαι τὸν ἐναποσυλλεγέντα ὀπόν. χυλίζεται δὲ κοπεῖσα ἡ ῥίζα καὶ διὰ κυρτίδος καὶ ὀργάνου ἐκθλιβεῖσα καὶ ξηρανθεῖσα ἐν ἡλίῳ διʼ ὀστρακίνου τεύχους ἀγγέας. ἔνιοι δὲ καὶ τὰ φύλλα συναποθλίβουσιν. ἀσθενὴς δὲ ὁ τοιοῦτος. διακρίνεται δὲ τῷ χρώματι διότι ἕτερον εἶναι τὸν ἀπὸ τῆς ῥίζης καὶ μένειν ἔνικμον. ξηραίνεσθαι δὲ τὸν ἀπὸ τῶν φύλλων καὶ τερηδονίζεσθαι. ὀπίζοντα δὲ δεῖ μὴ κατʼ ἄνεμον ἵστασθαι. μᾶλλον δὲ νηνεμίας οὔσης. ἐπειδὴ οἰδίσκει ἰσχυρῶς τὸ πρόσωπον καὶ φλυκταινοῦται τὰ γυμνὰ μέρη τοῦ γυμνωθέντος σώματος διὰ τὴν δριμύτητα τῆς ἀποφορᾶς.

δεῖ οὖν κηρωταῖς στυφούσαις ὑγραῖς προσχρίειν τὰ γυμνὰ τῶν μερῶν. καὶ οὕτω προσέρχεσθαι. δύναμιν δὲ ἔχει καθαρτικὴν ὅ, τε φλοιὸς τῆς ῥίζης, καὶ ὁ χυλός. καὶ ὁ ὀπὸς σὺν μελικράτῳ πινόμενος. ἄνω γάρ τε καὶ κάτω χολὴν καθαίρουσι. δίδοται δὲ τῆς μὲν ῥίζης τριώβολον μετὰ ἀνήθου σπέρματος < γ'. τοῦ δὲ χυλίσματος τριώβολον. τοῦ δὲ ὀποῦ ὀβολός. πλεῖον γὰρ δοθὲν, κινδυνῶδες. ἁρμόζει δὲ ἡ δι' αὐτοῦ κάθαρσις πάθεσιν ἀσθματικοῖς πλευρῶν ἀλγήμασι χρονίοις καὶ ἀναγωγαῖς, τοῖς δὲ δυσεμέσιν ἐν σιτίοις ἢ ἑψήματι δίδοται. κινεῖται δὲ καὶ μετὰ συγκριτικὴν δύναμιν ὅ, τε ὀπὸς καὶ ἡ ῥίζα πάντων μάλιστα τῶν ἰσοδυναμούντων ὅπου τι δεῖ ἐκ βάθους ἑλκύσαι, ἢ μεταποροποιῆσαι. ὅθεν ἀλωπεκίας καταχριόμενος ὁ χυλὸς ἢ ἡ ῥίζα χλωρὰ προστριβομένη, δασύνει. ὑπώπια αἴρει καὶ πελιώματα λεία ἡ ῥίζα ἢ ὁ χυλὸς σὺν λιβανωτῷ καὶ κηρῷ ἴσοις. δεῖ δὲ μὴ πλεῖον δυοῖν ὡρῶν ἐᾶν. μετὰ δὲ ταῦτα πυριᾶν θερμῇ θαλάττῃ. αἴρει δὲ καὶ ἐφήλεις σὺν μέλιτι καταχρισθείς. καὶ λέπρας ἀφίστησι. φύματά τε ῥύπτει μετὰ θείου καταχριόμενος ὁ χυλός. χρησίμως δὲ καταχρίεται καὶ ἐπὶ τῶν χρονίας ἐχόντων διαθέσεις περὶ πλευρὸν ἢ πνεύμονα, ἢ πόδας ἢ ἄρθρον. χρησιμεύει δὲ καὶ πρὸς ἐπαγωγὴν ἐπὶ τῶν μὴ ἐκ περιτομῆς λειποδέρμων οἴδημα ἐγείρων, ὅπερ καταντλούμενον τοῖς λιπαίνουσι μαλαττόμενον, τὸ ἐλλεῖπον τῆς πόσθης ἐκπληροῖ. Περὶ σπαρτίου. κεφ. ρλδ'.

Σπάρτιον. οἱ δὲ λοβόν. οἱ δὲ λύγον καλοῦσι. θάμνος ἐστὶ φέρων ῥάβδους μακράς. ἀφύλλους. στερεάς. δυσθραύστους αἷς τὰς ἀμπέλους δεσμεύουσι. φέρει δὲ λοβοὺς ὥσπερ φασήλους. ἐν οἷς σπερμάτια φακοειδῆ. ἄνθος μήλινον ὥσπερ λευκοΐου. τούτου ὁ καρπὸς καὶ τὰ ἄνθη ποθέντα σὺν μελικράτῳ ὁλκὴ ὀβολῶν ε', καθαίρει ἄνω μετ' ἐντάσεως ὥσπερ ὁ ἐλλέβορος ἀκινδύνως. ὁ δὲ καρπὸς κινεῖ τὴν κάτω κάθαρσιν. καὶ αὐτῶν δὲ τῶν ῥάβδων ἐν ὕδατι βραχεισῶν, εἶτα κοπεισῶν καὶ χυλισθεισῶν, ἰσχιαδικῶν καὶ συναγχικῶν ἐστὶ βοήθημα. ὅσον κύαθος εἷς πινόμενος νήστεσιν. ἔνιοι δὲ ἐναποβρέξαντες ἅλμῃ ἢ θαλάττῃ, ἐγκλύζουσι τοὺς ἰσχιαδικούς. ἄγει δὲ αἱματώδη καὶ ξυσματώδη. Περὶ σιλύβου. κεφ. ρλε'.

Σίλυβον, ἄκανθά ἐστι πλατεῖα. φύλλα ἔχουσα χαμαιλέοντι ὅμοια τῷ λευκῷ. ἥτις ἀρτιφυὴς ἐσθίεται ἑφθὴ σὺν ἐλαίῳ, καὶ ἁλσί. τῆς δὲ ῥίζης ὁ ὀπὸς ὅσον ὁλκὴ ποθεὶς σὺν μελικράτῳ, ἐμετικός. Περὶ βολβοῦ. κεφ. ρλϛ'.

Βολβὸς ὁ καλούμενος ἐμετικὸς, ἔχει τὰ φύλλα ἱμαντωδέστερα. καὶ πολλῷ μακρότερα τοῦ ἐδωδίμου. ῥίζαν ἐοικυῖαν βολβῷ. περὶ ἣν φλοιὸς μέλας. αὐτὴ ἐσθιομένη καθ' αὑτὴν καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενον, ἐμετικός.

Περὶ βαλάνου μυρεψικῆς. κεφ. ρλζ'.

Βάλανος μυρεψική. καρπός ἐστι δένδρου μυρίκῃ ἐοικότος. ὅμοιος τῷ λεγομένῳ ποντικῷ καρύῳ. οὗ τὸ ἐντὸς θλιβόμενον ὥσπερ τὰ πικρὰ ἀμύγδαλα, ἀνίησιν ὑγρόν. ᾧ εἰς τὰ πολυτελῆ μύρα οἱ πλεῖστοι χρῶνται. γεννᾶται δὲ ἐν αἰθιοπίᾳ καὶ αἰγύπτῳ καὶ ἀραβίᾳ. καὶ ἐν τῇ κατὰ ἰουδαίαν πέτρᾳ. διαφέρει δὲ αὐτῆς ἡ νέα καὶ πλήρης. λευκή τε καὶ εὔλεπτος. ἥτις μετ' ὀξυκράτου ποθεῖσα λεία ὅσον < ὁλκὴ, σπλῆνα τήκει καὶ καταπλασσομένη δὲ ἐπ' αὐτοῦ μετὰ αἰρίνου ἀλεύρου, καὶ μετὰ μελικράτου καὶ ἐπὶ ποδαγρικῶν. σὺν ὄξει δὲ ἑψηθεῖσα ἀποσμήχει ψώραν. λέπραν. σὺν νίτρῳ δὲ ἀλφούς. οὐλὰς μελαίνας. σὺν οὔρῳ δὲ αἴρει φακούς, ἰόνθους. ἐφήλεις. ἐξανθήματα τὰ ἐν προσώποις. ἐμέτους δὲ κινεῖ καὶ κοιλίαν λύει μετὰ ὑδρομέλιτος. κακοστόμαχος δέ ἐστιν ἱκανῶς, καὶ τὸ ἐξ αὐτῆς, ἔλαιον

ποθέν

προσεχὴ τὴν κοιλίαν ἐπάγει. στυπτικώτερος δέ ἐστιν ὁ φλοιὸς αὐτῆς. τὸ δὲ ἐκ κοπείσης καὶ ἐκθλιβείσης αὐτῆς ἐκπίεσμα, μίσγεται σμήγμασι τοῖς πρὸς τραχύτητας ἐν κινή-μους συντιθοῦσιν.

Περὶ μυροβαλάνου. ζητητέον ἢ ἀσύνησιον. κεʹ. ψλή.

Μυροβάλανον κίτρινον. ξηραίνει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν. κινεῖ δὲ ξανθὴν χολήν. τοῦτο δὲ παρ᾽ ἐνίοις λέγεται ξανθόν. μεῖζον δὲ τοῦ χρυσοβαλάνου καὶ εὐτραφέστερον. ὁ μὲν Παῦλός φησιν ὅτι ἐστὶ ψυχρὸν καὶ ξηρὸν κατὰ τὴν δευτέραν ἀπόστασιν. ὠφελεῖ δὲ ἐπὶ δριμείας ξανθῆς χολῆς διδόμενον. κινεῖ γὰρ καὶ καθαίρει αὐτὴν κατὰ πέψιν διδόμενον. δίδοται δὲ καὶ τοῖς φύμασι τοῖς ἀπὸ χολῆς ἔχουσι. καὶ τοῖς ὠχριῶσιν ὀφθαλμοῖς καὶ μάλιστα τοῖς ἰκτερικοῖς. καὶ τοῖς ἐμπεφραγμένον ἔχουσιν ἧπαρ καὶ σπλῆνα. σὺν γὰρ τῷ κενοῦν, καὶ τονοῖ καὶ σφίγγει τὰ σπλάγχνα. ὁ δὲ Ὀρειβάσιος περὶ τούτου φησὶν ὅτι ὠφελεῖ τοὺς χολώδεις πυρετούς. κεφαλαλγίας τε καὶ ἡμικρανίας τὰς ἐπὶ χολῇ γινομένας. πρός τε φύματα καὶ ψώρας ἐπιπολαζούσας τῷ δέρματι. καὶ τῶν πάντων τῶν ἀπὸ χολῆς συμπτωμάτων. Τὸ μέλαν ὁμοίως ψύχει καὶ ξηραίνει κατὰ τὴν πρώτην ἀπόστασιν. κινεῖ δὲ μέλαιναν χολήν. Τὸ μέγα τὸ λεγόμενον κίπυλε-πορινὸν ἢ κέβουλε, μέσης κράσεως ἐστὶν ὀλίγον. ἐστὶ δὲ θερμόν. καὶ κενοῖ τὰ ἐν τῇ κεφαλῇ ὑγρὰ ὡς ἐπίπαν. Τὸ κεκλασμένον ἤτοι τὸ ἀφλέτζιν, ψυχρόν ἐστι καὶ ξηρὸν κατὰ τὴν πρώτην τάξιν. δυναμοῖ δὲ τὸν στόμαχον. καὶ κωλύει τὴν ῥεῦσιν τῶν τριχῶν.

Τὸ μπελλέτζιν ὁμοίως καὶ αὐτὸ ῥωννύει τὸν στόμαχον καὶ τὴν ἕδραν κινεῖ ἐλαφρῶς. Τὸ ὀξυφοινικόν ἐστι ψυχρὸν καὶ ὑγρὸν κατὰ τὴν πρώτην ἀπόστασιν. πραΰνει τὴν ξανθὴν χολὴν ὡς οὐδὲν ἕτερον. πλὴν τοῦ ἰνδικοῦ ῥέου. ὠφελεῖ ἰκτεριῶντας. διψῶντας. κεφαλαλγοῦντας. ῥύπτει δὲ τὴν ἄνω κοιλίαν ἐκ τῶν λυπούντων αὐτὴν χυμῶν. καὶ ὄρεξιν διεγείρει. Ὀρειβάσιος δέ φησιν ὠφελεῖν ταυτί καὶ ἐμέτους. σφάκελον. φρενίτιν. ξηταίους δὲ πυρετοὺς εἰς τοὺς πίσω ἀπαλλάσσει, σὺν ἰνδικῷ πινόμενον ῥέῳ καὶ μέλανι κασσίᾳ. καύσους καὶ πυρετοὺς ἰᾶται. πλευρίτιδι βοηθεῖ σὺν ἡδυόσμῳ πινόμενον σελίνῳ περσικῷ. ὅσον δ᾽ ἀπὸ τῶν τῆς δόσεως. Ὁ δὲ Πορφύριος λέγει ὅτι πραΰνει τὴν ψυχήν. καὶ πάντα τὰ ἀπὸ θερμότητος κάμνοντα μόρια θεραπεύει καὶ καταπαύει τὰ ἀπὸ θερμότητος χολώδη ῥεύματα. Τὸ τούρπετ θερμόν ἐστι καὶ ξηρὸν κατὰ τὴν τρίτην ἀπόστασιν. ὑπάγει δὲ ἡ μέλαινα καὶ φλέγμα γλίσχρον. θεραπεύει δὲ καὶ τὰς χρονίους διαθέσεις. τὰς ἐπὶ ψύξει ἢ μελαγχολικῷ χυμῷ γινομένας. ὠφελεῖ παραπληξίας. ἐπιληψίας. μανίας καὶ μελαγχολίας. ὁ δὲ Παῦλός φησιν ὅτι τοῦτο ὑπάγει ῥαδίως. καὶ τονοῖ τὸ σῶμα. οὐ μὴν ἰσχναίνει μετὰ τὴν πόσιν καθάπερ τὰ ἄλλα καθαρτικά. ὁ δὲ Μάγνος φησὶν ὅτι διαλύει τοὺς ἐν τοῖς σπλάγχνοις καὶ τοῖς νεφροῖς φλεγματικοὺς χυμούς. ὑπάγει δὲ ῥαδίως μέλαινα καὶ φλέγμα. ὁ δὲ Ἀρχιγένης λέγει ὅτι ἀναλύει καὶ καθαίρει ἅπαν τὸ σῶμα ἐκ τῆς σαπρίας τῶν χυμῶν. ἐστὶ δὲ θερμὸν καὶ ξηρὸν καὶ λεπτυντικόν.

Περὶ ναρκίσσου. κϛʹ. ψλθ.

Νάρκισσος. οἱ δὲ νάρκισσος ἄνυδρος. οἱ δὲ αὐτογενές. οἱ δὲ βολβὸς ἐμετικός. οἱ δὲ λείριον. ῥωμαῖοι. βούλβους μορβιτάριους. ἔνιοι δὲ τοῦτο ὥσπερ τὸ κρίνον λευκὸν ἐκάλεσαν. τὰ μὲν φύλλα, πράσῳ ἔοικε. λεπτὰ δὲ καὶ μικρότερα κατὰ πολύ. καὶ στενώτερα. καυλὸν κενόν. ἄφυλλον. μείζω ὑπὲρ σπιθαμὴν τὸ ὕψος. ἐφ᾽ οὗ ἄνθος λευκὸν ἐν μέσῳ ἔσωθεν δὲ κροκῶδες ἐπ᾽ ἐνίων δὲ πορφυροειδές. ῥίζα δὲ λευκή. ἔνδοθεν στρογγύλη. βολβοειδής. καρπὸς ὡς ἐν ὑμένι, μέλας. προμήκης. φύεται ὁ κάλλιστος ἐν ὀρεινοῖς τόποις. εὐώδης. ὁ δὲ λοιπὸς πρασίζει.

καὶ βοτανώδη τὴν ἀποφορὰν ἔχει. τούτου ἡ ῥίζα βρωθεῖσα ἑφθὴ καὶ ποθεῖσα, ἐμέτους κινεῖ. ἁρμόζει δὲ καὶ πυρικαύτοις σὺν μέλιτι λεία. καὶ τὰς περὶ νεῦρα διακοπάς, παρακολλᾷ καταπλασσομένη. στρέμματά τε σφυρῶν καὶ τὰ περὶ ἄρθρα χρόνια ἀλγήματα λεία σὺν μέλιτι καταπλασθεῖσα ὀνίνησι. καθαίρει καὶ ἔφηλιν καὶ ἀλφοὺς σὺν κνίδης σπέρματι καὶ ὄξει. καὶ ὀρόβῳ δὲ καὶ μέλιτι τὰς ἀκαθαρσίας τῶν ἑλκῶν ἀποκαθαίρει. ἐν τε τὰ δυσπετῆ τὰ τῶν ἀσχημάτων ῥύπτει. ἄγει καὶ σκόλοπας σὺν αἰρίνῳ ἀλεύρῳ καὶ μέλιτι καταπλασσομένη.

## Περὶ ἱπποφαοῦς. κεφ. ρμ'.

Ἱπποφαές. οἱ δὲ ἱπποφυές. οἱ δὲ ἱπποφανές. οἱ δὲ ἱππεῖον. οἱ δὲ ἔχινον. οἱ δὲ πελεκῖνος. Ῥωμαῖοι λαππάγω. οἱ δὲ λαπαθολαμέρα καλοῦσιν. ᾧ γνάφουσι τὰ ἱμάτια. φύεται μὲν ἐν παραθαλαττίοις καὶ ἀμμώδεσι τόποις. θάμνος δ' ἐστὶ φρυγανώδης. πυκνός. ἀμφιλαφής. φύλλα ἔχων μακρὰ πρὸς τὰ τῆς ἐλαίας. μακρότερα δὲ καὶ μαλακώτερα. καὶ μεταξὺ ἀκάνθας ξηρὰς ὑπολεύκους. γωνιοειδεῖς. ἀπ' ἀλλήλων διεστώσας. ἄνθη κορύμβοις ἐοικότα κισσοῦ, ὡς βοτρύδια προσκείμενα ἀλλήλοις. πλὴν μικρότερα καὶ μαλακά. καὶ μεταξὺ τοῦ λευκοῦ φοινίσσοντα ἐκ μέρους. ῥίζα παχεῖα καὶ μαλακή. ὀποῦ μεστή, γευομένῳ πικρά. ὀπιζομένη ὡς τὰ θαψία. ἀποτίθεται δὲ καθ' αὑτὸν ὁ ὀπὸς καὶ σὺν ὀροβίνῳ ἀλεύρῳ ἀναλαμβανόμενος καὶ ξηραινόμενος. καθαίρει δὲ χολώδη. ὑδατώδη καὶ φλεγματώδη. κάτω ὅσον ὀβολὸς ἄκρατος. τὸ δὲ μετὰ τοῦ ὀροβίνου τριώβολον σὺν μελικράτῳ. καὶ ὁ θάμνος δὲ σὺν ταῖς ῥίζαις ξηραινόμενος κόπτεται. καὶ δίδοται λεῖος μετὰ μελικράτου κοτύλης μιᾶς ἡμισείας. γίνεται δὲ καὶ χύλισμα τῆς ῥίζης καὶ τῆς πόας ὡς τὸ ἐπὶ τῆς θαψίας. δίδοται δὲ τούτου ∠ α' εἰς τὰς καθάρσεις.

## Περὶ ἱπποφαίστου. κεφ. ρμα'.

Ἱππόφαιστον. οἱ δὲ καὶ τοῦτο ἱπποφαὲς καλοῦσι. φύεται ἐν τοῖς αὐτοῖς τόποις ἐν οἷς καὶ τὸ ἱπποφαές. καὶ αὐτὸ γναφικῆς ἀκάνθης εἶδος ὑπάρχον. ἔστι δὲ χαμαιπετές. ἔχον μόνον φυλλάρια μικρά, ἀκανθώδη. καὶ κεφάλια χαῦνα. οὔτε δὲ καυλὸν οὔτε ἄνθος φέρει. ῥίζαν δὲ παχεῖαν καὶ μαλακήν. ταύτης τὰ φύλλα καὶ τὴν ῥίζαν καὶ τὴν κεφαλὴν χυλίσας, ξήραινε καὶ δίδου ὁλκὴν τριωβόλου μετὰ μελικράτου ᾧ βούλει. ἡ γὰρ διὰ τούτου κάθαρσις, ὕδωρ καὶ φλέγμα ἄγει. ἰδίως δὲ ὀρθοπνοίαις ἁρμόζει καὶ ἐπιληψίαις καὶ τοῖς περὶ νεῦρα πάθεσιν ἡ διὰ τούτου κάθαρσις.

## Περὶ κίκεως. κεφ. ρμβ'.

Κίκι ἢ κρότων. οἱ δὲ σήσαμον ἄγριον. οἱ δὲ σέσελι κύπριον. οἱ δὲ κρότωνα. Αἰγύπτιοι σύθαμνα. οἱ δὲ τρίξιν. προφῆται αἷμα πυρετοῦ. Ῥωμαῖοι ῥικίνουμ. οἱ δὲ λοῦπα. ὠνόμασται κρότων, διὰ τὴν ὡς πρὸς τὸ ζῷον ἐμφέρειαν τοῦ σπέρματος. δένδρον δ' ἐστὶ συκῆς μικρᾶς μέγεθος ἔχον. φύλλα δὲ ὅμοια πλατάνῳ. μείζονα δὲ καὶ λειότερα καὶ μελάντερα. τὰ δὲ στελέχη καὶ τὰς κράδας κοῖλα καλάμου τρόπον ἔχει. καρπὸν δὲ ἐν βότρυσι τραχέσι. λεπισθέντα, ὅμοιον κρότωνι τῷ ζῴῳ. ἐξ οὗ καὶ ἀποθλίβεται τὸ λεγόμενον κίκινον ἔλαιον. ἄβρωτον μέν. ἄλλως δὲ χρήσιμον εἰς λύχνους καὶ ἐμπλάστρους. καθαρθέντες δὲ ὅσον λ' κόκκοι τὸν ἀριθμὸν καὶ ποθέντες λεῖοι, ἄγουσι κατὰ κοιλίαν φλέγμα καὶ χολὴν καὶ ὕδωρ. κινοῦσι δὲ καὶ ἐμέτους. ἔστι δὲ λίαν ἀηδὴς καὶ ἐργώδης ἡ τοιαύτη κάθαρσις, ἀνατρέπουσα στόμαχον ἰσχυρῶς. κοπεῖσα δὲ καὶ καταπλασθεῖσα ἰόνθους καὶ ἐφήλεις καθαίρει. τὰ δὲ φύλλα τριβέντα μετὰ παιπάλης ἀλφίτου, ὀφθαλμῶν οἰδήμα-

τα

τὰς φλεγμονὰς παύει. ἀποσπαργῶντας μαστούς. ἕρπητάς τε σβέννυσι καθ᾽ ἑαυτὰ ἢ μετ᾽ ἄρτου καταπλασσόμενα.

## Περὶ τιθυμάλων. ρμγ.

Τιθυμάλων εἴδη ζ΄. ὧν ὁ μὲν ἄρρην χαρακίας καλεῖται· ὑπὸ δέ τινων κωμήτης. ἢ ἀμυγδαλοειδὴς ἢ κωβιὸς ὀνομάζεται. ὁ δέ τις θῆλυς ἢ μυρτίτης. ὃν καὶ καρυίτην ἢ μυρσινίτην καλοῦσιν. ὁ δὲ παράλιος. ὃν ἔνιοι τιθυμαλίδα ἐκάλεσαν. ὁ δέ τις ἡλιοσκόπιος. ὁ δὲ κυπαρισσίας. ὁ δὲ δενδροειδής. ὁ δὲ πλατύφυλλος. Τοῦ δὲ χαρακίου καλουμένου, καυλοὶ μέν, ὑπὲρ πῆχυν ἐνερευθεῖς. ὀποῦ δριμέος καὶ λευκοῦ μεστοί. φύλλα δὲ περὶ τοὺς ῥάβδους ὅμοια ἐλαίας· μακρότερα δὲ καὶ στενότερα. ῥίζα ἁδρὰ καὶ ξυλώδης. ἐπ᾽ ἄκρων δὲ τῶν καυλῶν, κόμη ἀπὸ σχιδῶν ῥαβδίων. καὶ ὑπ᾽ αὐτῶν ὑπόκοιλα ὅμοια πυελίσιν. ἐν οἷς ὁ καρπός. φύεται ἐν τραχέσι καὶ ὀρεινοῖς τόποις. δύναμιν δὲ ἔχει ὁ ὀπὸς καθαρτικὴν τῆς κάτω κοιλίας. ἄγει φλέγμα καὶ χολὴν ὀβολῶν β΄ πλῆθος λαμβανόμενος μετ᾽ ὀξυκράτου. σὺν μελικράτῳ δὲ καὶ ἔμετον κινεῖ. ὀπίζεται δὲ περὶ τὸν τρυγητόν. συναχθεισῶν τῶν ῥάβδων καὶ ἀποτμηθεισῶν. ἐγκλίνεσθαι δὲ αὐτὰς δεῖ εἰς ἀγγεῖον. ἔνιοι δὲ ὀρόβινον ἄλευρον μιγνύντες, συναναπλάσσουσιν ὀροβιαῖα μεγέθη. τινὲς δὲ εἰς τὰ ξηραινόμενα σῦκα ἀποστάζουσι σταλαγμοὺς γ΄ ἢ δ΄. καὶ ξηραίνοντες ἀποτίθενται. καθ᾽ αὑτὸν δὲ τριβόμενος ἐν θυίᾳ ἀναπλάσσεται καὶ ἀποτίθεται. ἐν δὲ τῷ ὀπίζειν οὐ δεῖ κατὰ ἄνεμον ἵστασθαι. οὐδὲ τὰς χεῖρας ἄγειν τοῖς ὀφθαλμοῖς. ἀλλὰ καὶ πρὸ τοῦ ὀπίζειν τὸ σῶμα δεῖ χρίειν στέατι ἢ ἐλαίῳ μετ᾽ οἴνου καὶ μάλιστα πρόσωπον καὶ τράχηλον καὶ ὄσχεον. τραχύνει δὲ καὶ τὴν φάρυγγα. ὅθεν δεῖ καταπότια περιπλάττειν κηρῷ ἢ μέλιτι ἑφθῷ. καὶ οὕτως διδόναι. ἱκανὰ δὲ καὶ μέχρι δύο ἢ τρεῖς λαμβανόμενα, αὐταρκῆ εἰσὶ πρὸς κάθαρσιν. ψιλοῖ δὲ καὶ τρίχας ὁ ὀπὸς πρόσφατος ἐπιχρισθεὶς μετ᾽ ἐλαίου, ἐν ἡλίῳ. καὶ τὰς ἐπιγινομένας δὲ ξανθὰς καὶ λεπτὰς ποιεῖ καὶ τέλος ἐκφθείρει πάσας. ἐντίθεται δὲ καὶ τοῖς βρώμασι τῶν ὀδόντων κουφίζων τὰ ἀλγήματα. κηρῷ δὲ δεῖ τοὺς ὀδόντας ἐμπλάττειν. ἵνα μὴ παραρρυεὶς κακώσῃ τὴν φάρυγγα ἢ τὴν γλῶτταν. αἴρει δὲ καὶ μυρμηκίας. καὶ ἀκροχορδόνας καὶ θύμους καὶ λειχῆνας ἐπιχριόμενος. ἁρμόζει καὶ πρὸς πτερύγια καὶ ἄνθρακας. φαγεδαίνας. γαγγραίνας. σύριγγας. καὶ ὁ καρπὸς δὲ φθινοπώρῳ συλλεγείς. καὶ ξηρανθεὶς ἐν ἡλίῳ. κοπείς τε κούφως καὶ ἀποβρασθεὶς καθαρῶς ἀποτίθεται. καὶ τὰ φύλλα ὁμοίως ξηρά. ποιεῖ δὲ καὶ ὁ καρπὸς καὶ τὰ φύλλα τὰ αὐτὰ τῷ ὀπῷ. πλῆθος ἡμίσους ὀξυβάφου πινόμενα. ἔνιοι δὲ καὶ ταριχεύουσιν αὐτά. μιγνύντες τῷ διὰ τοῦ γάλακτος λεπιδίῳ. καὶ τυρῷ κοπτῷ. καὶ ἡ ῥίζα δὲ ἑψηθεῖσα < α΄ σὺν ὑδρομέλιτι καὶ ποθεῖσα, ἄγει κατὰ κοιλίαν. ἑψηθεῖσα δὲ σὺν ὄξει καὶ διακλυζομένη, ὀδονταλγίας βοηθεῖ.

## Περὶ τοῦ θήλεως.

Ὁ δὲ θῆλυς ὃν ἔνιοι μυρσινίτην ἢ καρυίτην ἐκάλεσαν, προσεμφερὴς τῷ δαφνοειδεῖ τὴν φύσιν καὶ τὰ φύλλα ὅμοια ἔχει μυρσίνῃ. μείζονα δὲ καὶ στερεά, ἐπ᾽ ἄκρου ὀξέα καὶ ἀκανθώδη. κλήματα δὲ ἀπὸ τῆς ῥίζης σπιθαμιαῖα ἀφίησι. τὸν δὲ καρπὸν φέρει παρ᾽ ἐνιαυτόν. καρύῳ ὅμοιον. ἡσυχῇ δάκνοντα τὴν γλῶσσαν. ἐν τραχέσι δὲ χωρίοις καὶ οὗτος φύεται. δύναμιν δὲ ἔχει ὁ ὀπὸς καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ τὰ φύλλα ὁμοίαν τῷ πρὸ αὐτοῦ. ἐμετικώτερος μέντοι ἐκείνου τοῦτό ἐστιν.

## Περὶ τοῦ παραλίου.

Ὁ δὲ παράλιος λεγόμενος τιθύμαλος, ὃν ἔνιοι τιθυμαλίδα ἢ μηκώνιον ἐκάλεσαν, φύεται ἐν παραθαλασσίοις τόποις. κλῶνας δὲ ἔχει σπιθαμιαίους ὑπερύθρους. ἓξ ἢ ϛ΄ ἀπὸ τῆς ῥίζης

περὶ οὓς τὰ φύλλα στοιχηδὸν μικρά. ὑπόστενα, προμήκη. ἐοικότα λίνῳ. κεφαλὴν δὲ ἐπ' ἄκρου περιφερῆ. ἐν ᾗ ὁ καρπὸς ὡς ὄροβος. ποικίλος. ἄνθη λευκά. ὅλος δὲ ὁ θάμνος καὶ ἡ ῥίζα, ὀποῦ λευκοῦ μεστή. ἡ τούτου χρῆσις καὶ ἀπόθεσις, ὁμοία ἐστὶ τοῖς προειρημένοις.

### Περὶ τοῦ ἡλιοσκοπίου.

Ὁ δὲ ἡλιοσκόπιος λεγόμενος, ἀνδράχνῃ ὅμοια φύλλα ἔχει. λεπτότερα δὲ καὶ περιφερέστερα. κλῶνας δὲ ἀφίησιν ἀπὸ τῆς ῥίζης δ' ἢ ε'. σπιθαμιαίους λεπτοὺς καὶ ἐρυθρούς. ὀποῦ λευκοῦ μεστοὺς πολλοῦ. κεφαλὴν δὲ ἀνηθοειδῆ. καὶ ὁ καρπὸς δὲ ὥσπερ ἐν κεφαλίοις. συμπεριφέρεται δὲ τούτου ἡ κόμη τῇ τοῦ ἡλίου κλίσει. ὅθεν καὶ ὠνόμασται ἡλιοσκόπιος. ἐν ἐρειπίοις δὲ μάλιστα καὶ περὶ τὰς πόλεις φύεται. συλλέγεται δὲ ὁ ὀπὸς καὶ ὁ καρπὸς ὥσπερ καὶ τῶν ἄλλων. δύναμιν ἔχων τὴν αὐτὴν τοῖς προτέροις, ἀλλ' οὐχ οὕτως ἐπιτεταμένην.

### Περὶ κυπαρισσίου.

Ὁ δὲ κυπαρισσίας, καυλὸν μὲν ἀνίησι σπιθαμιαῖον, ἢ καὶ μείζονα. ὑπέρυθρον. ἐξ οὗ ἐκβλαστάνει τὰ φύλλα τοῖς τῆς πίτυος ὅμοια. ζυφρώτερα μέντοι καὶ λεπτότερα. καὶ καθόλου ἔοικε πίτυι ἀρτιφυεῖ. ὅθεν καὶ ὠνόμασται. πεπλήρωται δὲ καὶ οὗτος ὀποῦ λευκοῦ. δύναμιν δὲ ἔχει ὁμοίαν τοῖς πρὸ αὐτοῦ.

### Περὶ τοῦ ἐν ταῖς πέτραις φυομένου.

Ὁ δὲ ἐν ταῖς πέτραις φυόμενος δενδροειδὴς δὲ καλούμενος, ἀμφιλαφὴς ἄνωθεν καὶ πολύκομος. ὀποῦ μεστός. ὑπέρυθρος τοὺς κλάδους. περὶ οὓς τὰ φύλλα μυρσίνῃ λεπτῇ ἢ προσεοικότα. καρπὸς δὲ ὅμοιος τῷ τοῦ χαρακίου. παραπλησίως δὲ καὶ οὗτος ἀποτίθεται. καὶ ἐνεργεῖ ὁμοίως τοῖς προειρημένοις.

### Περὶ πλατυφύλλου.

Ὁ δὲ πλατύφυλλος φλόμῳ ἔοικε. καὶ αὐτοῦ δὲ ἡ ῥίζα καὶ ὁ ὀπὸς καὶ τὰ φύλλα, ἄγει ὑδατώδη κατὰ κοιλίαν. ἀποκτείνει δὲ καὶ τοὺς ἰχθύας κοπεὶς καὶ διεθεὶς τῷ ὕδατι. καὶ οἱ προαναγεγραμμένοι δὲ τὸ αὐτὸ δρῶσι.

### Περὶ πιτυούσης. ψμδ'.

Πιτύουσα. οἱ δὲ κλῆμα. οἱ δὲ κραμβίον. οἱ δὲ παράλιον. οἱ δὲ κασοπικὸν καλοῦσιν. εἶδος δὲ δοκεῖ διαφέρειν τοῦ κυπαρισσίου τιθυμάλου. ὅθεν καὶ εἶδος ἐν αὐτοῖς καταριθμεῖται. ἀνίησι δὲ καυλὸν πήχεως μείζονα πολυγόνατον φυλλαρίοις ὀξέσι λεπτοῖς κατειλημμένον, ἐμφερέσι τοῖς τῆς πίτυος. ἄνθη μικρὰ ὥσπερ πορφυρᾶ. καρπὸν δὲ πλατὺν ὡς φακόν. ῥίζαν ἣν καλοῦσι τούρπετ. λευκὴν παχεῖαν ὀποῦ μεστήν. εὑρίσκεται δὲ κατὰ τόπους σφόδρα εὐμεγέθης ὁ θάμνος. καθαίρει δὲ κάτω ἡ μὲν ῥίζα, < β' ὁλκὴ δοθεῖσα σὺν μελικράτῳ. τοῦ δὲ καρποῦ α'. τοῦ δὲ ὀποῦ ὅσον κοχλιάριον ἐν καταποτίῳ ἀναληφθέντος ἀλεύρῳ. τῶν δὲ φύλλων ὁλκαὶ γ'.

### Περὶ λαθυρίδος.

Λαθυρίς. οἱ δὲ, καὶ ταύτην τιθύμαλον καλοῦσι· καταριθμοῦντες καὶ αὐτὴν ἐν τοῖς τιθυμάλοις. καυλὸν ἀνίησι πήχεως τὸ ὕψος, κενόν. πάχος δακτύλου. ἐπ' ἄκρου δὲ αὐτοῦ μασχάλαι· φύλλα δὲ τὰ μὲν ἐπὶ τοῦ καυλοῦ ἐπιμήκη. ὅμοια τοῖς τῆς ἀμυγδαλῆς. πλατύτερα δὲ καὶ λειότερα. τὰ δὲ ἐπ' ἄκρων τῶν κλωνίων μακρότερα. ὥσπερ ἀριστολοχίας ἢ κισσοῦ τοῦ ἐπιμήκους. καρπὸν δὲ ἔχει ἐπ' ἄκρων τῶν κλάδων τρίχωρον. περιφερῆ ὥσπερ κάππαριν. ἐν ᾧ τρία σπερμάτια διειργόμενα ἐλύτροις ἀπ' ἀλλήλων. περιφερῆ. μείζονα ὀρόβων. λεπισθέντα δὲ λευκὰ καὶ γλυκέα ἐν τῇ γεύσει. ῥίζα λεπτή. ἄχρηστος. ὅλος δὲ ὁ θάμνος ὀποῦ μεστὸς ὥσπερ τιθύμαλος. δύναμιν δὲ ἔχει καθαρτικὴν κοιλίας τὰ σπέρματα, ὅσον ζ' ἢ η' τὸν ἀριθμὸν λαμβανόμενα ἐν καταποτίῳ ἢ ἐσθιόμενα καὶ καταπινόμενα μετὰ ἰσχάδων ἢ φοινίκων ὕδατος ψυχροῦ ἐπιρροφουμένου.

ἄγει δὲ φλέγμα καὶ χολὴν καὶ ὕδωρ. καὶ ὁ ὀπὸς ἀναληφθεὶς ὥσπερ ὁ τοῦ τιθυμάλου, τὸ αὐτὸ ποιεῖ. συνέψεται δὲ ὄρνισιν ἢ λαχάνοις τὰ φύλλα πρὸς τὴν αὐτὴν ἐνέργειαν.

## Περὶ πέπλου. ΚΕ. ΤΜΔ΄.

Πέπλος. οἱ δὲ, συκῆν. οἱ δὲ μήκωνα ἀφρώδη καλοῦσι. θαμνίσκος ἐστὶν ὀποῦ λευκοῦ μεστός. ἔχων φύλλον μικρὸν ὅμοιον πηγάνῳ. πλατύτερον δέ. ἡ δὲ σύμπασα κόμη ὡς σπιθαμῆς. περιφερής. ἐκκεχυμένη ἐπὶ τῆς γῆς. καὶ ὑπὸ τοῖς φύλλοις. καρπὸς μικρὸς στρογγύλος, ἥττων τοῦ λευκοῦ μήκωνος. πολύχρηστος δὲ ἡ πόα. ῥίζαν ἔχουσα μίαν ἄχρηστον. ἀφ᾽ ἧς ὅλος ὁ θάμνος πέφυκε. γεννᾶται δὲ ἐν κήποις καὶ ἀμπελῶσι. συνάγεται δὲ ἐν πυραμητῷ ξηραινομένη ἐν σκιᾷ καὶ συνεχῶς στρεφομένη. ἀποτίθεται δὲ ὁ καρπὸς κοπεὶς καὶ ἀποβρασθείς. ἄγει δὲ φλέγμα καὶ χολὴν ὀξυβάφου πλῆθος, μετὰ ὑδρομέλιτος κυάθου πινόμενος. καὶ ἐν ἑψήμασι δὲ μισγομένη ταράσσει τὴν κοιλίαν. ταριχεύεται δὲ εἰς ἁλμαίας.

## Περὶ πεπλίδος. ΚΕ. ΤΜΕ΄.

Πεπλίς. οἱ δὲ ἀνδράχνην ἀγρίαν. ἱπποκράτης δὲ πέπλιον καλεῖ. φύεται μάλιστα ἐν παραθαλασσίοις τόποις. θάμνος ἀμφιλαφής. ὀποῦ μεστὸς λευκοῦ. φύλλον ἔχων ὅμοιον τῇ κηπαίᾳ ἀνδράχνῃ. περιφερὴς δὲ καὶ ἐκ τῶν κάτωθεν ἐρυθρός. καὶ ὁ καρπὸς δὲ στρογγύλος ὑποκάτω τῶν φύλλων. ὥσπερ τοῦ πέπλου. πυρώδης τῇ γεύσει. ῥίζα λεπτή. μία. ἄχρηστος. συλλέγεται δὲ καὶ ἀποτίθεται. καὶ δίδοται ὥσπερ ὁ πέπλος. καὶ ταριχεύεται. δύναμιν δὲ ἔχει τὴν αὐτήν.

## Περὶ χαμαισύκης. ΚΕ. ΤΜϚ΄.

Χαμαισύκην. οἱ δὲ συκῆν. οἱ δὲ μήκωνα ἀφρώδη καλοῦσι. κλῶνας ἀνίησι τετραδακτύλους ἐπὶ γῆς ἐρριμμένους, περιφερεῖς. ὀποῦ μεστούς. φύλλα φακοειδῆ. τῷ πέπλῳ ὅμοια. μικρὰ. λεπτὰ πρὸς τῇ γῇ. καρπὸς δὲ ὑπὸ τοῖς φύλλοις στρογγύλος ὡς πέπλου. οὔτε δὲ ἄνθος οὔτε καυλὸν ἔχει. ῥίζαν λεπτὴν καὶ ἄχρηστον. δύναμιν δὲ ἔχουσιν οἱ κλῶνες λεανθέντες σὺν οἴνῳ, τὰς περὶ μήτραν ὀδύνας παύειν, ἀντὶ πισσοῦ προστεθέντες. καταπλασσόμενοι δὲ οἰδήματα καὶ ἀκροχορδόνας καὶ μυρμηκίας αἴρουσιν. ἑφθοὶ δὲ ἐσθιόμενοι κοιλίας ἐκλύουσι. ὁ δὲ ὀπὸς αὐτῶν δὲ ὀπὸς τὰ αὐτὰ δρᾷ. καὶ καταχριόμενος, σκορπίου πληγῇ βοηθεῖ. ἁρμόζει καὶ πρὸς ἀμβλυωπίαν καὶ ἀχλὺν. καὶ ἀρχομένας ὑποχύσεις. οὐλάς. λευκώματα σὺν μέλιτι ἐγχριόμενος. φύεται ἐν πετρώδεσι καὶ αὐχμηροῖς τόποις.

## Περὶ σκαμμωνίας. ΚΕ. ΤΜΖ΄.

Σκαμμωνία. οἱ δὲ σκαμβωνίας ῥίζα. οἱ δὲ κολοφωνία. οἱ δὲ δακτύλιον. ῥωμαῖοι κολοφώνιουμ. προφῆται ἀποπλύμενος. αἰγύπτιοι σάνιλουμ. κλῶνας ἀνίησι πολλοὺς, ἀπὸ μιᾶς ῥίζης τριπήχεις. λιπαρούς. ἐμφαίνοντάς τι παχύτητος. καὶ τὰ φύλλα δὲ δασέα. ὅμοια ἑλξίνῃ ἢ κισσῷ. μαλακώτερα μέντοι καὶ τριγωνοειδῆ. ἄνθη λευκὰ περιφερῆ. κοῖλα ὡς οἱ κάλαθοι. βαρύοσμα. ῥίζα δὲ δυμήκης. παχεῖα ὅσον πῆχυς. λευκή. βαρύοσμος. ὀποῦ μεστή. συλλέγεται δὲ ὁ ὀπὸς τῆς κεφαλῆς ἀπὸ τῆς ῥίζης ἀφαιρουμένης. καὶ θολοειδῶς τεμνομένης εἰς κοιλότητα. συρρεῖ γὰρ εἰς αὐτὴν ὁ ὀπὸς καὶ οὕτως ἀναλαμβάνεται εἰς μύακας. ἔνιοι δὲ τὴν γῆν ὀρύξαντες, θολοειδῶς, καρύας φύλλα ὑποθέντες, καταχέουσι τὸν ὀπόν. καὶ οὕτω ξηρανθέντα ἀναιροῦνται. ἔστι δὲ καλὸς ὁ διαυγὴς καὶ κοῦφος. ἀραιός. ταυροκολλώδης τὴν χρόαν. σηραγγίας ἔχων λεπτάς. σπογγώδης. τοιοῦτος δέ ἐστιν ὁ ἐκ μυσίας τῆς κατὰ τὴν ἀσίαν κομιζόμενος. μὴ

(προσέχειν δὲ μόνον τῷ λευκαίνεσθαι,

αὐτὴν κατὰ τὴν τῆς γλώττης θίξιν. τοῦτο γὰρ γίνεται καὶ παραμιγέντος αὐτῷ τοῦ τιθυμάλλου. μᾶλλον δὲ τοῖς προειρημένοις· καὶ τῷ μὴ λίαν πυροῦν τὴν γλῶσσαν. ὅπερ γίνεται τιθυμάλλου μιγέντος. ὁ δὲ συριακὸς καὶ ὁ ἐν ἰουδαίᾳ γινόμενος, χείριστοι. βαρεῖς. πυκνοί. δολούμενοι τιθυμάλλῳ καὶ ὀροβίνῳ ἀλεύρῳ. δύναμιν δὲ ἔχει ὁ ὀπὸς ληφθεὶς σὺν μελικράτῳ, ἢ ὕδατι πλῆθος < ἢ τετρωβόλου, καθαίρειν κάτω χολὴν καὶ φλέγμα. εἰς δὲ τὸ λῦσαι τὴν κοιλίαν ἀρκέσουσιν ὀβολοὶ β΄ μετὰ σησάμου ἢ τινὸς ἄλλου σπέρματος λαμβανόμενοι. δίδοται καὶ πρὸς ἐνεργεστέραν κάθαρσιν, τοῦ μὲν ὀποῦ τριώβολον. ἐλλεβόρου δὲ μέλανος ὀβολοὶ β΄. καὶ ἅλονος < α΄. σκευάζονται δὲ καὶ ἅλες καθαρτικοὶ πρὸς κυάθους ς΄ τῶν ἁλῶν ὁλκῶν κ΄ τῆς σκαμμωνίας τοῦ ὀποῦ μισγομένης. λαμβάνεται δὲ πρὸς δύναμιν τὸ μὲν πλεῖον, τρία κοχλιάρια. μέσον δὲ β΄. τὸ δὲ ἐλάχιστον α΄. καθαίρει δὲ καὶ ἡ ῥίζα < α΄ ἢ < β΄ σὺν οἷς εἴρηται. ἔνιοι δὲ ἀφέψοντες αὐτὴν, πίνουσι. συνεψηθεῖσα δὲ ὄξει καὶ λεανθεῖσα μετὰ ἀλεύρου κριθίνου, ἰσχιαδικῶν ἐστι κατάπλασμα. ὁ δὲ ὀπὸς προστιθέμενος ἐν ἐρίῳ τῇ μήτρᾳ, ἔμβρυα φθείρει. διαφορεῖ δὲ καὶ φύματα σὺν μέλιτι ἢ ἐλαίῳ καταχριόμενος. ἑψηθεὶς δὲ ἐν ὄξει καὶ καταχρισθεὶς, λέπρας θεραπεύει. κεφαλαλγίας τε χρονίας ἐστὶν ἐπίβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ.

Περὶ χαμελαίας. κε΄. ψμη΄.

Χαμελαία. οἱ δὲ πυρὸς ἄχνη ἢ ἄκνηστος. οἱ δὲ, χαμελαία μέλαινα. οἱ δὲ ἡράκλειον, οἱ δὲ βδελυρά. οἱ δὲ κόκκος κνίδειος. ῥωμαῖοι κιτοκάκιουμ. οἱ δὲ ἀλααμαγρ. οἱ δὲ ὀλεαστέλλουμ. κλῶνας μὲν ἔχει σπιθαμιαίους. ὁ δὲ θάμνος φρυγανώδης. φύλλα ἔχει ἐλαίᾳ παραπλήσια. λεπτότερα δὲ καὶ πικρά. δάκνοντα τὴν γεῦσιν· καὶ χαράττοντα τὴν ἀρτηρίαν. ταύτης τὰ φύλλα κάτω καθαίρει φλέγμα καὶ χολὴν μάλιστα ἐν καταποτίοις λαμβανόμενα. μισγομένου διπλασίονος ἀψινθίου πρὸς ἓν μέρος τῆς χαμελαίας. ἀναλαμβανέσθω δὲ ὑδρομέλιτι εἰς καταπότιον. ἔστι δὲ ἄπηκτα. διαχωρεῖται γὰρ ὅσα λαμβάνεται. ἀναλαμβανόμενα λεῖα τὰ φύλλα μετὰ μέλιτος ἀνακαθαίρει τὰ ῥυπαρὰ ἕλκη καὶ ἐσχαρωμένα.

Περὶ θυμελαίας. κε΄. ψμθ΄.

Θυμελαία. οἱ δὲ χαμελαίαν. οἱ δὲ πυρὸς ἄχνην. ἢ κέστρον ἢ κνέωρον καλοῦσιν. ἐκ ταύτης ὁ κνίδειος κόκκος καρπὸς ὢν συλλέγεται. ὃν σύροι μὲν ἀπόλιμον καλοῦσιν. οἱ δὲ λίνον. διὰ τὸ εἶναι τὸν σπαρτῷ λίνῳ θάμνον τῇ φύσει παρόμοιον. ῥάβδους δὲ ἀνίησι καλὰς καὶ λεπτὰς ὅσον διπήχεις. τὰ δὲ φύλλα χαμελαίᾳ ὅμοια. πλὴν στενώτερα καὶ λιπαρώτερα. ὑπόγλισχρα ἐν τῷ διαμασᾶσθαι καὶ κολλώδη. αὐτὰ λευκά. καὶ μεταξὺ αὐτῶν ὁ καρπὸς, ὡς μύρτον μικρὸς στρογγύλος. ἐν ἀρχῇ μὲν χλωρός. αὖθις δὲ ἐρυθρός. τὸ δὲ περικάρπιον σκληρὸν καὶ μέλαν. τὸ δὲ ἐντὸς λευκόν. ὅπερ καθαίρει κάτω χολὴν καὶ φλέγμα καὶ ὕδωρ, ὅσον κ΄ κόκκων τὸ ἐντὸς ποθέν. καίει δὲ τὴν φάρυγγα. διὸ μετὰ ἀλεύρου ἢ ἀλφίτου δοτέον. ἢ ἐν ῥαγὶ σταφυλῆς ἢ μέλιτι ἑφθῷ περιειλημμένον καταπιεῖν. συγχρίει δὲ καὶ τοὺς δυσιδρώτας λεῖον μετὰ νίτρου καὶ ὄξους. τὰ δὲ φύλλα ἅπερ ἰδίως καλεῖται κνέωρον, συλλέγειν δεῖ περὶ τὸν πυραμητόν. καὶ ἀποτιθέναι ξηράναντας ἐν σκιᾷ. διδόντας δὲ δεῖ κόπτειν καὶ ἀφαιρεῖν τὰς ἐν αὐτοῖς ἶνας. καθαίρει δὲ ἐπιπλασσόμενον ὅσον ὀξύβαφον πλῆθος μετὰ κράματος ἄγον ὑδατώδη. μετριωτέραν δὲ ποιεῖ τὴν κάθαρσιν μιχθὲν ἑψητῷ φακῷ. καὶ λαχάνοις τριπλοῖς. ἀποτίθεται δὲ λεῖα ἀναληφθέντα ὀμφακίου χυλῷ εἰς ἀρτίσκους. ἔστι δὲ κακοστό-

μαχος

μακρὸς ἢ βοτάνη. προστεθεῖσα δὲ ἔμβρυα κτείνει. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. πλανῶνται δὲ νομίζοντες τὸν κνίδειον κόκκον, τῆς χαμελαίας εἶναι καρπόν. ἀπατώμενοι διὰ τὸ τῶν φύλλων ὁμοειδές.

Περὶ ἀκτῆς. κεʹ. φιʹ.

Ἀκτή· οἱ δὲ δένδρον ἄρκτου· οἱ δὲ ἥμερον· ῥωμαῖοι σαμβούκουμ. γάλλοι σκοβιέμ. δάκοι σέβα. διττή ἐστιν· ἡ μὲν γάρ τις ἐστὶ δενδρώδης, κλάδους καλαμοειδεῖς ἔχουσα, στρογγύλους, ὑποκοίλους, ὑπολεύκους, εὐμήκεις. τὰ φύλλα γʹ ἢ δʹ ἐκ διαστημάτων περὶ τὴν ῥάβδον, καρύας βασιλικῆς ὅμοια, βαρύοσμά τε ἐπὶ τὸ μυητικώτερα. ἐπ᾽ ἄκρων δὲ τῶν κλάδων ἢ τῶν καυλῶν, σκιάδια περιφερῆ ἔχοντα ἄνθη λευκά. καρπὸν δὲ ἐοικότα τερμίνθῳ, ἐν τῷ μέλανι ὑποπόρφυρον, βοτρυώδη, πολύχυλον, οἰνώδη.

Περὶ χαμαιάκτης. κεʹ. φιαʹ.

Τὸ δὲ ἕτερον αὐτῆς χαμαιάκτη καλεῖται· οἱ δὲ ἑλιοσακτή· οἱ δὲ ἀγρία ἀκτή. οἱ δὲ εὐβοϊκή. ῥωμαῖοι ἔβουλουμ. γάλλοι δουκωνέ. δάκοι ὄλμα. αὕτη χαμαιπετὴς οὖσα ἐλάσσων ἐστὶ καὶ βοτανωδεστέρα, καυλὸν ἔχουσα τετράγωνον καὶ πολυγόνατον. τὰ δὲ φύλλα ἐκ διαστημάτων περὶ ἕκαστον γόνυ πτερωμένα. ὅμοια ἀμυγδαλῇ, κεχαραγμένα δὲ κύκλῳ, καὶ μακρότερα, βαρύοσμα. σκιάδιον δὲ ἐπ᾽ ἄκρου ὅμοιον τῇ πρὸ αὐτῆς ἔχουσα, καὶ ἄνθος καὶ καρπόν. ῥίζα δὲ ὕπεστι μακρά, δακτύλου πάχος. δύναμις δὲ ἡ αὐτὴ ἀμφοτέραις καὶ χρῆσις. ξηραντική, ψυκτική, ὑδραγωγός, κακοστόμαχος μέντοι. ἑψόμενα δὲ τὰ φύλλα ὡς λάχανα, καθαίρει φλέγμα καὶ χολήν. οἱ καυλοὶ δὲ ἁπαλοὶ ἐν λοπάσι ληφθέντες τὰ αὐτὰ ποιοῦσιν. ἡ ῥίζα δὲ αὐτῆς ἀφεψηθεῖσα σὺν οἴνῳ καὶ διδομένη παρὰ τὴν δίαιταν, ὑδρωπικοὺς ὠφελεῖ. βοηθεῖ καὶ ἐχιοδήκτοις ὁμοίως πινομένη. ἀφεψηθεῖσα δὲ μεθ᾽ ὕδατος, ἐγκάθισμα, μαλάσσει ὑστέρας καὶ ἀναστομοῖ καὶ διορθοῦται τὰς περὶ αὐτὴν διαθέσεις. καὶ ὁ καρπὸς δὲ σὺν οἴνῳ ποθείς, τὰ αὐτὰ ποιεῖ. μελαίνει δὲ καὶ τρίχας ἐγχριόμενος. τὰ δὲ φύλλα πρόσφατα καὶ ἁπαλά, φλεγμονὰς πραΰνει μετὰ ἀλφίτων καταπλαττόμενα. καὶ κατακαύμασιν ἁρμόζει καὶ κυνοδήκτοις καταπλασσόμενα. κολλᾷ δὲ ὑποφορὰς καὶ ποδαγρικοῖς βοηθεῖ. μετὰ στέατος ταυρείου ἢ τραγείου καταπλασσόμενα.

Περὶ πυκνοκόμου. κεʹ. φιβʹ.

Πυκνόκομον φύλλα ἔχει ὅμοια εὐζώμῳ. τραχέα δὲ καὶ παχέα καὶ δριμύτερα. καυλὸν, τετράγωνον. ἄνθος δὲ τῷ τοῦ ὠκίμου ἐμφερές. καρπὸν δὲ, ὡς πρασίου. ῥίζας, μελαίνας, στρογγύλας, ὠχράς, ὡς μικρὸν μῆλον, γεώδες ὀζούσας. φύεται ἐν πετρώδεσι τόποις. δύναμιν δὲ ἔχει ὁ καρπὸς ποθεὶς ὅσον < αʹ πλῆθος, ταραχώδη καὶ δεινὰ ἐνύπνια ποιεῖν. διαφορεῖ δὲ καὶ οἰδήματα ἐπιπλαττόμενος σὺν ἀλφίτῳ. καὶ ἀκίδας καὶ σκόλοπας ἐξάγει. καὶ τὰ φύλλα δὲ καταπλαττόμενα, φύματα καὶ δοθιῆνας διαφορεῖ. ἡ δὲ ῥίζα αὐτῆς λυτικὴ κοιλίας καὶ κινητικὴ χολῆς. δίδοται < βʹ ἐν μελικράτῳ.

Περὶ ἀπίου.

Ἄπιος. οἱ δὲ ἰσχάδα. οἱ δὲ χαμαιβάλανος, ὀρεινὴ ἢ ἀγρία. οἱ δὲ λινόζωστις. ῥωμαῖοι ῥάδιξ σιλβέστρις. ἄφροι θερφαβοσαδί. κλωνία δύο ἢ τρία ἀπὸ γῆς ἀνίησι. σχοινώδη. λεπτά. ἐρυθρά. μικρὸν ὑπὲρ τῆς γῆς αἰρόμενα. φύλλα πηγάνῳ ἐοικότα. ἐπιμηκέστερα μέντοι καὶ στενώτερα. χλωρά. καρπὸν, μικρόν. ῥίζα ἀσφονδύλῳ παραπλησία καὶ πρὸς τὸ τῆς ἀπίου σχῆμα. στρογγυλωτέρα δὲ. μεστὴ ὀποῦ. φλοιὸν ἔχουσα ἔξωθεν μέλανα. ἔνδοθεν δὲ λευκόν. ταύτης τὸ μὲν ἄνωθεν μέρος τῆς ῥίζης ληφθὲν, δι᾽ ἐμέτου ἄγει χολὴν καὶ φλέγμα. τὸ δὲ πρὸς τῇ ῥίζῃ κάτω καθαίρει. ὅλη δὲ ληφθεῖ-

σι, ἀμφοτέρας τὰς καθάρσεις κινεῖ. ὁπόσοι δὲ ἐκλυθεὶς, κόπτε τὰς ῥίζας. καὶ βαλὼν εἰς κρατῆρα ὕδατος σὺν τῷ ῥάκει. καὶ τὸ ἐφιστάμενον ὕδωρ τῷ πτερῷ ἀναλέγων ξήραινε. τούτου τρία ἡμιωβόλια ποθέντα, ἄνω καὶ κάτω καθαίρει.

Περὶ κολοκυνθίδος. ψνγ'.

Κολοκυνθίς. οἱ δὲ κολόκυνθα αἰγός. οἱ δὲ σικύαν πικράν. οἱ δὲ κολόκυνθα ἀλεξανδρινή. ζωροάστρις θύμβρη. ὀσθάνης αὐτογενές. ῥωμαῖοι κουκούρβιτα σιλβάτικα. δάκοι τουτρασπρα. κλήματα καὶ φύλλα ἐστρωμένα, ἐπὶ τῆς γῆς ἀφίησιν. ὅμοια τοῖς τοῦ ἡμέρου σικύου. ἐσχισμένα. καρπὸν δὲ περιφερῆ. ὅμοιον σφαίρᾳ μέσῃ. πικρὸν ἰσχυρῶς. ὃν δεῖ συνάγειν ἀρχόμενον μεταβάλλειν ἐπὶ τὸ ὠχρότερον. δύναμιν δὲ ἔχει ἡ μὲν ἐντεριώνη τοῦ καρποῦ καθαρτικήν. τετρωβόλου πλῆθος μετὰ ὑδρομέλιτος λαμβανομένη σὺν νίτρῳ καὶ σμύρνῃ καὶ μέλιτι ἑφθῷ εἰς καταπότια. αὗται δὲ αἱ σφαῖραι ξηραὶ λεῖαι, ὠφελίμως μίσγονται κλύσμασιν ἰσχιαδικῶν. καὶ παραλυτικῶν. καὶ κωλικῶν. ἄγουσι φλέγμα καὶ χολὴν καὶ ξύσμα. ἔστι δὲ καὶ αἱματώδες. ἔμβρυά τε φθείρουσι προστιθέμεναι. ὀδονταλγίας τε διάκλυσμα. ἐάν τις ἐκκαθάρας αὐτὴν καὶ περιπλάσας πηλῷ, ἐναποζέσας τε ἐν ὄξει καὶ νίτρῳ, δεῖ διακλύζεσθαι. ὁ δέ τις ἐναφεψήσας μελίκρατον ἢ καὶ γλυκὺ καὶ ἐξαιθριάσας δοὺς πιεῖν, καθαίρει τάχος καὶ ξύσμα. ἔστι δὲ κακοστόμαχος λίαν. προστίθεται δὲ καὶ βάλανος ἐξ αὐτῆς, πρὸς κομιδὴν τῶν περιττωμάτων. καὶ χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς, ἐπὶ ἰσχιαδικῶν ἀνατριβόμενος ἁρμόζει.

Περὶ ἐπιθύμου. ψνδ'.

Ἐπίθυμον. οἱ δὲ κεδδίς. ῥωμαῖοι ἰμβολουκρουμ. θύμου ἐστὶν ἄνθος, τοῦ σκληροτέρου καὶ θύμβρᾳ ἐοικότος. ἔχει δὲ κεφάλαια λεπτὰ κοῦφα. οὐραίους ἔχοντα ὡς τρίχας. πινόμενον δὲ σὺν μέλιτι, κάτω καθαίρει φλέγμα καὶ χολὴν μέλαιναν. ἰδίως ἁρμόζον ἐπὶ μελαγχολικῶν καὶ ἐμπνευματουμένων, ἐξυβάφου πλῆθος πρὸς ὁλκὴν < δ' σὺν μέλιτι καὶ ἁλσὶ καὶ ὀλίγῳ ὄξει. γεννᾶται δὲ πλεῖστον ἐν καππαδοκίᾳ καὶ παμφυλίᾳ.

Περὶ ἀλύπου. ψνε'.

Ἄλυπον. φρυγανῶδές ἐστι πάχ. ὑπέρυθρος. πλαγίον τρόφον. λεπτόφυλλος. ἄνθους μαλακοῦ καὶ κούφου μεστή. ὡς ῥίζα τεύτλου λεπτή. μεστὴ ὀποῦ δριμέος. σπέρμα ὡς ἐπιθύμου. γεννᾶται δὲ ἐν τόποις παραθαλασσίοις. μάλιστα τοῖς τῆς λιβύης τόποις πλεῖστον. καὶ ἄλλοις δὲ χωρίοις πλείστη. καθαίρει δὲ τὸ σπέρμα μέλαιναν χολὴν κάτω λαμβανόμενον τὸ ἴσον πλῆθος μετὰ ἁλῶν τοῦ ἐπιθύμου καὶ ὄξει. τὰ δὲ ἔντερα ἐλαφρῶς ἑλκοῖ.

Περὶ ἐμπέτρου. ψνϛ'.

Ἔμπετρον. οἱ δὲ φακοειδές. ἐν παραλίοις καὶ ὀρεινοῖς φύεται. ἁλυκὸν τῇ γεύσει. τὸ δὲ προσγειότερον, πικρότερον. διδόμενον δὲ ἐν ζωμῷ ἢ ὑδρομέλιτι, καθαίρει φλέγμα καὶ χολὴν καὶ ὑδατώδη.

Περὶ κληματίτιδος. ψνζ'.

Κληματῖτις. οἱ δὲ ἐπιπῖτις. αἰγύπτιοι φιλάκουεμ. ῥωμαῖοι ἀμβούξουμ. κλῆμα ἀφίησιν ὑπέρυθρον. λυγῶδες. φύλλον δριμὺ λίαν γευομένῳ καὶ ἑλκωτικόν. περιελίττεται δὲ τοῖς δένδροις ὡς σμίλαξ. ταύτης ὁ καρπὸς λεῖος μεθ' ὕδατος ἢ ὑδρομέλιτος ποθείς, ἄγει κάτω φλέγμα καὶ χολήν. τὰ δὲ φύλλα καταπλασθέντα, λέπρας ἀφίστησι. ταριχεύεται δὲ μετὰ τοῦ λεπιδίου εἰς βρῶσιν.

Περὶ ἀμπέλου ἀγρίας. ψνη'.

Ἄμπελος ἀγρία κλήματα ἀφίησι μακρὰ ὡς ἀμπέλου, ξυλώδη, τραχέα. φλοιορρα-

γοῦντα

ζιῶτα. φύλλα δὲ ὅμοια στρύχνῳ κηπαίῳ, πλατύτερα δὲ καὶ μακρότερα. ἄνθος ὡς τρίχας βρυώδεις. καρπὸν δὲ βοτρυδίοις μικροῖς ὅμοιον, πεπαινόμενον ἐρυθρόν. περιφερὴς δέ ἐστι τὸ σχῆμα τῶν κόκκων. ταύτης ἡ ῥίζα ἀποζεσθεῖσα ἐν οἴνῳ καὶ μεθ' ὕδατος πινομένη πεπαλαιωμένου κυάθων β', ὑδατώδεις καθαίρει. δίδοται δὲ τοῖς ὑδρωπικοῖς. οἱ δὲ βότρυες ἐφήλεις ἀποκαθαίρουσι καὶ πάντα σπίλον. ταριχεύονται δὲ οἱ ταύτης ἀκρέμονες ἀρτιφυεῖς εἰς βρῶσιν.

Περὶ ἀμπέλου λευκῆς. κε'. ψνθ'.

Ἄμπελος λευκή· οἱ δὲ βρυωνίαν, οἱ δὲ ὀφιοστάφυλον, οἱ δὲ χελιδόνιον, ἢ μήλωθρον, ἢ ψίλωθρον, ἢ ἀρχέζωστιν, ἢ ἄγρωστιν, ἢ κέδρωστιν καλοῦσι. ταύτης τὰ κλήματα καὶ τὰ φύλλα καὶ οἱ ἕλικες, ὅμοια τῇ ἡμέρῳ ἀμπέλῳ, δασύτερα δὲ πάντα. καὶ ἐμπλέκεται τοῖς παρακειμένοις θάμνοις ἐπιλαμβανομένη ταῖς ἕλιξι. καρπὸν δὲ ἔχει βοτρυώδη, πυῤῥόν, ᾧ ψιλοῦται τὰ δέρματα. ταύτης οἱ ἀσπάραγοι κατὰ τὴν πρώτην ἐκβλάστησιν ἑφθοὶ ἐσθίονται, οὔρησιν καὶ κοιλίαν κινοῦντες. δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ἡ ῥίζα δριμεῖαν. ὅθεν ἐπὶ τῶν χειρωνίων καὶ γαγγραινικῶν καὶ φαγεδαινικῶν καὶ σηπεδονικῶν ἑλκῶν μεθ' ἁλὸς καταπλασσόμενα ποιεῖ. ἡ δὲ ῥίζα χρῶτα ῥύπτει καὶ πτυνοῖ καὶ ἐφήλιν ἀποκαθαίρει. ἴονθους. φακούς. οὐλὰς μελαίνας σὺν ὀρόβῳ καὶ γῇ χίᾳ καὶ τήλει. καθεψηθεῖσα δὲ μετ' ἐλαίου μέχρι τακερωθῇ, πρὸς τὰ αὐτὰ ἁρμόζει. αἴρει δὲ καὶ ὑπώπια, καὶ πτερύγια τὰ ἐν δακτύλοις συστέλλει. σὺν δὲ οἴνῳ καταπλασσομένη, διαφορεῖ φλεγμονάς, καὶ ἀποστήματα ῥήσσει. ἀνάγει δὲ καὶ ὀστέα λεῖα καταπλασσομένη. σηπτοῖς τε μίγνυται ἐπιτηδείως. πίνεται δὲ καὶ πρὸς ἐπιληψίας ὁλκὴ α' καθ' ἡμέραν πρὸς ἐνιαυτόν. ὠφελεῖ δὲ ἀποπληκτικοὺς καὶ σκοτωματικοὺς ὁμοίως λαμβανομένη. δυοῖν δὲ < ὁλκὴ ποθεῖσα, ἐχιοδήκτοις βοηθεῖ καὶ ἔμβρυα φθείρει. ὑποταράττει δὲ ἐνίοτε τὴν διάνοιαν. καὶ οὖρα κινεῖ πινομένη. καὶ ἐκλεικτὸν δὲ μετὰ μέλιτος δι' αὐτῆς τοῖς πνιγομένοις καὶ δυσπνοοῦσι καὶ βήσσουσι, πλευρᾶν τε ἀλγοῦσι καὶ ῥήγμασι καὶ σπάσμασι δίδοται. τὸν σπλῆνα τήκει τριωβόλου ὁλκὴ ποθεῖσα σὺν ὄξει ἐπὶ ἡμέρας λ'. καὶ καταπλάσσεται δὲ μετὰ σύκου πρὸς τὰ αὐτὰ χρησίμως. ἀφέψεται δὲ καὶ εἰς ἐγκάθισμα καθαρτικὸν ὑστέρας ὄν, καὶ ἐκβόλιον. χυλίζεται δὲ ἡ ῥίζα αὐτῆς ἔαρος. πίνεται δὲ σὺν μελικράτῳ ὁ χυλὸς πρὸς τὰ αὐτὰ ἄγων φλέγμα. ὁ δὲ καρπὸς ποιεῖ πρὸς ψώρας καὶ λέπρας συγχριόμενος καὶ καταπλασσόμενος. κατασπᾷ δὲ καὶ γάλα ὁ χυλὸς αὐτῆς χλιανθείς. καὶ μετὰ πυρῶν ἑψημένων ῥοφηθείς.

Περὶ ἀμπέλου μελαίνης. κε'. ψξ'.

Ἄμπελος μέλαινα· οἱ δὲ βρυωνία μέλαινα, οἱ δὲ χειρώνιον ἄμπελον, οἱ δὲ βουκράνιον. ῥωμαῖοι ὀβλαμήνια. οἱ δὲ βατανοῦτα. οἱ δὲ βετισάλκα. δάκοι πριαδήλα. οἱ δὲ πιγρίνα. ἄφροι λασουθέν. φύλλα ἔχει κισσῷ ὅμοια, μᾶλλον δὲ πρὸς τὰ τῆς σμίλακος καὶ οἱ καυλοί, μείζονα δὲ ταῦτα. ἐπιλαμβάνεται δὲ καὶ αὐτὴ τῶν δένδρων ταῖς ἕλιξι. καρπὸς βοτρυώδης, χλωρὸς κατ' ἀρχήν, πεπανθεὶς δὲ μέλας γίνεται. ῥίζα μέλαινα ἔξωθεν, ἔσωθεν δὲ πυξοειδής. καὶ ταύτης οἱ καυλοὶ κατὰ τὴν πρώτην ἐκβλάστησιν λαχανεύονται. εἰσὶ δὲ καὶ οὐρητικοὶ καὶ καταμηνίων ἀγωγοί, τηκτικοὶ σπληνός. ἐπιληπτικοῖς καὶ σκοτωματικοῖς καὶ παραλυτικοῖς ἁρμόζουσιν. ἔχει δὲ ἡ ῥίζα δύναμιν ὁμοίαν τῇ λευκῇ πρὸς τὰ αὐτὰ ἁρμόζουσαν, ἧττον μέντοι ἐνεργεῖ. ποιεῖ δὲ πρὸς τὰς τῶν ὑποζυγίων λόφους ἐπιτεθεῖσα

ἑλκωθῶσι τὰ φύλλα σὺν οἴνῳ καταπλασσόμενα. καὶ πρὸς στρέμματα ὁμοίως ἐπιτίθενται.

Περὶ πτέριδος. κεφ. ρξα´.

Πτέρις. οἱ δὲ πτέριον. οἱ δὲ πτερίνεον. οἱ δὲ δασύκλονον. οἱ δὲ αἱμόσφορον. οἱ δὲ βλῆχρον. οἱ δὲ πολύρριζον καλοῦσι. προφῆται ἑρμοῦ βαΐν. ῥωμαῖοι φιλισφαναρία. οἱ δὲ λακχέλλα. οἱ δὲ φιλικέμ. αἰγύπτιοι ἀιμαόνς. φύλλα ἐστὶν ἄκαυλα. ἀνανθῆ. ἄκαρπα. ὀρθὰ ἀπὸ μόσχου. περὶ πῆχυν τὸ μέγεθος. ἐντετμημένα καὶ ἀνεπτωμένα ὡς πτέρυξ. ὑποδυσώδη. ῥίζαν δὲ ἔχει ἐπιπόλαιον. μέλαιναν. ὑπομήκη. ἐκφύσεις ἔχουσαν πολλάς. ὑποστυφοῦσαν τῇ γεύσει. φύεται ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις. ταύτης ἡ ῥίζα ἕλμιν πλατεῖαν ἐκτινάσσει < δ´ ὁλκὴ μετὰ μελικράτου λαμβανομένη. βέλτιον δὲ εἰ μετὰ σκαμμωνίας ἢ ἐλλεβόρου μέλανος ὀβολῶν τεττάρων δοίη τις. δεῖ δὲ προσκοροδοφαγεῖν τοὺς λαμβάνοντας. ποιεῖ δὲ καὶ πρὸς ἀποκατάστασιν σπληνιῶσι. καὶ μετὰ ἀξουγγίου δὲ ἡ ῥίζα τριφθεῖσα καὶ καταπλασθεῖσα, ποιεῖ πρὸς τοὺς ὑπὸ καλάμου πληγέντας. ἡ δὲ δοκιμὴ τοιαύτη. ἔνθα ἐστὶ πολὺς κάλαμος καὶ πολὺ βλῆχρον, στεφανῶσιν. ἀφανίζεται τὸ βλῆχρον.

Περὶ θηλυπτέριδος. κεφ. ρξβ´.

Θηλυπτερίς. οἱ δὲ νυμφαίαν πτέριν ὀνομάζουσι. ῥωμαῖοι λίγγυα κερβῖνα. τὰ μὲν φύλλα πτέριδι ὅμοια. οὐ μονόμοσχα δὲ ὡς τὰ ἐκείνης. ἀλλὰ πολλὰς ἔχοντα ἀποφύσεις καὶ ὑψηλοτέρας. ῥίζαι δὲ ὕπεισι μακραί. πλατεῖαι. πλείους. ὑπόξανθοι. ἐν ταῖς μέλασι. τινὲς δὲ ἐρυθραί. καὶ αὗται δὲ σὺν μέλιτι ἐκλεικτῷ λαμβανόμεναι, πλατεῖαν ἕλμιν ἐκβάλλουσι. σὺν οἴνῳ δὲ πινόμεναι < γ´ πλῆθος στρογγύλην ἐκτινάσσουσιν ἕλμιν. γυναιξὶ δὲ δοθεῖσαι, ἀσυλληψίας ποιοῦσι. καὶ ἐγκύους δὲ διαβοῦν ἐκτιτρώσκει. ξηραὶ δὲ ἐπὶ τῶν δυσαλθῶν καὶ καθύγρων ἑλκῶν ἐπιπλάσσονται. λόφους τε ὑποζυγίων ἰῶνται. τὰ δὲ φύλλα αὐτῆς ἀρτίβλαστα λαχανεύεται ἑφθὰ βιβρωσκόμενα. καὶ κοιλίαν μαλάσσουσιν.

Περὶ πολυποδίου. κεφ. ρξγ´.

Πολυπόδιον. οἱ δὲ σκολοπένδριον. οἱ δὲ πτερίς. οἱ δὲ πολύρριζον. ῥωμαῖοι φολίκουλα λικουτάλις. φύεται ἐν πέτραις βρύα ἐχούσαις καὶ ἐν τοῖς ἀγρίοις πρέμνοις τοῖς ἐπὶ τῶν δρυῶν. σπιθαμιαῖον ἔχουσα τὸ ὕψος. ὅμοιον τῇ πτέριδι. ὑπόδασυ. ἐντετμημένον. οὐ μὴν οὕτω λεπτοσχιδῶς. ῥίζα ὕπεστι δασεῖα. πλεκτάνας ὥσπερ ὁ πολύπους ἔχουσα. πάχος μικροῦ δακτύλου. ξυσθεῖσα δὲ ἔνδοθεν, χλωρά. στρυφνή. τῇ δὲ γεύσει ὑπόγλυκυς. δύναμιν ἔχουσα καθαρτικήν. δίδοται δὲ συγκαθεψομένη ὄρνιθι. ἢ ἰχθύσιν ἢ σεύτλῳ ἢ μαλάχῃ πρὸς κάθαρσιν. ξηρὰ δὲ ἐπιπασσομένη ἐν μελικράτῳ, ἄγει φλέγμα καὶ χολήν. ποιεῖ καὶ πρὸς στρέμματα ἡ ῥίζα λεία καταπλασσομένη. καὶ πρὸς ῥαγάδας τὰς ἐν μεσοδακτύλοις.

Περὶ δρυοπτερίδος. κεφ. ρξδ´.

Δρυοπτερίς. οἱ δὲ πτέριον. οἱ δὲ νυμφαία πτερίς. φύεται κατὰ τὰ βρυώδη μέρη τῶν παλαιῶν δρυῶν. ὁμοία πτέριδι. ἐλάττων δὲ πολλῷ τῇ σχίσει. ῥίζας δὲ ἔχει καταπεπλοκὴν δασείας. στρυφνὰς κατὰ τὴν γεῦσιν. ἐν τῷ γλυκεῖ ῥέπουσα. αὕτη ἐπιπλασθεῖσα λεία σὺν ταῖς ῥίζαις, τρίχας ψιλοῖ. δεῖ δὲ ἀναψαύοντα πρῶτον μετὰ τὸ ἱκμάσαι τὸν χρῶτα. καὶ νεαρὸν ἐπιπλάσσειν.

Περὶ κνίκου. κεφ. ρξε´.

Κνῖκος φύλλα ἔχει ἐπιμήκη. ἐντετμημένα. τραχέα. ἀκανθώδη. καυλοὺς δὲ πηχυαίους. ἐφ' ὧν κεφαλὴ κατὰ μέγεθος ἐλαίας. ἄνθος κρόκῳ ὅμοιον. σπέρμα λευκὸν καὶ πυρρόν, ἐπιμήκες. γωνιωμένον. τούτῳ τῷ ἄνθει χρῶνται εἰς τὰ προσοψήματα. τὸ σπέρ-

μα κο

μακοπτόμενον καὶ χυλιζόμενον σὺν ὑδρομέλιτι ἢ ζωμῷ ὄρνιθος, κοιλίαν καθαίρει. κακοστόμαχον δέ ἐστι. γίνεται δὲ καὶ κοπτάρια κοιλίας μαλακτικά, τοῦ ὀποῦ αὐτοῦ μιχθέντος ἀμυγδάλῳ ἢ νίτρῳ, καὶ ἀνήσῳ καὶ μέλιτι ἑφθῷ. δεῖ δὲ πρὸ δείπνου λαμβάνειν εἰς δ' διελόντα, ὡς βασιλικοῦ καρύου μέγεθος β' ἢ γ'. σκευάζειν δὲ τὸν τρόπον τοῦτον. δεῖ κνίκου λευκοῦ ξέστην α'. ἀμυγδάλων πεφρυγμένων λελεπισμένων κυάθους τρεῖς, ἀνήσου ξέστην ἕνα. ἀφρονίτρου < α'. ἰσχάδων τῆς σαρκὸς ἀριθμῷ λ'. πήγνυσι δὲ καὶ γάλα ὁ χυλὸς τοῦ σπέρματος, καὶ λυτικώτερον ποιεῖ.

## Περὶ λινοζώστεως. κεφ. ρξϛ.

Λινόζωστις ἄρρην· οἱ δὲ, παρθένιον· οἱ δὲ, ἀργυρός· οἱ δὲ, ἀριστολλίς· οἱ δὲ, χρυσίτις· Αἰγύπτιοι ἀφλοφό· οἱ δὲ, Ἑρμοῦ βοτάνη· Ῥωμαῖοι ἕρβα μερκουριάλις μασκούλα· οἱ δὲ, τεστικουλάτα. Ἄφροι ἀσουμές. ἔχει τὰ φύλλα ὅμοια ὠκίμῳ, πρὸς τὰ τῆς ἐλξίνης, ἐλάττονα δέ. κλωνία δὲ γόνατα, μασχάλας πολλὰς πυκνὰς ἔχοντα. τὸν δὲ καρπὸν, ἡ μὲν θήλεια βοτρυώδη καὶ πολύν· ὁ δὲ ἄρρην, πρὸς τοῖς πετάλοις μικρὸν στρογγύλον ὥσπερ ὀρχίδια κατὰ δύο προσκείμενα. ὅλος δὲ ὁ θάμνος σπιθαμιαῖος ἢ καὶ μείζων. κινοῦσι δὲ ἀμφότεραι κοιλίας λαχανευόμεναι καὶ ἐσθιόμεναι. καθεψόμεναι δὲ ἐν ὕδατι ἐκπινομένου τοῦ ὕδατος, ἄγουσι χολὴν καὶ ὑδατώδη. δοκεῖ δὲ τὰ μὲν τῆς θηλείας φύλλα λεῖα πινόμενα καὶ προστιθέμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις, σύλληψιν θήλεως ποιεῖσθαι. τὰ δὲ τοῦ ἄρρενος ὁμοίως ἐπιτηδευθέντα ἀρρενογόνα γίνεσθαι.

## Περὶ κυνοκράμβης. κεφ. ρξζ.

Κυνία ἢ κυνοκράμβη· οἱ δὲ, λινόζωστις ἀγρία ἄρρην. Ἄφροι ἀρμάς· οἱ δὲ, ἀσουμὲς λαβόν. καυλίον ἀνίησι διπιθαμιαῖον, τρυφερόν, ὑπόλευκον. φύλλα ἐμφερῆ λινοζώστει, ἥκιστα ὑπόλευκα ἐκ διαστημάτων. τὸν δὲ καρπὸν πρὸς τοῖς πετάλοις προσκείμενον, μικρὸν, στρογγύλον. δύναμιν δὲ ἔχει, ὅ τε καυλὸς καὶ τὰ φύλλα πινόμενα, κοιλίας κινητικήν. λαχανευόμενα, καθεψόμενα δὲ, τὸ ὕδωρ ἄγει χολὴν καὶ ὑδατώδη.

## Περὶ ἡλιοτροπίου τοῦ μεγάλου. κεφ. ρξη.

Ἡλιοτρόπιον τὸ μέγα· οἱ δὲ, σκορπίουρον· οἱ δὲ, ἡλιότροπος· οἱ δὲ, διάλιον· οἱ δὲ, ἡλιόπουν· οἱ δὲ, σκορπιόκτονον· οἱ δὲ, σήσαμον ἄγριον· οἱ δὲ, σκορπιὸς βραχύ. σκορπίουρον λέγεται ἀπὸ τοῦ περὶ τὸ ἄνθος σχήματος. ἡλιοτρόπιον δὲ ἀπὸ τοῦ συμπεριτρέπεσθαι τὰ φύλλα τῇ τοῦ ἡλίου κλίσει. ἔχει δὲ τὰ φύλλα ὠκίμῳ παραπλήσια, δασύτερα δὲ καὶ λευκότερα καὶ μείζονα. κλωνία ἀπὸ τῆς ῥίζης ὅσον γ' ἢ δ' ἢ ε'. καὶ ἐν τούτοις μασχάλας πλείους. ἐπ' ἄκρων δὲ ἄνθος λευκὸν, ὑπόπυρρον, ἐπικαμπές, καθάπερ σκορπίου οὐρά. ῥίζα δὲ λεπτὴ καὶ ἄχρηστος. φύεται ἐν τραχέσι τόποις. τούτου ὅσον δέσμη ἀφεψηθεῖσα μεθ' ὕδατος καὶ ποθεῖσα, ἄγει φλέγμα καὶ χολὴν κατὰ κοιλίας. ἁρμόζει δὲ καὶ σκορπιοπλήκτοις μετὰ οἴνου πινομένη καὶ καταπλασσομένη. πρὸς ἀτόκιον δὲ περιάπτεται. φασὶ δὲ πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας, τοῦ καρποῦ δ' κόκκους μετ' οἴνου ποθέντας, τεταρταίους καταπαύειν· τριταίους δὲ τρεῖς. καταπλασσόμενος δὲ ὁ καρπὸς, μυρμηκίας καὶ ἀκροχορδόνας καὶ θύμους καὶ ἐπινυκτίδας ξηραίνει. τὰ δὲ φύλλα ποδάγραις καὶ στρέμμασι καὶ σιριῶσι παιδίοις ἐπιπλάττεται ὠφελίμως. κινεῖ δὲ καὶ ἔμμηνα, καὶ ἔμβρυα ἄγει λεῖα προστεθέντα.

## Περὶ ἡλιοτροπίου τοῦ μικροῦ. κεφ. ρξθ.

Ἡλιοτρόπιον τὸ μικρόν· οἱ δὲ, σκορπίουρον. φύεται ἐν τελματώδεσι τόποις καὶ παρὰ λίμναις. ἔχει φύλλα παραπλήσια τῷ προειρημένῳ, στρογγυλώτερα δὲ καὶ τὸν καρπὸν, στρογγύλον

ἀποκρεμάμενον ὡς ἀκροχορδόνας. δύναται δὲ ἡ πόα μετὰ τοῦ καρποῦ τριβομένη σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρδάμῳ καὶ ὕδατι, ἕλμινς πλατείας καὶ στρογγύλας ἐκτινάσσει. αἴρει δὲ καὶ ἀκροχορδόνας σὺν ἁλσὶ καταπλασσομένη. Περὶ σκορπιοειδοῦς. κεφ. ϙο.

Σκορπιοειδές. βοτάνιον φύλλα ἔχον ὀλίγα καὶ σπέρματα οὐραῖς σκορπίου ἐμφερῆ. βοηθεῖ δὲ καταπλασσόμενα σκορπιοπλήκτοις ἄκρως.

Τέλος τοῦ τετάρτου βιβλίου.

# ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ ΠΕΡῚ ὙΛΗΣ ἸΑΤΡΙΚΗ͂Σ. ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ἀ Ποδόντες ἐν τοῖς προγραφεῖσι τέτρασι βιβλίοις φίλτατε ἄρειε τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν δὲ αὐτῶν καρπῶν τε καὶ δακρύων, ἔτι τε ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στεάτων καὶ τῶν καλουμένων σιτηρῶν καὶ λαχάνων. καὶ τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων, καὶ σπερμάτων λόγον, ἐν τούτῳ τελευταίῳ ὑπάρχοντι τῆς ὅλης πραγματείας, διαλεξόμεθα περὶ οἴνων καὶ τῶν καλουμένων μεταλλικῶν ἀρξάμενοι ἀπὸ τῆς περὶ ἀμπέλου παραδόσεως.

Περὶ ἀμπέλου οἰνοφόρου. κεφ. ϙα.

Ἀμπέλου οἰνοφόρου τὰ φύλλα καὶ αἱ ἕλικες λεῖαι καταπλασσόμεναι κεφαλαλγίας πραΰνουσι. φλεγμονήν τε στομάχου καὶ καῦσον σὺν ἀλφίτῳ. καὶ καθ' ἑαυτὰ ἐπιτιθέμενα τὰ φύλλα ψυκτικὰ καὶ στυπτικὰ ἐστί. καὶ ὁ δὲ αὐτῶν δὲ χυλὸς ποθεὶς, δυσεντερικοὺς καὶ αἱμοπτυϊκοὺς καὶ στομαχικοὺς καὶ κισσώσας ὠφελεῖ. ἀποβραχεῖσαι δὲ καὶ αἱ ἕλικες ἐν ὕδατι καὶ ποθεῖσαι, τὰ αὐτὰ ποιοῦσι. τὸ δὲ δάκρυον αὐτῆς ὅμοιον ὂν κόμμι, περιπηγνύμενον τοῖς στελέχεσι, λίθους ἐκτινάσσει πινόμενον σὺν οἴνῳ. ἰᾶται δὲ καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας καταχριόμενον. δεῖ δὲ προσκνίζουν τὸν τόπον. σὺν ἐλαίῳ δὲ ἐγχριόμενον συνεχῶς, ψιλοῖ τὰς τρίχας. καὶ μάλιστα ὁ ἀπὸ τοῦ χλωροῦ καιομένου κλήματος ἀφιδρούμενος ἰχώρ. ὃς καὶ μυρμηκίας ἐπιχριόμενος ἐκβάλλει. ἡ δὲ ἐκ τῶν κλημάτων καὶ στεμφύλων τέφρα, τὰ περὶ δακτύλιον ἀφαιρεθέντα κονδυλώματα καὶ θύμια, σὺν ὄξει καταπλασθεῖσα θεραπεύει. καὶ στρέμματα. καὶ ἐχιοδήκτοις ὠφελεῖ. καὶ σπληνὸς φλεγμονὰς σὺν ῥοδίνῳ καὶ πηγάνῳ καὶ ὄξει καταπλασσομένη. Περὶ ἀμπέλου ἀγρίας. κεφ. ϙβ.

Ἄμπελος ἀγρία διττή. ἡ μὲν γὰρ αὐτῆς οὐ περκάζει τὴν σταφυλήν. ἄχρι δὲ ἀνθήσεως ἄγει τὴν λεγομένην οἰνάνθην. ἡ δέ τις τελεσφορεῖ μικρόρραξ οὖσα. καὶ μέλαινα καὶ στυπτική. δύναμιν δὲ ἔχει ταύτης τὰ φύλλα καὶ αἱ ἕλικες καὶ οἱ καυλοὶ, ὁμοίως τῇ ἡμέρῳ.

Περὶ σταφυλῆς. κεφ. ϙγ.

Σταφυλὴ ἡ μὲν πρόσφατος πᾶσα ἐκταράσσει κοιλίαν. καὶ ἐμπνευματοῖ στόμαχον. ἡ δὲ ἐπὶ χρόνον τινὰ κρεμασθεῖσα, ὀλίγον μετέχει τούτων. διὰ τὸ πολὺ τῆς ἰκμάδος ἀποξηρανθῆναι. εὐστόμαχός τε ἐστὶ καὶ ὀρέξεως ἀνακλητική. καὶ ἐπιτήδειος πρὸς τοὺς ἀσθενοῦντας. αἱ δὲ ἐκ τῶν στεμφύλων καὶ ἐκ τῶν βικῶν, εὔστομοι. εὐστόμαχοι. κοιλίας ἐφεκτικαί. κύστεως δὲ καὶ κεφαλῆς ἅπτονται. ἁρμόζουσι δὲ καὶ αἱμοπτυϊκοῖς. ὅμοιαι δέ εἰσι καὶ αἱ εἰς τὸ

γλεύκους ἐμβαλλομένου. αἱ δὲ ἐκ τοῦ ἑψήματος καὶ γλεύκους κακοστομαχώτεραι. συντίθενται δὲ καὶ μετ' ὀμβρίου ὕδατος προσταφιδωθεῖσαι. γίνονται δὲ αἱ τοιαῦται ἐπ' ὀλίγον οἰνώδεις. διψώδεσι δὲ καὶ καυσώδεσι καὶ χρονίοις πυρετοῖς χρήσιμοι. τὸ δὲ στέμφυλον αὐτῶν ἀποτεθὲν, καταπλάττεται μετὰ ἁλῶν πρὸς φλεγμονὰς καὶ σκληρίας καὶ ἀποστάσεις μαστῶν. τὸ δὲ ἀφέψημα τῶν στεμφύλων, δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ ῥοικὰς ὠφελεῖ ἐνιέμενον. καὶ εἰς ἐγκαθίσματα καὶ προσκλύσματα λαμβάνεται. τὰ δὲ γίγαρτα αὐτῶν στυπτικά. εὐστόμαχα. φρυγέντα δὲ καὶ ἀντὶ ἀλφίτου ἐπιπλασσόμενα λεῖα, ἁρμόζει δυσεντερικοῖς. καὶ κοιλιακοῖς καὶ τοῖς τὸν στόμαχον ἀναλελυμένοις.

Περὶ σταφίδος. κε. φοδ.

Τῆς δὲ σταφίδος λεπτικωτέρα ἐστὶν ἡ λευκή. ὠφελεῖ δὲ ἡ σὰρξ αὐτῆς ἐσθιομένη ἀρτηρίας καὶ βῆχας καὶ νεφροὺς καὶ κύστιν καὶ δυσεντερίας σὺν τοῖς γιγάρτοις ἐσθιομένη καθ' ἑαυτήν. μιγεῖσα δὲ ἀλεύρῳ κεγχρίνῳ ἢ κριθίνῳ ἢ ὠῷ, καὶ τηγανισθεῖσα μετὰ μέλιτος καὶ λαμβανομένη, ἔστι τε ἀποφλεγματισμοὺς καθ' ἑαυτήν. καὶ σὺν πεπέρει μασσωμένη εὐθετεῖ. διδύμων τε φλεγμονὰς παύει καταπλασθεῖσα μετὰ ἀλεύρου κυάμου ἢ κυμίνου. ἐπινυκτίδας δὲ καὶ ἄνθρακας καὶ κηρία καὶ τὰς περὶ ἄρθρα σηπεδόνας καὶ γαγγραίνας, χωρὶς γιγάρτων ἰᾶται λεία σὺν πηγάνῳ ἐπιτιθεμένη. πρός τε ποδάγρας ἁρμόζει μετὰ τοῦ ὀποπάνακος καταπλασσομένη. καὶ ὄνυχας δὲ θᾶττον ἀφίστησι σαλευθέντας ἐπιπλασθεῖσα.

Περὶ οἰνάνθης. κε. φοε.

Οἰνάνθη καλεῖται ὁ τῆς ἀγρίας ἀμπέλου καρπὸς ὅτε ἀνθεῖ. ἀποτεμόντας δὲ δεῖ εἰς ἀκονίατον ἀγγεῖον ὀστράκινον. συλλέγοντας καὶ ξηραίνοντας ἐπὶ ὀθονίου ἐν σκιᾷ. καλλίστη δὲ γίνεται ἐν Συρίᾳ καὶ Κιλικίᾳ καὶ Φοινίκῃ. δύναμις δὲ αὐτῆς στυπτική. πινομένη εὐστόμαχος καὶ οὐρητική. κοιλίαν ἐφιστῶσα καὶ αἵματος ἀνάπτυσιν. ξηρὰ δὲ καταπλασθεῖσα, καὶ πρὸς ἀσώδεις καὶ ὀξύνοντας στομάχους ποιεῖ. ἔστι δὲ καὶ κεφαλαλγίαις ἔμβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ χλωρά τε καὶ ξηρά. κατάπλασμά τε ἐναίμων ἀφλέγμαντον. καὶ ἀρχομένων αἰγιλώπων. καὶ τῶν ἐν στόματι οὐλῶν. καὶ νομῶν τῶν ἐν αἰδοίοις σὺν μέλιτι καὶ κρόκῳ καὶ ῥοδίνῳ καὶ σμύρνῃ λεανθεῖσα. εἴς τε πότους μίσγνυται πρὸς ἐπίσχεσιν αἵματος καὶ ῥεύματα ὀφθαλμῶν καὶ καυσουμένους στομάχους καταπλάσσεται σὺν πολτῷ ἀλφίτου καὶ οἴνου. καυθεῖσα δὲ ἐν ὀστράκῳ διαπύροις ἄνθραξι, ποιεῖ πρὸς τὰ ὀφθαλμικά. παρωνυχίας τε καὶ πτερύγια καὶ οὖλα ἀφεστῶτα καὶ αἱμασσόμενα σὺν μέλιτι θεραπεύει.

Περὶ ὀμφακίου. κε. φος.

Ὀμφάκιον ἐστὶ μὲν χυλὸς ὄμφακος Θασίας σταφυλῆς μήπω περκαζούσης. ἢ ἀμμιναίας. δεῖ δὲ πρὸ κυνὸς ἐκθλίβοντα τὸν χυλὸν ἡλιάζειν ἐν χαλκώματι ἐρυθρῷ ἐσκεπασμένῳ ὀθονίῳ, μέχρις οὗ συστραφῇ ὅλον. ἀεὶ τὸ περιπηγνύμενον μίσγοντα τῷ ὑγρῷ. νύκτωρ δὲ αἴρειν αὐτὸ ἀπὸ τοῦ ὑπαιθρίου. κωλύουσι γὰρ αἱ δρόσοι τὴν σύστασιν αὐτοῦ. ἐκλέγου δὲ τὸ ξανθὸν. καὶ εὔθρυπτον. στύφον ἱκανῶς καὶ δάκνον τὴν γλῶσσαν. ἔνιοι δὲ ἕψοντες τὸν χυλὸν συστρέφουσιν. ἁρμόζει δὲ πρὸς παρίσθμια καὶ σταφυλήν. ἄφθας. οὖλα πλαδαρά. ὦτα πυορροῦντα σὺν μέλιτι ἢ γλυκεῖ. πρὸς δὲ σύριγγας καὶ παλαιὰ ἕλκη καὶ νομὰς σὺν ὄξει. ἐγκλύζεται δὲ ἐπὶ δυσεντερικῶν καὶ ῥοικῶν. ἐστὶ δὲ καὶ ὀξυδερκές. βραχύτησι δὲ ὀφθαλμῶν ἁρμόζει καὶ περιβρώσεσι κανθῶν. πίνεται καὶ πρὸς αἵματος ἀνάπτυσιν τὴν πρόσφατον καὶ κατὰ ῥῆξιν γινομένην. ὑδαρεῖ δὲ δεῖ χρῆσθαι λίαν καὶ ὀλίγῳ. ἐπικαίει γὰρ ἱκανῶς.

Ἔτι ἄλλο. δύναμιν δὲ στυπτικόν. ἁρμόττει τοῖς βραδέως πέττουσι καὶ λελυμένοις στομάχοις. καὶ ταῖς κισσώσαις γυναιξὶ καὶ ἀλεώδεσι. δοκεῖ δὲ βοηθεῖν ἐν ταῖς λοιμικαῖς καταστάσεσι ῥοφούμενον. χρῶνται δὲ οἱ τοιοῦτοι οἶνοι ἐπὶ τῶν πολλῶν. ἄλλως γὰρ οὐκ εἰσὶ πότιμοι.

## Περὶ οἴνων.

Οἶνοι οἱ μὲν παλαιοὶ νεύρων βλαπτικοὶ καὶ τῶν λοιπῶν αἰσθητηρίων. πρὸς δὲ γεῦσιν ἡδίονες. ὅθεν φυλακτέον τοῖς ἀσθενές τι μέρος ἔχουσι τῶν ἔνδον, παρατηρητέον. ἐπὶ μέντοι τῶν ἐν ὑγείᾳ χρήσεως ὀλίγος τε ἐν ὑδαρὴς λαμβανόμενος ἀβλαβῶς. ὁ δὲ νέος ἐμπνευματικός. δύσπεπτος. δυσόνειρος. οὐρητικός. ὁ δὲ μέσος τῇ ἡλικίᾳ, ἐκπέφευγε τὰ ἀμφότερα ἐλαττώματα. ὅθεν ἐγκριτέος ἐστὶν ἔν τε ὑγείας ἐν ἀσθενείας χρήσει. ἔτι ὁ μὲν λευκὸς λεπτός τε ἐν εὐανάδοτος καὶ εὐστόμαχος ὑπάρχει. ὁ δὲ μέλας παχὺς καὶ δύσπεπτος. μέθης τε σαρκῶν γεννητικός. ὁ δὲ κιρρὸς μέσος ὤν, μέσην ἔχει καὶ τὴν πρὸς ἑκάτερα τούτων δύναμιν. αἱρετώτερος μέντοι ἔν τε ὑγείᾳ ἐν ἀσθενείᾳ ὁ λευκός. ἔτι καὶ πρὸς τὴν ποιότητα διαφέρουσιν. ὁ μὲν γὰρ γλυκὺς οἶνος, ἁδρομερής τε ἐστὶ καὶ δυσδιάπνευστος. στομάχου πνευματωτικός. κοιλίας τε ἐν ἐντέρων ταρακτικός. ὥσπερ καὶ τὸ γλεῦκος. ἧττον δὲ μεθυστικός. κύστει δὲ καὶ νεφροῖς εὔθετος. ὁ δὲ αὐστηρὸς οὐρητικώτερος. κεφαλαλγίας τε καὶ μέθης ποιητικός. ὁ δὲ στρυφνὸς εὐθετώτατος πρὸς ἀνάδοσιν σιτίων. κοιλίας τε σταλτικὸς καὶ τῶν ἄλλων ῥευματισμῶν. ὁ δὲ ἁπαλὸς ἧττον ἅπτεται τοῦ νευρώδους καὶ ἧττον ἐστὶν οὐρητικός. ὁ δὲ τεθαλασσωμένος, κακοστόμαχος. διψοποιός. νεύρων κακωτικός. εὐκοίλιος. ἀνεπιτήδειος τοῖς ἐξ ἀσθενείας. ὁ δὲ ἐκ τῆς θηλοπαλευθείσης σταφυλῆς, ἢ ἀπὸ τῶν κλημάτων ὀπτηθείσης ἐντριβομένης γινόμενος, γλυκύς. καλούμενος κρητικὸς ἢ πρόδρομος ἢ πράμνιος. ἢ ὁ καθεψόμενος τοῦ γλεύκους σίραιος. ἢ ἕψημα καλούμενον, ὁ μὲν μέλας, καλούμενος ἡ μελάμψινθιος παχύς ἐστι καὶ πολύτροφος. ὁ δὲ λευκός, λεπτότερος. ὁ δὲ μέσος, μέσην ἔχει καὶ τὴν δύναμιν. στυπτικὸς δὲ πᾶς ἐστι. σφυγμῶν ἀνακτητικός. ποιῶν πρὸς πάντα τὰ θανάσιμα ὅσα ἤδη ἕλκωσιν ἀναιρεῖ. πινόμενος σὺν ἐλαίῳ ἐν ἐξεμούμενος. καὶ πρὸς μηκώνειον δὲ φάρμακον ἐν τοξικὸν καὶ κώνειον. καὶ γάλα θρομβωθέν τε. πρὸς κύστιν καὶ νεφροὺς ὀδαξωμένους ἐν ἑλκουμένους. εἰσὶ δὲ πνευματικοὶ καὶ κακοστόμαχοι. ἰδίως δὲ ἐπὶ τῶν τὴν κοιλίαν ῥευματιζομένων ἁρμόζει ὁ μέλας ψίνθιος. ὁ δὲ λευκὸς μαλακτικὸς κοιλίας τῶν ἄλλων μᾶλλον. ὁ δὲ τὴν γύψον ἔχων κακωτικὸς τῶν νεύρων, καρηβαρικός. πυρώδης. κύστει ἄθετος. πρὸς δὲ τὰ θανάσιμα τῶν ἄλλων εὐθετώτερος. οἱ δὲ πίσσαν ἢ ῥητίνην πιτυΐνην ἔχοντες θερμαντικοί. καὶ πεπτικοί. ἄθετοι δὲ τοῖς αἱμοπτοϊκοῖς. οἱ δὲ καλούμενοι ἀπαράχυτοι, ἔχοντες δὲ ἕψημα μεμιγμένον, κεφαλῆς εἰσὶ πληρωτικοὶ μέθης γεννητικοί. δυσδιάπνευστοι. κακοστόμαχοι. ὁ μὲν οὖν δοκῶν πρωτεύειν τῶν ἐν Ἰταλίᾳ οἴνων φαλέρνος δὲ καλούμενος, παλαιωθείς, ἄγαν εὔπεπτος. σφυγμῶν ἀνακλητικός. κοιλίας στεγνωτικὸς ἐν εὐστόμαχος. κύστει ἄθετος. καὶ ἀμβλυωποῦσι καὶ πρὸς πολυποσίαν ἀνάρμοστος. ὁ δὲ ἀλβανὸς ἁδρομερέστερος τοῦ φαλέρνου, ὁ γλυκύς. ἐμπνευματοῖ τὸν στόμαχον κοιλίαν τε μαλάττει. πέττεται δὲ οὐχ ὁμοίως συμφέρει. τοῦ δὲ νευρώδους ἧττον κακωτικός. παλαιωθεὶς δὲ οὗτος αὐστηρὸς γίνεται. ὁ δὲ κίκκυβος γλυκὺς ὤν, ἁδρομερέστερός ἐστι τοῦ ἀλβανοῦ. σαρκῶν τε καὶ εὐχροίας γεννητικός. πέττεται δὲ ἀθέτως. ὁ δὲ συρεντῖνος αὐστηρὸς ἱκανῶς ἐστιν. ὅθεν ἐντέρων καὶ στομάχου ῥεῦμα ἵστησι. κεφαλῆς τε ἧττον ἅπτεται λεπτομερὴς ὤν. παλαιωθεὶς δὲ εὐστόμαχος τε ἡδίων γίνεται. ὁ δὲ ἀδριανὸς καὶ ὁ μα-

μερτινὸς

μερτιανὸς γεννώμενοι ἐν σικελίᾳ, καὶ ποτόν ἐστιν ἁδρομερεῖς. μετρίως στύφοντες. καὶ τάχιον παλαιοῦται. ἧττον δὲ τῶν νευρωδῶν ἅπτεται διὰ τὸ εἶναι τοῖς λεπτόν. ὁ δὲ πραιτουτιανὸς καὶ αὐτὸς ἐκ τῶν κατὰ τὸν ἀδρίαν κομιζόμενος τόπων, εὐώδης καὶ λιπαρώτερος ἐστί. εὐεκλαθεὶς πολὺς πινόμενος. φυλάττει δὲ ἐφ᾽ ἱκανὸν τὴν μέθην καὶ καροῖ. ὁ δὲ ἰστρικὸς λεγόμενος, ἔοικε τῷ πραιτουτιανῷ. οὐρητικώτερος ὑπάρχων. ὁ μέντοι χῖος ἁπαλώτερος τῶν προειρημένων. εὔτροφος. πότιμος. ἧττον μεθύσκων. ῥεύματος σταλτικός. χρήσιμος εἰς τὰ ὀφθαλμικά. ὁ δὲ λέσβιος εὐανάδοτος. κουφότερος τοῦ χίου καὶ εὐκοίλιος. τὴν αὐτὴν δὲ τούτῳ κέκτηται δύναμιν ὁ κατ᾽ ἔφεσον γεννώμενος. καλούμενος δὲ φυγελίτης. ὁ δὲ ἐκ τῆς ἀσίας μεσογείτης ἐκ τοῦ τμώλου, κεφαλαλγὴς καὶ νεύρων βλαπτικός. ὁ δὲ κῷος καὶ κλαζομένιος διὰ τὸ θαλάττης πολλῆς μετέχειν εὔφθαρτος καὶ ἐμπνευματώδης. κοιλίας τε ταρακτικὸς καὶ νεύρων ἐστὶ βλαπτικός. κοινῶς δὲ πᾶς ἀμιγὴς οἶνος καὶ ἀκέραιος, αὐστηρὸς δὲ τὴν φύσιν, θερμαντικός. εὐανάδοτος. εὐστόμαχος. ὀρεκτικός. θρεπτικός. ὑπνωτικός. ῥωστικός. εὐχροίας παρασκευαστικός. ἱκανῶς δὲ χυθείς, βοηθεῖ τοῖς κώνειον, ἢ κόριον, ἢ φαρικὸν, ἢ ἰξίαν ἢ μηκώνιον ἢ λιθάργυρον. ἢ σμίλακα, ἢ ἀκόνιτον, ἢ μύκητας εἰληφόσι. πρός τε ἑρπετῶν δηγμοὺς καὶ πληγὰς πάντων, ὅσα πλήξαντα ἢ δακόντα κατὰ ψύξιν ἀναιρεῖ ἢ ἀνατρέπει στόμαχον. ποιεῖ καὶ πρὸς ἐμπνευματώσεις χρονίας καὶ δῆξιν ὑποχονδρίου. καὶ πλατυσμοὺς καὶ λύσεις στομάχου. ἐντέρων τε καὶ κοιλίας ῥευματισμούς. καὶ ἱδρῶσι καὶ διαφορουμένοις ἁρμόζουσι. μάλιστα δὲ οἱ λευκοὶ καὶ παλαιοὶ καὶ εὐώδεις. οἱ μέντοι παλαιοὶ καὶ γλυκεῖς, καὶ πρὸς τὰ περὶ κύστιν καὶ νεφροὺς ἐπιτηδειότεροι. πρός τε τραύματα καὶ φλεγμονὰς σὺν ἐρίοις οἰνηροῖς ἐπιτιθέμενοι. καταπλάττονται δὲ ὠφελίμως πρὸς τὰ θηριώδη καὶ φαγεδαινικὰ καὶ ῥευματιζόμενα ἕλκη. πρὸς δὲ τὴν ἐν ὑγείᾳ χρῆσιν εὔθετοι οἱ ἀθάλασσοι αὐστηροὶ καὶ λευκοί. διαφέρουσι δὲ τούτων οἱ ἰταλικοί. ὡς ὁ φαλερῖνος. συρεντῖνος καὶ καίκουβος. ὅ τε σιγνηνὸς καὶ ἄλλοι πολλοὶ οἱ ἀπὸ τῆς καμπανίας. καὶ ὁ πραιτουτιανὸς ἀπὸ τοῦ ἀδρία. καὶ σικελιωτικὸς ὁ καὶ μαμερτιανὸς καλούμενος. ἑλληνικῶν δὲ χῖος. λέσβιος. φυγελίτης ὁ ἐν ἐφέσῳ γεννώμενος. οἱ δὲ παχεῖς καὶ μέλανες κακοστόμαχοι. φυσώδεις. σαρκὸς μέντοι γεννητικοί. οἱ μέντοι λεπτοὶ καὶ αὐστηροὶ εὐστόμαχοι. ἧττον δὲ σαρκοποιοί. οὐρητικώτεροι δὲ καὶ κεφαλαλγεῖς οἱ σφόδρα παλαιοὶ καὶ λεπτοὶ καὶ λευκοί. ἅπτονται δὲ τῶν νευρωδῶν πλεονασθέντες. οἱ μέσοι δὲ τὴν ἡλικίαν ἄριστοι πρὸς πόσιν. ὡς οἱ ἀπὸ ζ ἐτῶν. ἡ δὲ ποσότης παρὰ τὴν ἡλικίαν καὶ τὴν τοῦ ἔτους ὥραν, καὶ ἔθη καὶ ποιότητα τοῦ οἴνου ὁριζέσθω. καὶ τὸ μὴ διψῆν δὲ ἄριστον ἐστὶ παράγγελμα. καὶ τὸ μετρίως βραχῆναι τὴν τροφήν. μέθη δὲ πᾶσα καὶ μάλιστα ἡ συνεχὴς ἐστὶ βλαβερά. τά τε γὰρ νεῦρα πολιορκούμενα καθικάσιν ἐνδίδωσι καὶ παθῶν ὀξέων ἀρχὰς ἐμποιεῖ καθημέρας ἡ πολυποσία. μετρίως δὲ οἰνοῦσθαι διὰ τινων ἡμερῶν, καὶ μάλιστα ἐπὶ ὑδροποσίας ὠφέλιμον. μετασυγκρίνει γάρ πως τάς τε αἰσθητικὰς ἀνακαθαίρει κρίσεις. καὶ ἀδήλως πορίζουσιν. δεῖ μέντοι ἐπὶ μετὰ τὴν οἴνωσιν ὑδροποτεῖν. ἀπὸ θεραπείας γάρ τινος τῆς συγκειμένης οἰνώσεως, τρόπον ἐπάγει βοηθείας. ὁ δὲ καλούμενος ὀμφακίτης, σκευάζεται ἰδίως ἐν λέσβῳ. θλιβομένης μήπω κατὰ πάντα πεπείρου τῆς σταφυλῆς οὔσης. ἔτι δὲ ἐξιζούσης, ἐπὶ ἡμέρας γ ἢ δ ἕως ἂν ῥυσσωθῶσιν οἱ βότρυες. καὶ μετὰ τὸ ἐκθλιβῆναι ἡλιάζεται ἐν κεραμίοις οἶνος. στυπτικὴν δὲ ἔχει τὴν δύναμιν καὶ εὐστόμαχον. καὶ κοιλιώδεσι καὶ ἐλκώδεσι καὶ τοῖς δυσπέπτοις καὶ ἐκλελυμένοις τὸν στόμαχον ἁρμόζουσι. δοκεῖ δὲ καὶ λοιμικαῖς διαθέσεσι βοηθεῖν κατὰ

ῥοφούμενος. χρήζουσι δὲ οἱ τοιοῦτοι οἶνοι ἐτῶν πλειόνων. ἄλλως γὰρ οὐκ εἰσὶ πότιμοι. ὁ δὲ καλούμενος δευτερίας, ὃν ἔνιοι πότιμον καλοῦσι, σκευάζεται τοῦτον τὸν τρόπον. εἰς τὰ στέμφυλα ὧν ἀπέθλιψας οἴνου μετρητὰς λʹ, βάλε ὕδατος μετρητὰς γʹ. καὶ μίξας καὶ πατήσας ἔκθλιψον. καὶ ἀφέψησον εἰς τὸ τρίτον. χρὴ δὲ ἑκάστῳ τῶν ὑπολειφθέντων μετρητῶν, μίξον ἁλὸς ξε. βʹ. καὶ μετὰ τὸν χειμῶνα διαχεῖ εἰς κεράμια. χρῶ δὲ αὐτῷ μετ' ἐνιαυτόν. ταχέως γὰρ ὀξίτηλος γίνεται. ἁρμόζει δὲ ἐφ' ὧν διστάζομεν οἶνον διδόναι, ἀναγκαζόμενοι διὰ τὴν ἐπιθυμίαν τοῦ νοσοῦντος. καὶ ἐπὶ τῶν νόσον ἀναλαμβανόντων χρονίως. γίνεται δὲ καὶ ἀδύναμος λεγόμενος τὴν αὐτὴν ἔχων τῷ δευτερίᾳ δύναμιν. δεῖ δὲ ἴσον μέτρον ὕδατος τῷ τοῦ γλεύκους μίξαντας, ἑψῆσαι πραέως πυρὶ μαλακῷ ἄχρις ἂν ἐξαναλωθῇ τὸ ὕδωρ. καὶ μετὰ τοῦτο ψύξαντας καταγγίζειν εἰς ἀγγεῖον πεπισσωμένον. ἔνιοι δὲ θαλάττης πελαγίας καὶ ὕδατος ὀμβρίου καὶ μέλιτος καὶ γλεύκους ἴσα μίξαντες καὶ καταγγίσαντες, ἡλιάζουσιν ἐπὶ ἡμέρας μʹ. χρῶνται δὲ αὐτῷ πρὸς τὰ αὐτὰ μετ' ἐνιαυτόν. ὁ δὲ, ἐκ τῆς ἀγρίας σταφυλῆς μέλας, στυπτικὸς ὑπάρχων, ἁρμόζει κοιλίᾳ ῥευματιζομένῃ. καὶ στομάχῳ. καὶ πρὸς τὰ ἄλλα ὅσα στύψεως καὶ συστολῆς χρήζει.

Περὶ μελιτίτου οἴνου. κεφ. ψοη.

Οἶνος μελιτίτης, δίδοται μὲν ἐν χρονίοις πυρετοῖς ἀσθενῆ στόμαχον ἔχουσιν. ὑπομαλάττει γὰρ τὴν κοιλίαν. οὖρα κινεῖ. στόμαχον ἀποκαθαίρει. ἁρμόζει καὶ ἀρθριτικοῖς. καὶ νεφριτικοῖς. καὶ τοῖς ἀσθενῆ τὴν κεφαλὴν ἔχουσι. χρήσιμος δὲ καὶ γυναιξὶν ὑδροποτούσαις. εὐώδης γάρ ἐστι καὶ θρεπτικός. διαφέρει δὲ τοῦ οἰνομέλιτος. ὅτι ἐκεῖνος μὲν ἐξ αὐστηροῦ οἴνου καὶ παλαιοῦ καὶ ὀλίγου μέλιτος σκευάζεται. ὁ δὲ μελιτίτης πρὸς ε χόας αὐστηροῦ γλεύκους. μέλιτος χοῦν ἕνα καὶ ἁλὸς κύαθον ἕνα. σκευάζειν δὲ δεῖ ἐν μεγάλῳ ἀγγείῳ ἵνα τόπον ἔχῃ πρὸς τὸ ὑπερζέειν ἐπιπάσσοντα τοῦ προειρημένου ἁλὸς κατ' ὀλίγον ἄχρις ἂν ἐκζέσῃ. παυσαμένου δὲ καταγγίζειν εἰς ἕτερα κεράμια. Περὶ οἰνομέλιτος. κεφ. ψοθ.

Οἰνόμελι δὲ διαφέρει τὸ ἐκ τοῦ παλαιοῦ οἴνου καὶ αὐστηροῦ καὶ μέλιτος καλοῦ γινόμενον. ἧττον γὰρ πνευματοῖ καὶ ταχέως παρίσταται τὸ γίνεσθαι. ἔστι δὲ τὸ μὲν παλαιὸν, θρεπτικόν. τὸ δὲ μέσον, εὐκοίλιον. οὐρητικόν. βλάπτει δὲ ἐπὶ τροφῇ λαμβανόμενον, τὸ ἐν ἀρχῇ πληροῖ. ὄρεξιν δὲ μετὰ ταῦτα κινεῖ. σκευάζεται δὲ πρὸς δύο μετρητὰς ὡς τὸ πολὺ, οἴνου, ἑνὸς μετρητοῦ μέλιτος μισγομένου. οἱ δὲ, ἵνα τάχιον αὐτὸ παραστήσωσι, συνέψουσι τὸ μέλι τῷ οἴνῳ. καὶ οὕτω καταγγίζουσιν. ἔνιοι δὲ διὰ λυσιτέλειαν, γλεύκους ζέοντος ξε. ςʹ πρὸς ξε. αʹ μέλιτος μιγνύντες μετὰ τὸ ἀποζέσαι καταγγίζουσι. μένει δὲ γλυκύ.

Περὶ μελικράτου. κεφ. ψπ.

Μελίκρατον δὲ τὴν αὐτὴν τῷ οἰνομέλιτι δύναμιν κέκτηται. χρώμεθα δὲ τῷ ἀφεψημένῳ. ἐφ' ὧν κοιλίαν μαλάξαι βουλόμεθα. ἢ ἐμετὸν κινῆσαι ὡς ἐπὶ τῶν θανάσιμον πεπωκότων. διδόντες αὐτὸ μετ' ἐλαίου. τῷ δὲ ἀφεψημένῳ ἐπὶ τῶν μικροσφύκτων καὶ ἀσθενῶν καὶ βησσόντων καὶ περιπνευμονικῶν καὶ διαφορουμένων. τὸ δὲ σκευαστὸν καὶ ἀπόθετον ὃ ἰδίως ἔνιοι ὑδρόμελι καλοῦσι, μέσον μὲν τῇ ἡλικίᾳ ὑπάρχον, ἀναλογεῖ τῷ δευτερίᾳ καὶ ἀδυνάμῳ οἴνῳ ὅσον ἐπὶ τῷ τῆς δυνάμεως ἀπαντᾶσθαι. ὅθεν ἐπὶ τῶν φλεγμαινόντων τι μέρος ἐστὶν εὔθετον μᾶλλον τοῦ δευτερίου. τὸ δὲ παλαιότερον, ἀδόκιμον ἐπὶ τῶν φλεγμαινόντων καὶ στενῶν. ἐπὶ δὲ τῶν στόμαχον πεπονθότων ἢ ἀνορέκτων ἢ διαφορουμένων ἐπιτήδειον. σκευάζεται δὲ πρὸς ἓν μέλιτος μέρος. δύο ὕδατος ὀμβρίου παλαιοῦ μισγομένων καὶ ἡλιαζομένων.

οἱ δὲ,

οἱ δὲ, πήγανον μίξαντες ἀφεψοῦσιν εἰς τὸ τρίτον καὶ ἀποτίθενται. καλοῦσι δέ τινες καὶ τὸ ἀπὸ τοῦ μέλιτος ἐκ πλυνομένων τῶν κηρίων ὕδατι σκευαζόμενον, ὑδρόμελι· καὶ ἀποτιθέμενον δεῖ δὲ αὐτὸ καὶ ἀκρατέστερον ποιεῖν. οἱ δὲ, καὶ τοῦτο ἕψουσιν. ἔστι δὲ ἄθετον ἐπὶ νοσούντων. διὰ τὸ πλεῖστον ἔχειν κηρανθέμου.

## Περὶ ὕδατος. κεφ. πα.

Ὕδωρ. τὴν μὲν ἐν τῷ καθόλου ἐπίκρισιν, δυσχερῆ ἔχει διὰ τὰς τῶν τόπων ἰδιότητας καὶ ἰδιοσυγκρισίας. καὶ τοὺς ἀέρας καὶ ἄλλα οὐκ ὀλίγα. ὡς δὲ ἐπὶ τὸ πολὺ ἄριστόν ἐστι τὸ καθαρὸν καὶ γλυκύ. ἀμέτοχον δὲ οἱασοῦν ποιότητος καὶ τοῖς ὑποχονδρίοις μὴ δι' ἐλαχίστου χρόνου ἐπιμένον. ἔτι τε ἀλύπως διοδεῦον καὶ ἐμπνευματοῦν. μὴ δὲ διαφθειρόμενον.

## Περὶ θαλασσίου ὕδατος. κεφ. πβ.

Θαλάσσιον ὕδωρ, θερμόν. δριμὺ κακοστόμαχον. κοιλίας ἐστὶ ταρακτικόν. ἄγει φλέγμα. θερμὸν δὲ καταντλούμενον, ἐπισπᾶται καὶ διαφορεῖ. ἁρμόζον τοῖς περὶ νεῦρα πάθεσι καὶ χειμέθλοις πρὸ τοῦ ἑλκωθῆναι. ὠμηλύσει τε ἐπιτηδείως μίγνυται. καὶ ἐμπλάστροις καὶ μαλάγμασι διαφορητικοῖς ἐντίθεται. καὶ πρὸς τὰ κνήσματα ἐνιέμενον χλιαρόν. καὶ πρὸς στρόφους θερμόν. ψώρας τε καὶ κνησμῶν καὶ λειχήνων καὶ κονίδων καὶ μασῶν συνεργὸν τὸ κατάντλημα. διαφορεῖ καὶ πελιώματα πυριώμενον. καὶ πρὸς τὰ τῶν θηρίων δήγματα ὅσα τρόμους καὶ ψυγμοὺς φέρει. μάλιστα δὲ σκορπίων καὶ φαλαγγίων καὶ ἀσπίδων. καὶ εἰ προσεμβαίνει τις εἰς θερμὸν αὐτό, ὠφελεῖ. καὶ ταῖς χρονίαις καχεξίαις τοῦ σώματος καὶ τῶν νεύρων, ὠφέλιμον τὸ δι' αὐτοῦ λουτρόν. ὑπαιθριαζόμενον δὲ θερμόν, ὑδρωπικοὺς κεφαλαλγίας καὶ δυσηκοΐας θεραπεύει. ἀντίθες δὲ ἡ ἀκέραιος θάλασσα καὶ ἀμιγὴς ποτίμου ὕδατος, ἄβρωμος γίνεται. οἱ δὲ, προεψοῦσιν αὐτὴν καὶ οὕτως ἀποτίθενται. δίδοται δὲ καὶ πρὸς κάθαρσιν καθ' ἑαυτὴν ἢ μετὰ ὀξυκράτου. ἢ οἴνου ἢ μέλιτος. καὶ μετὰ τὸ καθαρθῆναι, ἐπιδίδοασι ζωμὸν ὄρνιθος ἢ ἰχθύων. πρὸς τὸ κατακεράσαι τὴν τῆς δήξεως δριμύτητα.

## Περὶ θαλασσομέλιτος. κεφ. πγ.

Θαλασσόμελι. δοκεῖ καθαίρειν ἀνδρικῶς. σκευάζεται δὲ ἐκ μέλιτος καὶ ὕδατος ὀμβρίου καὶ θαλάσσης. ἴσων ἐνυλισθέντων καὶ ἡλιασθέντων ἐν ἀγγείῳ πεπισσωμένῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν. οἱ δὲ, δύο μέρη θαλάσσης ἀφεψημένης καὶ ἓν μέλιτος καταμίξαντες, καταγγίζουσι. μετριώτερον δὲ γίνεται καὶ ἐπιεικέστερον τὸ χωρὶς τῆς θαλάσσης.

## Περὶ ὄξους. κεφ. πδ.

Ὄξος ψύχει καὶ στύφει. εὐστόμαχόν τέ ἐστι καὶ εὐόρεκτον. σταλτικόν τε αἱμορραγίας πάσης. πινόμενόν τε καὶ ἐγκαθιζόμενον. καὶ ἐπὶ ῥευμάτων κοιλίας συνεψόμενον ταῖς τροφαῖς ἁρμόζει. εὔθυμόν τε ἐστὶ καὶ ἀφλέγμαντον σὺν ἐρίοις οἰσυπηροῖς ἢ σπόγγοις ἐπιτιθέμενον. στέλλει καὶ ὑστέρας καὶ ἕδρας προπεπτωκυίας. καὶ οὖλα ἀφιστῶντα καὶ αἱμορραγοῦντα. ποιεῖ καὶ πρὸς νομὰς καὶ ἐρυσιπέλατα. ἕρπητας. λέπρας. λειχῆνας. πτερύγια. σύν τινι τῶν ἐπιτηδείων μιγνύμενον. φαγεδαινικά τε ἕλκη συνεχῶς καταντλούμενον. καὶ νομὰς ἵστησιν. ὠφελεῖ καὶ ποδαγρικοὺς καταντλούμενον θερμὸν μετὰ θείου. ὑπώπιά τε αἴρει σὺν μέλιτι καταχριόμενον. πρός τε τὰς ἐγκαύσεις τῆς κεφαλῆς σὺν ῥοδίνῳ καὶ οἰσυπηροῖς ἐρίοις ἢ σπόγγῳ. ὑδρωπικούς τε καὶ δυσηκόους ὑπαιθριασθὲν θερμὸν ὠφελεῖ. καὶ ἤχους καὶ συριγμοὺς ἐνσταχθὲν ἢ κτείνει τοὺς ἐν ὠσὶ σκώληκας. στέλλει καὶ φύγεθλα χλιαρὸν καταντλούμενον. ἢ διὰ σπόγγων ἐπιτιθέμενον. καὶ κνησμοὺς παρηγορεῖ. πρός τε θηρίων δήγματα ὅσα ψύχει κατάντλημα θερμόν. ψυχρὸν δὲ τοῖς πυροῦσι τῶν ἰοβόλων.

ποιεῖ καὶ πρὸς τὰ θανάσιμα πάντα πινόμενον θερμὸν ἢ ἐξεμούμενον. μάλιστα πρὸς μηκωνείου καὶ κωνείου πόσιν, καὶ αἵματος καὶ γάλακτος θρόμβωσιν ἐν κοιλίᾳ. πρός τε μύκητας καὶ ἰξίαν καὶ σμίλακας σὺν ἁλσί. βδέλλας τε τὰς ἐνδεθείσας καταρροφούμενον ἀποβάλλει. καὶ βῆχα χρονίαν πραΰνει. τὴν δὲ πρόσφατον ἐρεθίζει. ἁρμόζει καὶ πρὸς ὀρθόπνοιαν θερμὸν καταρροφούμενον. στέλλει δὲ ἀναγαργαριζόμενον καὶ τὰ ἐν βρόγχῳ ῥεύματα. συνάγχαις τε ἁρμόζει. καὶ πρὸς κιονίδα κεχαλασμένην. καὶ πρὸς ὀδόντων πόνον θερμὸν διακλυζόμενον.

## Περὶ ὀξυμέλιτος. κεφ. πε.

Ὀξύμελι σκευάζεται οὕτω. λαβὼν ὄξους κοτύλας ε. καὶ ἁλὸς θαλασσίου μνᾶν μίαν. μέλιτος μνᾶς ι. ὕδατος κοτύλας ι. μίξας ἕψησον ἄχρις οὗ δεκάκις ἀναβράσῃ. καὶ ψύξας κατάθου. δοκεῖ δὲ λαμβανόμενον πάχος ἄγειν. ὠφελεῖ ἰσχιαδικούς. καὶ ἀρθριτικοὺς ἐπιληπτικούς. ἀρήγει δὲ καὶ τοῖς ὑπὸ ἐχίδνης καὶ καλουμένης σηπὸς δηχθεῖσι. καὶ τοῖς μηκώνειον ἢ ἰξίαν πιοῦσιν. ἀναγαργάρισμά τε συναγχικῶν ὠφέλιμον.

## Περὶ ὀξάλμης. κεφ. πϛ.

Ὀξάλμη ὠφελεῖ καταντλουμένη πρὸς νομάς. σηπεδόνας. κυνόδηκτα. καὶ τὰ ἀπὸ τῶν ἰοβόλων δήγματα. στέλλει δὲ καὶ τὰς ἐπὶ τῶν λιθοτομηθέντων αἱμορραγίας. εὐθέως μετὰ τὴν χειρουργίαν θερμὴ ἐγκλυζομένη. καὶ ἕδρας προπεπτωκυίας. ἐγκλύζεται δὲ καὶ ἐπὶ τῶν μετὰ νομῆς δυσεντερικῶν. δεῖ δὲ ἐπιγχυματίζειν γάλακτι. καταρροφουμένη δὲ καὶ ἀναγαργαριζομένη βδέλλας κτείνει. σμήχει δὲ καὶ πιτύρας καὶ ἄχωρας.

## Περὶ θυμοξάλμης. κεφ. πζ.

Θυμοξάλμῃ ἐχρῶντο οἱ ἀρχαῖοι ἐπὶ τῶν ἀσθενῆ τὸν στόμαχον ἐχόντων. κυάθους τρεῖς ἢ τέσσαρας κυάθοις πρὸς ὕδωρ θερμὸν κεραννύντες διδόντες. καὶ ἐπὶ ἀρθριτικῶν καὶ πνευματουμένων. ἄγει δὲ παχέα καὶ μέλανα. σκευάζεται δὲ οὕτω. θύμου λείου ὀξύβαφον. ἁλῶν ἴσον. ἀλφίτων. πηγάνου. γλήχωνος. ἑκάστου ὀλίγον βαλὼν εἰς ἄγγος, ἐπίχει ὕδατος κοτύλας ϛ'. ὄξους ἡμικοτύλιον. περιθείς τε ὀθόνιον ὑπαιθρίαζε.

## Περὶ σκιλλητικοῦ ὄξους. κεφ. πη.

Τὸ δὲ σκιλλητικὸν ὄξος σκευάζεται τοῦτον τὸν τρόπον. καθάρας λευκὴν σκίλλαν καὶ κατατεμὼν καὶ διείρας λίνῳ ὥστε μὴ θιγγάνειν τοὺς τόμους ἀλλήλων, ξηράνας ἐν σκιᾷ ἐπὶ ἡμέρας μ', λαβὼν μνᾶν μίαν ἐξ αὐτῆς κάθες εἰς ξε. ὄξους καλοῦ ιβ'. ἄφες τε ἐν ἡλίῳ ἡμέρας ζ' βρέχεσθαι, πωμάσας τὸ ἀγγεῖον ἐπιμελῶς. μετὰ δὲ ταῦτα ἀνελόμενος τὴν σκίλλαν καὶ ἐκπιέσας, αὐτὴν μὲν ῥῖψον. τὸ δὲ ὄξος ὑλίσας, κατάστησε καὶ ἀποτίθεσο. τινὲς δὲ μνᾶν πρὸς ὄξους ξε. ε' μίσγουσιν. οἱ δὲ, αὐτὴν καθάραντες δίχα τοῦ ξηραίνειν, τὸν σταθμὸν ἴσον βάλλουσι καὶ ἐῶσι μῆνας ϛ'. γίνεται δὲ τὸ τοιοῦτον δριμύτερον. εὐθετεῖ δὲ διακλυζόμενον, πρὸς οὖλα μυδῶντα στέλλον καὶ στερροποιοῦν αὐτά. καὶ ὀδόντας κινουμένους. καὶ τὰς περὶ τὸ στόμα σηπεδόνας καὶ δυσωδίας, ἱκανῶς ἀνασκευάζον. καταρροφούμενον δὲ τὸν φάρυγγα στερεοῖ καὶ τυλώδη ποιεῖ καὶ τὴν ἠχὴν εὔτονον καὶ λαμπρὸν ἀποτελεῖ. παραλαμβάνεται δὲ πρὸς στομαχικοὺς καὶ δυσπεπτοῦντας. ἐπιληπτικούς. σκοτοδινιῶντας. μελαγχολικούς. ἀπολιθουμένους. ἔτι δὲ καὶ πρὸς ὑστερικὰς πνίγας. καὶ σπλῆνας ὑπερόγκους καὶ ἰσχιάδας. ἀναλαμβάνει δὲ καὶ τοὺς λίαν ἀσθενεῖς. καὶ τὸ σῶμα ὑγιεινὸν καὶ εὔχροον κατασκευάζει. ἔστι δὲ καὶ ὀξυδερκές. καὶ πρὸς δυσηκοίαν ἐν σταγόσι δύναται τὸ ἴσον ἐγχυματίζηται. καὶ καθόλου πρὸς ἅπαντα ἐνεργεῖ

πολλῶν

πολὺ ἑλκώδεσιν τῶν ἐντὸς κεφαλαλγιῶν καὶ νευρικῶν. δίδου δὲ καθ᾽ ἡμέραν ἐφεξῆς, τὴν μὲν ἀρχὴν ὀλίγον, κατὰ βραχὺ δὲ προσαύξων ἄχρι κυάθου. τισὶ δὲ κυάθους β᾽ δίδοασιν ἢ καὶ πλεῖον.

Περὶ σκιλλητικοῦ οἴνου. κεν. ψλθ.

Ὁ δὲ διὰ τῆς σκίλλης οἶνος γίνεται οὕτως. κατατεμὼν ὡς ἔτυχε τὴν σκίλλαν, ξήρανον ἐν ἡλίῳ. ἔπειτα κόψας αὐτῆς μνᾶν μίαν καὶ διασήσας λεπτῷ κοσκίνῳ, ἔνδησον ἐν ὀθονίῳ ἀραιῷ, καὶ κάθες εἰς γλεύκους καλοῦ καὶ προσφάτου ξε. κ᾽. ἐρριμμένον τε ἐάσας βραχῆναι. μετὰ δὲ ταῦτα μετηράσας τὸν οἶνον εἰς ἕτερον ἀγγεῖον, ἀπόθου περισφηκώσας ἐπιμελῶς. ἔνιοι δὲ καὶ ὑγρᾷ τῇ σκίλλῃ χρῶνται, ἐντέμνοντες αὐτὴν ῥαφανίδος τρόπον, καὶ τὴν ὁλκὴν διπλασιάσαντες. δεῖ δὲ ἡλιάζειν ἐπὶ ἡμέρας μ᾽. καὶ παλαιοῦν ἄγαν. ἔτι δὲ καὶ οὕτω σκευάζεται ὁ προειρημένος οἶνος. λαβὼν σκίλλης ἐντετμημένης καὶ κεκαθαρμένης μνᾶς γ᾽, κάθες εἰς γλεύκους καλοῦ μετρητὴν ἰταλικόν. καὶ μῆνας ἓξ ἔασον πωμάσας. εἶτα ὑλίσας καὶ μετηράσας ἀπόθου. δίδοται δὲ πρὸς ἀπεψίας καὶ διαφθορὰς τροφῆς, καὶ τοὺς ἀπεμοῦντας ταύτην. ἐφ᾽ ὧν τε παχεῖα κοιλία παράκειται ἢ στόμαχοι. σπληνικοῖς καὶ καχέκταις καὶ ὑδρωπικοῖς. ἰκτερικοῖς. δυσουροῦσι. στρεφομένοις. πνευματουμένοις. παραλυτικοῖς. ῥίγεσι χρονίοις. σκοτωματικοῖς. σπάσμασι. καταμηνίων τε ἀγωγός. ἥκιστα δὲ νεῦρα λυπεῖ. ἀμείνων δὲ ὁ παλαιότερος. φυλάσσεσθαι δὲ δεῖ αὐτοῦ τὴν χρῆσιν ἐπὶ πυρετοῖς καὶ ἐπὶ τῶν ἐντὸς ἐχόντων ἕλκος.

Περὶ θαλασσίτου οἴνου. κεν. ψμ.

Οἱ δὲ διὰ θαλάσσης οἶνοι, ποικίλως σκευάζονται. οἱ μὲν γὰρ εὐθέως αὐτῶν μετὰ τὸ τὴν συνθῆναι τὴν σταφυλήν, μιγνύουσι θάλασσαν. ἔνιοι δὲ προθηλεπτεῖ ἡλιοῦσι. καὶ οὕτω πατοῦσι μιγνύντες θάλασσαν. οἱ δέ, τρυγήσαντες τὴν σταφυλήν, βρέχουσιν ἐν πίθοις μετὰ θαλάσσης. καὶ οὕτω πατοῦντες ἐκθλίβουσι. γίνεται δὲ ὁ τοιοῦτος γλυκύς. οἱ μέντοι γηραιοὶ τὴν γεῦσιν αὐστηρότεροι σκευαζόμενοι, ποιοῦσι καὶ πρὸς πυρετῶν παρασκευὴν ἐμῆ ρεῖν ἀμείνους, καὶ πρὸς κοιλίας ὑπαγωγήν. καὶ ἐμπύοις. σκληροκοιλίοις. καὶ ὅσοι ὑπὸ τῶν ἀμιναίων φαίνονται κεφαλῆς. κακοστόμαχοι μέντοι καὶ οὗτοι καὶ πνευμάτων γεννητικοί. οὐκ ἄχρηστον δὲ εἶναι νομίζομεν πρὸς τὸ πλῆρες τὴν ἱστορίαν τοῖς φιλιστοροῦσι γνώσεσθαι καὶ τὴν τῶν ποικιλωτέρων οἴνων σκευασίαν, οὐκ ἔτι πολλάκις οὔσης ἀναγκαίας τῆς χρήσεως αὐτῶν, ἀλλ᾽ ἵνα κατὰ μηδὲν αὐτῶν ἐλλείπειν δοκῶμεν. εἰσὶ δὲ αὐτῶν ἔνιοι, ἧττον περίεργοι καὶ πίπτοντες εἰς τὴν χρῆσιν. ὡς ὁ διὰ τῶν κυδωνίων καὶ ἀπίων καὶ κερατίων. ἔτι δὲ καὶ ὁ διὰ μύρτων σκευαζόμενος.

Περὶ κυδωνίτου οἴνου. κεν. ψμα.

Ὁ μὲν οὖν κυδωνίτης ὃν ἔνιοι μηλίτην καλοῦσι, σκευάζεται οὕτω. μήλων κυδωνίων ἐξελὼν τὸ σπέρμα καὶ τεμὼν ὡς γογγυλίδας εἰς μετρητὴν γλεύκους, χάλασον μνᾶς ιβ᾽ πρὸς ἡμέρας λ᾽. εἶτα διυλίσας ἀπόθου. σκευάζεται δὲ καὶ οὕτω. δεῖ μετὰ τὸ κόψαι καὶ ἐκθλίψαι τὰ κυδώνια, τοῦ χυλοῦ τούτων μίξαι τοῖς ι᾽ ξέσταις, ἕνα ξε μέλιτος. καὶ οὕτω χρὴ ἀποθέσθαι. ἔστι δὲ στυπτικός. εὐστόμαχος. δυσεντερίαις ἁρμόζων. ἡπατικοῖς νεφριτικοῖς τε καὶ δυσουροῦσι.

Περὶ μηλομέλιτος. κεν. ψμβ.

Καὶ μηλόμελι δὲ ὃ καὶ κυδωνόμελι ὀνομάζεται, σκευάζεται οὕτω. μήλων κυδωνίων ἐξαιρεθέντων τὰ σπέρματα καὶ ἐμβληθέντων εἰς μέλι ὅτι πλεῖστον ὥστε ἐνεσφηνῶσθαι, γίνεται

προσηνὲς μετὰ τὸν ἐνιαυτόν. οἰνομέλιτι ἐοικός. ἁρμόζον πρὸς ἃ καὶ ἡ πρὸ αὐτοῦ σκευασία.

Περὶ ὑδρομήλου. κεφ. ϟγ.

Ὑδρόμηλον δὲ σκευάζεται, μισγομένου τοῦ ἐκ τῶν κυδωνίων μηλομέλιτος μέτρου ἑνός. πρὸς β' μέτρα ἀφεψημένου ὕδατος καὶ ἡλιαζομένου ἐν τοῖς ὑπὸ κύνα. δύναμις δὲ καὶ τούτου ἡ αὐτή.

Περὶ ὀμφακομέλιτος. κεφ. ϟδ.

Ὀμφακόμελι δὲ σκευάζεται τοῦτον τὸν τρόπον. λαβὼν ὄμφακας μήπω περκαζούσας, ἡλίαζε ἐπὶ ἡμέρας γ'. καὶ μετὰ ταῦτα ἐκθλίψας, βάλε πρὸς γ' μέρη τοῦ χυλοῦ μέλιτος καλλίστου ἀπηφρισμένου μετρητοῦ μέρος ἕν. καὶ ἡλίαζε καταγγίσας εἰς κεράμους. δύναμιν δὲ ἔχει σταλτικήν, ψυκτικήν. ὅθεν ἁρμόζει στομαχικοῖς, κοιλιακοῖς. ἡ χρῆσις δὲ αὐτοῦ μετὰ ἐνιαυτόν.

Περὶ ἀπίτου οἴνου. κεφ. ϟε.

Ἀπίτης σκευάζεται ὁμοίως ὡς περὶ τοῦ κυδωνίτου. μὴ λίαν δὲ ἔστωσαν οἱ ἄπιοι πέπειροι. καὶ ὁ τῶν κερατίων δὲ καὶ ὁ τῶν μεσπίλων καὶ οὔων, ὁμοίως σκευάζεται. πάντες δὲ εἰσὶ στυπτικοί, στρυφνοί, εὐστόμαχοι. ῥεύματα τὰ ἔσωθεν ἐπέχοντες.

Περὶ οἰνανθίνου. κεφ. ϟς.

Ὁ δὲ οἰνάνθινος σκευάζεται οὕτω. λαβὼν τῆς ἀγρίας ἀμπέλου τὸ ἄνθος βρυούσης, ξηρὸν μνᾶς β' εἰς μετρητὴν γλεύκους πρὸς ἡμέρας λ', εἶτα διυλίσας ἀπόθου. ποιεῖ δὲ πρὸς ἀτονίαν στομάχου, ἀνορεξίαν, κοιλιακοὺς καὶ δυσεντερικούς.

Περὶ ῥοΐτου οἴνου. κεφ. ϟζ.

Ὁ ῥοΐτης δὲ οἶνος, σκευάζεται οὕτως. ῥόας ἀπυρήνους λαβὼν ὡρίμους καὶ ἀποθλίψας τὸν χυλὸν τῶν κόκκων ἀπόθου. ἢ ἀφεψήσας εἰς τρίτον οὕτως ἀποτίθεσο. ποιεῖ δὲ πρὸς τὰ ἔνδον ῥεύματα καὶ πυρετοὺς ῥοώδεις. ἔστι δὲ εὐστόμαχος καὶ στεγνωτικὸς κοιλίας. καὶ οὐρητικός.

Περὶ ῥοδίτου οἴνου. κεφ. ϟη.

Ῥοδίτης δὲ οὕτω σκευάζεται. ῥόδων ξηρῶν κεκομμένων μνᾶν μίαν ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς γλεύκους ξε. κ'. μετὰ δὲ τρεῖς μῆνας διυλίσας μετάγγιζε καὶ ἀποτίθεσο. χρήσιμος δὲ ἀπυρέτοις. πρὸς στομάχου πέψεις καὶ πόνους ἐπιπονουμένοις. πρός τε καθύγρους κοιλίας καὶ δυσεντερίαν. σκευάζεται δὲ καὶ διὰ χυλοῦ ῥόδων καὶ μέλιτος μισγομένου. ὃ καλεῖται ῥοδόμελι. ἁρμόζει πρὸς τὰς ἐν ἀρτηρίᾳ τραχύτητας.

Περὶ μυρτίτου οἴνου. κεφ. ϟθ.

Μυρτίτης δὲ σκευάζεται οὕτω. δεῖ μύρτα μέλανα παρακμάζοντα λαβόντα, κόπτειν καὶ ἐκθλίβειν τὸν χυλὸν δι᾽ ὀργάνου καὶ καταγγίζειν. ἔνιοι δὲ καὶ ἀφεψοῦσιν εἰς τρίτον. οἱ δὲ, καὶ προαπολύουσιν ἐν ἡλίῳ. καὶ ξηράναντες μίσγουσι τῇ χοίνικι κοπείσῃ, τρεῖς κοτύλας ὕδατος καὶ οἴνου παλαιοῦ τὸ αὐτό. οὕτω τε ἐκθλίβουσι καὶ ἀποτίθενται. ἱκανῶς δὲ ἐστὶ στυπτικὸς καὶ εὐστόμαχος. ῥευματιζομένῳ τε στομάχῳ καὶ κοιλίᾳ χρήσιμος, πρός τε τὰς ἐντὸς ἑλκώσεις καὶ ῥοῦν. μελαίνει δὲ καὶ τρίχας ἐν κεφαλῇ.

Περὶ μυρσινίτου οἴνου. κεφ. ω.

Μυρσινίτης δὲ σκευάζεται οὕτω. δεῖ λαβόντα τῶν μελαινῶν μυρσινῶν τοὺς ἀκρέμονας καὶ τὰ φύλλα σὺν τοῖς μύρτοις κόπτειν. καὶ βάλλειν εἰς τοὺς τρεῖς τοῦ γλεύκους χόας, τῆς μυρσίνης κεκομμένης μνᾶς ι'. καὶ ἕψειν ἄχρις ἂν δύο ὑπολειφθῶσιν ἢ τὸ ἥμισυ. καὶ διυλίσαντας ἀποτίθεσθαι. ποιεῖ δὲ οὗτος πρός τε ἀχῶρας καὶ πίτυρα, ἐξανθήματα, οὖλα, παρίσθμια, ὦτα πυορροοῦντα. στέλλει καὶ ἱδρῶτας.

Περὶ σχινίνου οἴνου. κεφ. ωα.

Καὶ ὁ σχίνινος δὲ ἐοικότως τῷ μυρσινίτῃ σκευάζεται.

Περὶ τερμινθίνου οἴνου. κεφ. ωβ

Καὶ ὁ τερμίνθινος ὁμοίως. ἔγκαρποι δὲ καὶ τούτου οἱ ἀκρέμονες λαμβάνονται. καὶ παρα-

πλησίως

## ΠΕΜΠΤΟΝ.

πλησίας εἰσὶ δυνάμεως, συπτικοὶ καὶ δυσστόμαχοι. ῥεύμασί τε ἁρμόζοντες στομάχου. ἐντέρων. κύστεως. αἱμορραγίας. κατουλοῦσι δὲ καὶ τὰ ῥευματικὰ πάντα ἕλκη ἐπαντλούμενοι, τούς τε περὶ ὑστέρας καὶ ἕδρας ῥευματισμοὺς στέλλουσιν ἐγκαθιζόμενοι.

Περὶ φοινικίτου οἴνου. κεφ. ογ.

Φοινικίτης. λαβὼν φοίνικας τῆς χυδαίας πεπείρους, βάλε εἰς πυθάκνην τετρημένην ἐν τῷ πυθμένι. καὶ ἐσφηνωμένην καλάμῳ πεπιλωμένῳ. τὸ δὲ τρῆμα λινῷ ἐβύσθω. ἐπίχει δὲ τοῖς δέκα χοίνιξιν ὕδατος χόας γ΄. εἰ δὲ μᾶλλον αὐτὸν γλυκὺν θέλεις εἶναι, πέντε χόας ἐπίχει. ἔα δὲ ἐπὶ ἡμέρας ι΄. τῇ δὲ ια΄ ἀφαιρῶν τὸ ἀπὸ τοῦ καλάμου ὀθόνιον, ἀπόδεχου οἶνον παχὺν καὶ γλυκὺν καὶ ἀπόθεσο. ἔστι δὲ ἡδὺς μὲν, κεφαλαλγὴς δέ. ποιεῖ πρὸς ῥεύματα διὰ τὸ στύφειν. ὅθεν στομαχικοῖς καὶ κοιλιακοῖς καὶ αἱμοπτοϊκοῖς ἁρμόζει. ἔνιοι δὲ τὸ αὐτὸ πάλιν τοῦ ὕδατος μίσγοντες δέχονται. καὶ τὸ δεύτερον πιοῦσι καὶ τέταρτον καὶ πέμπτον καὶ ἕκτον ὅτε λοιπὸν ὀξίζει.

Περὶ κατορχίτου οἴνου. κεφ. οδ.

Καὶ ὁ κατορχίτης δὲ ὃν ἔνιοι συκίτην καλοῦσιν, [illegible] σκευάζεται ὁμοίως τῷ φοινικίτῃ. διαφέρει δὲ ὅτι ἀντὶ τούτου ἔνιοι ἀντὶ ὕδατος στεμφύλων ἀποβρέγματος ἐμβαλόντες, τὸ ἴσον μέτρον βάλλουσιν. ἰσχάδας δὲ λαμβάνονται αἱ χελιδόνιοι καλούμεναι ἢ φοινικαῖ. μέλλεται δὲ ἐπὶ καὶ ἀποβρέχονθ' ὡς προείρηται. μετὰ δὲ ἡμέρας δέκα ἐκλαμβάνεται τὸ ὑγρόν. καὶ ἐκ δευτέρου καὶ τρίτου ἐπιχεῖται, τοῦ ἐκ τῶν στεμφύλων ἀποβρέγματος τὸ αὐτὸ μέτρον. ὁμοίως δὲ ἐκ διαστημάτων ἐκλαμβάνεται τὸ δ΄. καὶ τὸ ε΄ ἀπόβρεγμα ὁμοίως ὀξίζον. ᾧ ἀντὶ ὄξους χρῶνται. λεπτομερὴς δέ ἐστι καὶ φυσώδης καὶ κακοστόμαχος. ἀποστρέφων τε ὄρεξιν. εὐκοίλιος μέντοι καὶ οὐρητικός. καταστέλλει δὲ καὶ ἔμμηνα. καὶ γάλα δαψιλὲς ποιεῖ. αἷμα δὲ φαῦλον κατασκευάζει καὶ ἐλεφαντιάσεως ἐστὶ ποιητικόν. ὡς καὶ τὸ ζῦθος. ἔνιοι δὲ καὶ ἅλων τοῖς ἓξ κεραμίοις, ξε΄ ἐμβάλλουσι δέκα. οἱ δὲ, ἅλμης κεράμιον, δυσμετάβλητον καὶ εὔκοιλιον ἔσεσθαι διανοούμενοι. οἱ δὲ, καὶ θύμον καὶ μάραθρον προστιθέασι τῷ πυθμένι. εἶτα τὰς ἰσχάδας καὶ ἐναλλὰξ τοῦτο ποιοῦσιν ἄχρις ἂν πληρώσωσι τὸ ἀγγεῖον.

Περὶ συκομορίτου οἴνου. κεφ. οε.

Σκευάζεται δὲ καὶ ὁ ἐκ τῶν συκομόρων ὡσαύτως. ὄξος δὲ γίνεται δριμὺ, διὰ τὸ μὴ ἐξισχύειν τὴν δύναμιν αὐτῶν φυλάσσειν τὴν γλυκύτητα τοῦ ῥυέντος.

Περὶ ῥητινίτου οἴνου. κεφ. ος.

Ὁ δὲ ῥητινίτης καὶ κατὰ τὰ ἔθνη σκευάζεται. πλεονάζει δὲ ἐν γαλατίᾳ διὰ τὸ ἀποξύνεσθαι τὸν οἶνον ἀπεπάνευτον μενούσης τῆς σταφυλῆς διὰ τὸ ψύχειν, εἰ μὴ τῷ πλακὶ πευκίνῃ. κόπτεται δὲ σὺν τῷ φλοιῷ ἡ ῥητίνη. καὶ τῷ κεραμίῳ μίσγεται ἡμικοτύλιον. καὶ οἱ μὲν, ἀπηθοῦσι μετὰ τὸ ἀναζέσαι χωρίζοντες τὴν ῥητίνην. οἱ δὲ, ἐῶσι. παλαιωθέντες δὲ γίνονται ἡδεῖς. πάντες δὲ κεφαλαλγεῖς οἱ τοιοῦτοι καὶ σκοτωματικοί. πεπτικοὶ μέντοι καὶ οὐρητικοί. καταρροϊζομένοις καὶ βήττουσιν ἁρμόζοντες. κοιλιακοῖς. δυσεντερικοῖς. ὑδρωπικοῖς. καὶ ῥοικαῖς γυναιξί. τοῖς δὲ ἐν βάθει ἑλκουμένοις ἔγκλυσμα. συπτικώτερος μέντοι τοῦ λευκοῦ ἐστιν ὁ μελανίζων.

Περὶ στροβιλίτου οἴνου. κεφ. οζ.

Στροβιλίτης δὲ σκευάζεται ἐναποβρεχομένων τῷ γλεύκει στροβίλων προσφάτων καὶ τεθλασμένων. ποιεῖ δὲ τὰ αὐτὰ τῷ ῥητινίτῃ. ἐὰν δὲ γλεύκει ἐναποβρέξας τις τοὺς στροβίλους ἑψήσῃ, ἁρμόζει καὶ φθινώδεσιν ἱκανῶς πινόμενος.

Περὶ κεδρίτου. κεφ. οη.

Ὁ δὲ κέδρινος ἢ ἀρκευθῖνος ἢ κυπαρίσσινος ἢ δάφνινος ἢ πιτύϊνος ἢ ἐλάτινος, σκευάζεται ὁμοίως. χρὴ δὲ τὰ ξύλα νεότμητα σχίζοντας ὅτε τὸν καρπὸν ἐκδιδῶσι, τιθέναι πρὸς

ἡλίου ἢ ἐν βαλανείῳ ἢ ἐν πυρὶ ὥστε συνιδρῶσαι. καὶ σμίγνυ τῷ χοῒ τοῦ οἴνου μναῖ μίαν καταμίξαντάς τε ἐᾶν μῆνας β΄. εἶτα μεταγγίζειν. καὶ ἡλιώσαντας ἀποτίθεσθαι. πληροῦν δὲ δεῖ τὰ ἀγγεῖα τῶν σκευαστῶν οἴνων ἀποζεόντων· ἐπεὶ τὰ ἀπόκενα ἀθετεῖ μᾶλλον. οἱ φαρμακώδεις οἶνοι τοῖς ὑγιαίνουσι. θερμαντικοὶ δὲ πάντες. οὐρητικοί. ὑποσύφοντες. ὁ μέντοι δαφνίνος θερμαντικώτερος. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ τῶν μειζόνων κέδρων οἶνος. δεῖ δὲ τῷ χοῒ τοῦ γλεύκους ἡμιμναῖον κεκομμένων τῶν κεδρίδων μίξαι. ἡλιάσαι τε ἐφ' ἡμέρας μ΄. μετὰ δὲ ταῦτα διυλίζειν καὶ μεταγγίζειν.

## Περὶ ἀρκευθίτου οἴνου. κε. ωθ.

Γίνεται καὶ ἐκ τῶν ἀρκευθίδων καρποῦ. ὁμοίως τῷ κεδρίτῃ τὰ αὐτὰ ποιῶν.

## Περὶ κεδρίτου. κε. ωι.

Κεδρίτης δὲ γίνεται οὕτω. κεδρίαν πλύναντες ὕδατι γλυκεῖ, διακλύζουσιν ἕκαστον κεράμιον κυάθοις ι΄. καὶ οὕτω πληροῦσι γλεύκους. θερμαντικὸς δὲ καὶ οὗτος γίνεται καὶ λεπτυντικός. βηχὶ παλαιᾷ ἁρμόζων δίχα πυρετοῦ. καὶ πόνοις θώρακος. πλευρῶν. στρόφοις. ἕλκεσι τοῖς ἐν κοιλίᾳ καὶ ἐντέροις. ἐμπνευματώσει. ὑδρωπικοῖς. ὑστερικαῖς. ποιεῖ δὲ πρὸς ἕλμινθας. καὶ πρὸς ῥεῦμα. βοηθεῖ θηριοδήκτοις καὶ ἑρπετὰ κτείνει. ὠταλγίας τε ἐνσταζόμενος ἰᾶται.

## Περὶ πισσίτου οἴνου. κε. ωια.

Οἶνος πισσίτης σκευάζεται διὰ πίσσης ὑγρᾶς καὶ γλεύκους. δεῖ δὲ τὴν πίσσαν πρῶτον πλύνειν θαλάσσῃ ἢ ἅλμῃ ἑφθῇ ἱκανὸν μέχρις ἂν λευκανθῇ. καὶ ἡ θάλασσα καθαρὰ ἀπορρέῃ. ἔπειτα ὕδατι γλυκεῖ. καὶ τοῖς η΄ χοεῦσι μίσγειν τῆς πίσσης α΄. ἢ β΄. καὶ ἐᾶν. μετὰ δὲ τὸ ἀναζέσαι καὶ καταστῆναι καταγγίζειν. ἔστι δὲ θερμαντικός. πεπτικός. σμηκτικός. ἀνακαθαρτικός. εὔθετος τοῖς περὶ θώρακα καὶ κοιλίαν. ἧπαρ. σπλῆνα. καὶ ὑστέρας πόνους. δίχα πυρετοῦ. καὶ χρονίοις ῥεύμασι. καὶ ἑλκώσεσι τοῖς ἐν βάθει. ποιεῖ δὲ πρὸς βῆχας. βραδυπεψίας. πνευματώσεις. ἄσθματα. καὶ πρὸς στρέμματα δὲ μάλλαι μετ' οἰσυπηρῶν ἐρίων.

## Περὶ ἀψινθίτου οἴνου. κε. ωιβ.

Ἀψινθίτης δὲ ποικίλως σκευάζεται. οἱ μὲν γὰρ τοῖς μ΄ ἀνὰ ξε τῶν ἰταλικῶν κεραμίων, μίξαντες ἀψινθίου ποντικοῦ λίτραν μίαν, ἕψουσι μέχρι τὸ γ΄ ἀπολειφθῇ. ἔπειτα προσεπιχέαντες ὄξους ξε ς΄. καὶ ἀψινθίου ἡμίλιτρον ἐπιμελῶς μίξαντες, καταγγίζουσι. καταστάθέντα δὲ διυλίζουσιν. οἱ δὲ, μναῖ ἀψινθίου εἰς τὸ κεράμιον καθιᾶσι. καὶ τῷ μετρητῇ τοῦ γλεύκους ἐμβρέχουσι κόψαντες καὶ ἐνδήσαντες εἰς ὀθόνιον ἀραιὸν ἐῶσιν ἐπὶ μῆνας δύο. οἱ δὲ, ἀψινθίου οὐγγ. γ΄. οἱ δὲ τέσσαρ. καὶ νάρδου συριακῆς. κινναμώμου. κασσίας. σχίνου ἄνθους. καλάμου. ἐλατῆς. φοινικῆς ἀνὰ οὐγγ. β΄, καθιᾶσιν εἰς μετρητὴν γλεύκους. καὶ εἰς ὅλμον κόψαντες καὶ σφηνώσαντες, ἐῶσι δίμηνον ἢ τρίμηνον. εἶτα διυλίσαντες καὶ μεταγγίσαντες ἀποτίθενται. οἱ δὲ, εἰς γλεύκους μετρητὴν νάρδου κελτικῆς < ιδ΄ καὶ ἀψινθίου < μ΄ καθιᾶσιν ἐν ὀθονίῳ δήσαντες. καὶ μεθ' ἡμέρας μ΄ μεταγγίζουσιν. οἱ δὲ, εἰς τοὺς κ΄ ξε τοῦ γλεύκους λίτρ. α΄. ἀψινθίου ἐμβάλλουσι. καὶ πιτυΐνης ξηρᾶς ῥητίνης οὐγγ. β΄. μετὰ δὲ ἡμέρας ι΄ διυλίσαντες ἀποτίθενται. ἔστι δὲ εὐστόμαχος. οὐρητικός. χρήσιμος βραδυπεπτοῦσιν. ἡπατικοῖς τε καὶ νεφριτικοῖς καὶ ἰκτερικοῖς. ἀνορέκτοις. κακουμένοις στόμαχον. καὶ πρὸς ὑποχονδρίων τάσιν χρόνιον. καὶ πρὸς ἐμπνευματώσεις. ἕλμινθας στρογγύλας. ἔμμηνα ἐπεχόμενα. πρός τε ἰξίου πόσιν πλεῖστος ποθεὶς καὶ ἐξεμούμενος ἁρμόζει.

## Περὶ ὑσσωπίτου οἴνου. κε. ωιγ.

Ὑσσωπίτης δὲ ἐκ τοῦ κιλικίου ὑσσώπου, κάλλιστός ἐστι. σκευάζεται δὲ ὁμοίως τῷ ἀψινθίτῃ. δεῖ δὲ τῷ κεραμίῳ τοῦ γλεύκους λίτραν μίαν τοῦ ὑσσώπου κεκομμένων τῶν φύλλων

προσεπιδοῦναι. ἐνδήσαντες εἰς ὀθόνιον ἀραιόν. συγκαθίενται δὲ λιθάρια. ἵνα τῷ πυθμένι προσκαθίσῃ ὁ ἔνδεσμος. μεταγγίζεται δὲ μεθ' ἡμέρας μ' διυλίζων. ἁρμόζει δὲ πρὸς τὰ ἐν θώρακι καὶ πλευρῷ καὶ πνεύμονι πάθη. βῆχας τε παλαιάς. καὶ ἆσθμα. ἔστι δὲ καὶ οὐρητικός. καὶ στροφουμένοις ἁρμόζει. πρός τε ῥίγη τὰ ἐν περιόδοις. κινεῖ δὲ καὶ ἔμμηνα.

### Περὶ χαμαιδρυΐτου οἴνου. κεφ. ωιδ.

Καὶ ὁ χαμαιδρυΐτης ὁμοίως τῷ ὑσσωπίτῃ σκευάζεται. θερμαντικὸς ὢν καὶ διαλυτικός. ἁρμόζων σπασμοῖς καὶ ἰκτέροις. ὑστερικαῖς πνευματώσεσι. βραδυπεψίαις. ὑδρωπικοῖς ἀρχομένοις. ἀμείνων δὲ παλαιούμενος γίνεται.

### Περὶ στοιχαδίτου οἴνου. κεφ. ωιε.

Σκευάζεται καὶ στοιχαδίτης ὁμοίως. δεῖ δὲ τοῖς ς' χοεῦσι μνᾶν μίαν στοιχάδος διδόναι. διαλύει δὲ πάχη καὶ πνευματώσεις καὶ πόνους πλευρᾶς καὶ νεύρων. καὶ καταψύξεις. δίδοται δὲ καὶ ἐπιληπτικοῖς ὠφελίμως μετὰ πυρέθρου καὶ σαγαπηνοῦ.

### Περὶ ὄξους στοιχαδικοῦ. κεφ. ωις.

Γίνεται καὶ ὄξος διὰ στοιχάδος πρὸς τὰ εἰρημένα. ἐναποβρεχομένης ὄξει τε πάσας ὡς προείρηται. ποιεῖ δὲ πρὸς τὰ αὐτά.

### Περὶ κεδρίτου οἴνου. κεφ. ωιζ.

Γίνεται καὶ ἐκ τοῦ κέδρου τοῦ ψυχροτρόφου οἶνος. δεῖ δὲ λαμβάνειν τὴν ἐπαναστέρματος πλήρη ἔμπειρα σὺν τοῖς κλάδοις. καὶ μνᾶν μίαν βάλλειν εἰς οἴνου χοᾶς β'. ἐᾶν τε ἐπὶ μῆνας. καὶ οὕτω μεταγγίζειν. ποιεῖ δὲ πρὸς πολλὰ τῶν ἐντὸς καθάπερ καὶ ὁ θάμνος αὐτῆς. καὶ καθόλου πάντες οἱ σκευαστοὶ οἶνοι ἀναλαμβάνουσι τὴν δύναμιν τῶν μιγμάτων. διὸ τοῖς τὰς ἐκείνων ἐπεγνωκόσι φύσεις εὐχερὲς καὶ τὰς τῶν οἴνων δυνάμεις συμβάλλειν. ἀπυρέτοις μέντοι δεῖν ἡ τῶν οἴνων χρῆσις. καὶ ὄξος δὲ ἐξ αὐτοῦ γίνεται πρὸς τὰ ἐοικότα πάθη χρήσιμον.

### Περὶ τραγοριγανίτου οἴνου. κεφ. ωιη.

Τραγοριγανίτης. τραγοριγάνου ∠ δ' εἰς γλεύκους ξε δ' ἐν ὀθονίῳ χαλᾷ πρὸς μῆνας γ'. καὶ μεταγγίζε. ἁρμόζει στρόφοις. σπάσμασι. ῥήγμασι. πόνοις πλευροῦ. πνευμάτων διαδρομαῖς. δυσπεψίαις.

### Περὶ βουνίτου οἴνου. κεφ. ωιθ.

Οἶνος διὰ βουνίου. βουνίου ∠ β' κόψας, κάθες εἰς κοτύλας γλεύκους τέσσαρας. καὶ τὰ ἄλλα ὁμοίως ποίει. ἁρμόζει δὲ στομαχικοῖς καὶ κοπωμένοις δι' ὁπλομαχίαν ἢ ἱππασίαν πολλήν.

### Περὶ δικταμνίτου οἴνου. κεφ. ωκ.

Δικταμνίτης. δικτάμνου ∠ δ' εἰς γλεύκους κοτύλας η' ἀποβρέχε ὁμοίως. ποιεῖ δὲ ἀστομένοις στόμαχον. ἄγει καὶ λόχια καὶ ἔμμηνα.

### Περὶ πρασίτου οἴνου. κεφ. ωκα.

Ὁ διὰ πρασίου. πρασίου τοῦ ἀκμαίου φύλλα κόψας χοίνικας β', κάθες εἰς μετρητὴν γλεύκους. καὶ τὰ ἄλλα ὁμοίως ποίει. ἁρμόζει δὲ τοῖς περὶ θώρακα καὶ πρὸς ὅσα τὸ πράσιον.

### Περὶ θυμίτου οἴνου. κεφ. ωκβ.

Θυμίτης. θύμου κεκομμένου καὶ σεσησμένου οὐγγ. ρ' ἐνδήσας εἰς ὀθόνην, κάθες εἰς γλεύκους κεράμιον. ἁρμόζει πρὸς δυσπεψίας. ἀνορεξίας. δυσεντερίας. νεύρων πόνους. ὑποχονδρίων. φρίκας χειμερινάς. καὶ πρὸς ἰοβόλα τὰ ψυχροῦντα καὶ σήποντα.

### Περὶ θυμβρίτου οἴνου. κεφ. ωκγ.

Θυμβρίτης ὁμοίως σκευάζεται. καὶ πρὸς τὰ αὐτὰ ποιεῖ, πρὸς ἃ καὶ ὁ θυμίτης.

### Περὶ ὀριγανίτου οἴνου. κεφ. ωκδ.

Ὀριγανίτης διὰ ὀριγάνου ἡρακλεωτικοῦ σκευάζεται ὁμοίως τῷ θυμίτῃ. ποιῶν πρὸς τὰ αὐτά.

### Περὶ καλαμινθίτου γληχωνίτου καὶ ἀβροτονίτου οἴνου. κεφ. ωκε.

Καλαμινθίτης. γληχωνίτης. ἀβροτονίτης, ὁμοίως σκευάζεται τῷ διὰ θύμου. ποιεῖ δὲ στομαχικοῖς καὶ ἀνορεκτοῦσι. καὶ πρὸς ἰκτερικούς. οὐρητικοὶ γάρ εἰσι.

### Περὶ κονυζίτου οἴνου. κεφ. ωκς.

Οἶνος κονυζίτης ὁμοίως σκευάζεται. ἔστι δὲ πάντων μᾶλλον θηριακός.

Περὶ ἀρωματίτου οἴνου. κεφ. ωκζ.

Ὁ δὲ ἀρωματίτης οὕτω κατασκευάζεται. φοίνικος, ἀσπαλάθου, καλάμου, νάρδου κελτικῆς, ἑκάστου χοίνικα, κόψας, φύρασον γλυκεῖ, καὶ ποιήσας ὀμφάλου μεγέθους μάζας, βάλε εἰς γλεύκους αὐστηροῦ ξέστας ιβ', καὶ ἔασον ἡμέρας μ', σφηνώσας τὸ ἀγγεῖον. εἶτα διυλίσας ἀπόθου. σκευάζεται δὲ καὶ ἄλλως. καλάμου ὁλκὰς κόφου < ζ', κόστου < β', νάρδου συριακῆς < ς', κασσίας < η', κρόκου < δ', ἀμώμου < ε', ἀσάρου < δ'. ταῦτα ὁμοῦ κόψας καὶ ἐν ὀθονίῳ δήσας, χάλασον εἰς μετρητὴν γλεύκους. καὶ μετὰ τὸ ἀποζέσαι τὸν οἶνον μετάγγιζε. ποιεῖ δὲ πρὸς πόνους θώρακος, πλευροῦ, πνεύμονος, δυσουρίας τε καὶ ῥίγους, ἐμμηνίοις ἐπισχεθεῖσι. καὶ τοῖς διὰ κρυμὸν ὀδύνῃσιν ἁρμόζει πινόμενος. καὶ πρὸς τοὺς πάχος γεννῶντας. περιποιεῖ δὲ καὶ εὐχροιαν. ὑπνωτικός τέ ἐστι καὶ ἀνώδυνος. τοῖς περὶ κύστιν καὶ νεφροὺς ἁρμόζων πάθεσι.

Περὶ οἴνου τοῦ ἐκ σμύρνης, πεπέρεως καὶ ἴρεως. κεφ. ωκη.

Σκευάζεται δὲ οἶνος πρὸς κατάρρους, βῆχας, ὠμότητας, ἐμπνευματώσεις καὶ πλαδῶν στομάχου. σμύρνης < β', πεπέρεως λευκοῦ < α', ἴρεως < ς', ἀνήσου < γ'. ταῦτα ὁλοκοπῆ ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς ξέστας ς' οἴνου. μετὰ δὲ τρίτην διυλίσας ἀπόθου εἰς λάγηνον. καὶ πότιζε μετὰ περίπατον διδοὺς ἀκράτου κύαθον α'.

Περὶ νεκταρίτου οἴνου. κεφ. ωκθ.

Ὁ δὲ νεκταρίτης σκευάζεται ἐκ τοῦ ἑλενίου, ὃ ἔνιοι μεδικὴν, οἱ δὲ σύμφυτον, οἱ δὲ ἴδαιον φλόμον, οἱ δὲ ὀρέστιον, οἱ δὲ νεκτάρειον καλοῦσιν. ἑλενίου ῥίζης ξηρᾶς < ν'. ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς χοᾶς ς' γλεύκους, καὶ μετὰ γ' μῆνας ἀπόχει. ποιεῖ δὲ πρὸς στόμαχον, θώρακα. ἄγει δὲ καὶ οὖρα.

Περὶ τοῦ διὰ συριακῆς νάρδου καὶ κελτικῆς καὶ μαλαβάθρου οἴνου. κεφ. ωλ.

Ὁ δὲ διὰ συριακῆς νάρδου καὶ κελτικῆς καὶ μαλαβάθρου, σκευάζεται οὕτως. ἑκάστου ἡμιμναῖον λαβὼν, εἰς δύο χοῶν γλεύκους κάθες. καὶ μετὰ μῆνας β' διύλιζε. δίδου δὲ καὶ κύαθον α' πρὸς τρεῖς ὕδατος. ποιεῖ νεφριτικοῖς, ἰκτερικοῖς, ἡπατικοῖς, δυσουροῦσιν, ἀχροοῦσι, στομαχικοῖς. οἱ δὲ, ἀκόρου οὐγγίας η', ἢ β' κελτικῆς νάρδου οὐγγίας γ' ἐν κεραμίῳ γλεύκους σκευάζουσιν.

Περὶ ἀσαρίτου οἴνου. κεφ. ωλα.

Ἀσαρίτης. ἀσάρου οὐγγίας γ' κάθες εἰς γλεύκους κοτύλας ιβ' ὁμοίως. ἔστι δὲ διουρητικὸς, ὑδρωπικοῖς ἁρμόζων, καὶ ἰκτεριῶσιν, ἡπατικοῖς, ἰσχιαδικοῖς.

Περὶ τοῦ διὰ τῆς ἀγρίας νάρδου οἴνου. κεφ. ωλβ'.

Ὁ δὲ διὰ τῆς ἀγρίας νάρδου. νάρδου ἀγρίας τῆς ῥίζης προσφάτου κόψας σεσησμένης κάθες οὐγγίας η' εἰς χοῦν γλεύκους ὁμοίως, καὶ ἔα μῆνας β'. χρήσιμος ἡπατικοῖς, δυσουροῦσι, πνευματουμένοις, στομαχικοῖς.

Περὶ δαυκίτου οἴνου. κεφ. ωλγ.

Δαυκίτης. δαύκου τῆς ῥίζης ὁλοκόπου < ς' εἰς γλεύκους κεράμιον κάθες ὁμοίως, καὶ μετάγγιζε. ποιεῖ δὲ πρὸς τοὺς θώρακος, ὑποχονδρίων, ὑστέρας. ἄγει δὲ ἔμμηνα, ἐρυγὰς κινεῖ καὶ οὖρα. ἁρμόζει βηχὶ, σπάσμασι, ῥήγμασι.

Περὶ ἐλελισφακίτου οἴνου. κεφ. ωλδ.

Ἐλελισφακίτης ὁμοίως. ἐλελισφάκου < η' ὁμοίως εἰς γλεύκους ἀμφορέα ὅ ἐστι κεράμιον κάθες. ποιεῖ δὲ πρὸς νεφρῶν πόνους καὶ κύστεως, πλευρῶν, αἵματος ἀναγωγάς, βῆχα, ῥήγματα, σπάσματα, θλάσματα, ἔμμηνα ἐπεσχημένα.

Περὶ πανακίτου οἴνου. κεφ. ωλε.

Πανακίτης. πάνακος οὐγγίαν α' εἰς χόα γλεύκους καθεὶς ὁμοίως μετάγγιζε. ποιεῖ σπάσμασι, ῥήγμασι, θλάσμασιν, ὀρθοπνοίαις. λεπτυντικὸς πάχους ἀπλανῶς. ποιεῖ δὲ καὶ πρὸς στρόφους, χολέρας, βραδυπεψίας. καταμήνια ἄγει καὶ ἔμβρυα. ὑδρωπικοῖς καὶ θηριοδήκτοις ἁρμόζει.

# ΠΕΜΠΤΟΝ.

Περὶ ἀκορίτου οἴνου. κε. ωλε.

Ἀκορίτης δὲ καὶ ὁ ἀπὸ γλυκυρρίζης ὁμοίως σκευάζεται. δεῖ γὰρ ἑκάστου < η' εἰς χόας ϛ'. πρὸς μῆνας γ' ἀποβρέχοντας μεταγγίζειν. ποιοῦσι δὲ πρὸς πλευρὰν καὶ θώρακα κακινοῦντες καὶ οὔρησιν.

Περὶ σεληνίτου οἴνου. κε. ωλϛ.

Σελίνου σπέρματος ὠρίμου νέου σεσησμένου < θ'. ἐνδήσας εἰς ὀθόνιον, βάλε εἰς κεράμιον γλεύκους ὁμοίως. ποιεῖ δὲ ὄρεξιν· καὶ στομαχικοῖς ἁρμόζει· καὶ δυσουροῦσιν. ἔστι δὲ καὶ εὔπνους.

Περὶ μαραθρίτου καὶ ἀνηθίνου οἴνου. κε. ωλζ.

Καὶ μαραθρίτης καὶ ἀνήθινος καὶ πετροσελινίτης ὁμοίως σκευάζονται πρὸς τὰ αὐτὰ ποιοῦντες. σκευάζεται καὶ ἄλλος ἀνήθινος καθαρτικώτερος τῷ διὰ θαλάττης. κακοῖ δὲ φάρυγγα καὶ νεφρούς. κύστιν. στόμαχον. ὅθεν οὔτε πρὸς ὑγείαν οὔτε πρὸς πάθη χρήσιμος ὁ τοιοῦτος. γίνεται δὲ καὶ φθόριος ἐμβρύων οἶνος. φυτευομένοις γὰρ ταῖς ἀμπέλοις συμφύεται ἐλλέβορος ἢ σίκυς ἄγριος ἢ σκαμμωνία. καὶ ἀναλαμβάνει τὰ φυτὰ τὴν τούτων δύναμιν. ὅθεν ὁ ἐξ αὐτῶν οἶνος γίνεται φθόριος. γίνεται δὲ ἡ προεμμεμιγμένης νήστεσι κυάθων πλῆθος ἢ κεκραμμένος.

Περὶ θυμελαΐτου οἴνου. κε. ωλη.

Ὁ θυμελαΐτης. τῶν κλώνων σὺν τοῖς φύλλοις καὶ τῷ καρπῷ < λ' βάλε εἰς γλεύκους χόας γ'· καὶ σκεύαζε ἕψων κούφως. ἄχρις ἂν β' ἀπολειφθῶσι χόες. εἶτα διυλίσας ἀπόθεσο. καθαίρει ὑδεριῶντας καὶ σπλῆνα τήκει.

Περὶ χαμαιλαΐτου. κε. ωλθ.

Χαμαιλαΐτης. ἐπειδὰν ἀνθῇ ὁ θάμνος, μετὰ τῶν φύλλων κόψας καὶ σήσας, βάλε < ι' εἰς γλεύκους χοῦν. καὶ μετὰ μῆνας β' μετάγγιζε. ποιεῖ δὲ ὑδεριῶσιν. ἡπατικοῖς. κεκοπωμένοις. καὶ ταῖς ἐκ τοκετοῦ δυσκαθάρτοις.

Περὶ χαμαιπιτυΐνου. κε. ωμ.

Χαμαιπιτύϊνος ὁμοίως σκευάζεται, καὶ πρὸς τὰ αὐτὰ ἁρμόζει διουρητικὸς ὤν.

Περὶ μανδραγορείτου. κε. ωγ.

Μανδραγορείτης. τοῦ φλοιοῦ τῆς ῥίζης κατατεμὼν, ἔμβαλε εἰς λίνον ἢ μ. μναῖον. καὶ καθὲς εἰς μετρητὴν γλεύκους πρὸς μῆνας γ'. εἶτα μετάγγιζε. ἡ μέση πόσις ἡμικοτύλιον. πίνεται δὲ γλυκέως προσδιδομένου εἰς διπλάσιον. φασὶ δὲ κοιμίζειν καὶ κροῦν κοτύλην αὐτοῦ χοῖ ἐπιμιχθεῖσαν ἐκπιοῦσαν. μετὰ ξέστου δὲ οἴνου κύαθος εἰς πλῆθος ἀναιρεῖ. ἔστι δὲ ἡ σύμμετρος χρῆσις ἀνώδυνος. ῥευμάτων παχυντική. ὀσφραινόμενος δὲ καὶ ἐγκλυζόμενος καὶ πινόμενος τὸ αὐτὸ ποιεῖ.

Περὶ ἐλλεβορείτου. κε. ωμα.

Ἐλλεβορίτης. εἰς χοῦν γλεύκους τεθαλασσωμένου μέλανος ἐλλεβόρου < ιβ' λείου βάλε ἐν ὀθονίῳ καθαρῷ. μετάχει δὲ ὅταν ἀναζέσῃ εἰς θαλάσσης χόας ιε' ἢ ιδ' ὁλοσχερῶς συμπλάσσας βάλε. εἶτα μεθ' ἡμέρας τινὰς διυλίσας χρῶ. πότιζε δὲ κύαθον α' πρὸς κοιλίας λύσιν μεθ' ὕδατος ἐκ βαλανείου. ἐμημεκόσιν ἀπὸ δείπνου. ἢ ἐλλεβόρου < κ' χάρτου οὐγγίας ιβ'. στάχυος σικελικοῦ οὐγγίας ιγ' σεσησμένα ἐν ὀθονίῳ δήσας. καθὲς εἰς κοτύλας ιδ' καλοῦ οἴνου ἐπὶ ἡμέρας μ'. εἶτα ἀποθέμενος πότιζε ἡμικοτύλια ἢ ἐκ γλεύκους κεράμιον θαλάττης πελαγίας ἑψημένης ξέστας ιβ' ἐλλεβόρου λευκοῦ λίτρας ϛ'. ἔμβρεχε ἡμέρας μ' καὶ ἀποθέμενος χρῶ. ἢ ἐλλεβόρου < ιβ' ἀφρονίτρου < δ' γλεύκους κοτύλας ιβ' βρέχε ἐπὶ ἡμέρας ιε'. εἶτα ἀποθέμενος χρῶ μετὰ μῆνας ἕξ. τοῦτο καὶ βρέφη ἐκτιτρώσκει. ἢ καὶ ἐκθηλυποιεῖ δυνάμει· σταφυλῆς βάλε εἰς γλεύκους μετρητήν. ἔστι δὲ ὁ μετρητὴς χόες ι'. καὶ βάλε γύψου εἰς τὸν οἶνον < κ'. εἶτα μεθ' ἡμέρας β' καὶ καθὲς ἔνδεσμον ἐλλεβόρου μέλανος ξυλ. λ'. σχοίνου < λ'. καλάμου < λ'. ἀρκευθίδων ἡμιχοίνικον καὶ δ'. σμύρνης δὲ καὶ

(κρόκου ἀνὰ < α'. ἐνειλήσας ὀθονίῳ κρέμασον ἡμέ

ρας μ΄ ἔπειτα δ΄ λίτρας καὶ ὕδατος κοτύλας γ΄ ἢ β΄ κεράσας. καθαίρει τὰς ἐκ τοκετῶν
καὶ ἐκ τρωσμῶν. κατασπᾷ δὲ καὶ ἔμβρυα καὶ πρὸς τὰς ὑστερικὰς πνίγας ποιεῖ.

Περὶ σκαμμωνίτου. κεφ. ωμβ.

Σκαμμωνίτης· σκαμμωνίου τῆς ῥίζης < ι ὀρυττομένης ἐν πυραμητῷ, ἔμβαλε εἰς γλεύκους
χοῦν ἕνα λεῖα δήσας ἐν ὀθονίῳ ἐπὶ ἡμέρας λ΄. καθαίρει δὲ κοιλίαν ἄγων χολὴν καὶ φλέγμα.

## ΓΕΡΙ ΓΑΝΤΟΣ ΛΙΘΟΥ ΜΕΤΑΛΛΙΚΟΥ

Περὶ καδμείας. κεφ. ωμγ.

Καδμείας ἀρίστη μέν ἐστιν ἡ κυπρία. καλουμένη δὲ βοτρυῖτις, πυκνή, βαρεῖα μέσως καὶ
μᾶλλον ἐπὶ τὸ κουφότερον ῥέπουσα, ἔχουσα τὴν ἐπιφάνειαν βοτρυώδη, χρώματι σπο-
δοειδής, θλασθεῖσα δὲ ὑπότεφρος ἔνδοθεν καὶ ἰώδης. ἑξῆς μέντοι ἡ ἔξωθεν μὲν κυανίζου-
σα, ἔνδοθεν δὲ λευκοτέρα, διαφύσεις ἔχουσα ἐμφερεῖς ὀνυχίτῃ λίθῳ. τοιαῦται γάρ εἰσιν
αἱ ἐκ τῶν παλαιῶν μετάλλων ὀρυσσόμεναι. ἔστι δὲ καὶ πλακώδης τις λεγομένη ὥσπερ ζώ-
νας ἔχουσα τὰς διαφύσεις, ὅθεν καὶ ζωνῖτιν αὐτὴν ἐκάλεσαν. καλεῖται δέ τις καὶ ὀστρα-
κῖτις, ἰσχνή, καὶ ὡς ἐπὶ τὸ πολὺ μέλαινα, γεώδης δὲ ἡ ὀστρακώδει κεχρημένη ἐπιφανείᾳ·
φαύλη δὲ ἡ λευκή. χρησιμεύει δὲ πρὸς μὲν τὰ ὀφθαλμικὰ φάρμακα ἡ βοτρυῖτις καὶ
ὀνυχῖτις καλουμένη. αἱ δὲ λοιπαὶ εἰς ἐμπλάστρους καὶ ξηρὰ κατουλοῦν δυνάμενα. καὶ
πρὸς ταῦτα χρησιμεύει ἡ κυπρία. ἡ γὰρ ἐκ Μακεδονίας καὶ Θρᾴκης καὶ Ἱσπανίας κομιζο-
μένη, ἄθετος. δύναμιν δὲ ἔχει στυπτικήν, κοιλωμάτων ἀναπληρωματικήν, καθαρτι-
κὴν ῥυπαρῶν. παρεμπλάσσει δὲ καὶ ξηραίνει καὶ ἐσχαροῖ καὶ στέλλει τὰ ἐκ σαρκώματα
καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἀπουλοῖ. γίνεται δὲ ἡ καδμεία ἐκ τοῦ χαλκοῦ καμινευο-
μένου, προσιζανούσης τῆς λιγνύος τοῖς τοίχοις καὶ τῇ κορυφῇ τῶν καμίνων. εἰσὶ δὲ αὐταὶ
σιδηραῖ παμμεγέθεις, ὑπὸ τῶν μεταλλευτῶν καλούμεναι ἀκεστίδες. πρὸς τὴν κορυφὴν συνημ-
μέναι πρὸς τὸ κατέχεσθαι καὶ ἐφιζάνειν τὰ ἀναφερόμενα σώματα ἀπὸ τοῦ χαλκοῦ. ἀ-
πὸ δὲ τοῦ μᾶλλον ἐφιζάνοντα ἐπισωματοῦται. καὶ ποτὲ μὲν ἓν εἶδος αὐτῆς, ποτὲ δὲ
δύο ἢ ἅπαντα ἀποτελεῖται. μεταλλουργεῖται δὲ ἐκ τοῦ προϋποκειμένου σολέου
ὄρους τοῦ λεγομένου πυρίτου λίθου καιομένου. ἐν δὲ τῷ αὐτῷ ὄρει, εὑρίσκεται οἱονεὶ
διαζώματά τινα χαλκίτεως, μίσυος, σώρεως, μελαντηρίας, κυανοῦ, χρυσοκόλλης, χαλ-
κάνθου, διφρυγοῦς. τινὲς δὲ καὶ ἐν μετάλλοις φασὶ λιθίνοις εὑρίσκεσθαι καδμείαν, πλα-
νώμενοι ὑπὸ λίθων πολλὴν ἐμφέρειαν ἐχόντων. ὥσπερ καὶ ὁ ἐν τῇ Κύμῃ λίθος εὑρισκό-
μενος, δύναμιν δὲ οὐδεμίαν ἐνδεικνύμενος. ἐπιγινωσκομένων αὐτῶν ἐκ τοῦ κουφοτέ-
ρους αὐτοὺς εἶναι τῆς καδμείας, καὶ διαμασηθέντας μὴ ξενίζειν ἐν τῇ γεύσει, ἀγανα-
κτεῖν δὲ τοὺς ὀδόντας ἐν τῇ γεύσει εἰ λίθος εἴη ἐν τῇ διαμασήσει. εἰ δὲ καδμεία εἴη, εὐεχ-
θοῦς τῆς διαβρώσεως συνοικούσης αὐτῆς. ἔτι διακρίνεται καὶ τῷ τὴν μὲν καδμείαν λεο-
τριβηθεῖσαν σὺν ὄξει καὶ ξηρανθεῖσαν ἐν ἡλίῳ ἐκπιέζειν. τὸν δὲ λίθον μὴ πάσχειν τοῦτο. καὶ
ἐκ τοῦ ἐπιθέντα μὲν τὸν λίθον περιμμένον πυρὶ ἀποπηδᾶν καὶ τὸν δὲ αὐτοῦ καπνὸν ὁ-
μοφθῆ ὑπάρχειν τοῦ πυρί. τὴν δὲ καδμείαν, μένειν τε καὶ ἀναδιδόναι αἰθάλην μαλίζου-
σαν καὶ χαλκοφανῆ. ὥσπερ ζώνην τινὰ ποικίλην. ἔτι ὁ μὲν λίθος πυρωθεὶς καὶ ψυγεὶς
ἀλλοιωθήσεται τῷ χρώματι. καὶ κουφότερος ἔσται. ἡ δὲ καδμεία κατ' οὐδὲν μεταβάλλει εἰ
μή τις αὐτὴν ἐφ' ἱκανὰς ἡμέρας ἐγκαύσει. γίνεται δὲ καὶ ἐκ τῶν ἀργυρείων λευκοτέρα καὶ
κουφοτέρα οὖσα. ἥττων δὲ τὴν δύναμιν ἥττων. καυστέον δὲ τὴν προειρημένην καδμείαν

ἐγκρύπτοντας

ἐγκρύπτοντες εἰς ἄνθρακας ἕως οὗ διαφανὴς γένηται. καὶ πομφολυγώσῃ ὡς σιδηροῦς σκωρία. εἶτα ἐν οἴνῳ σβεννύουσι ἀμμωνιακῷ. τὴν δὲ εἰς τὰ ψωρικὰ ὄξει. τινὲς δὲ τὴν οὕτω καυθεῖσαν ἀναλαβόντες οἴνῳ, κατοπτῶσι πάλιν ἐν ὠμῇ χύτρᾳ μέχρι κινναβαρώδης τὴν ὄψιν γένηται. πάλιν δὲ μετὰ τοῦ οἴνου λεανθέντες τρίτον, καίουσι μέχρι τελέως εἰς σποδὸν ἀναλυθῇ, μηδὲν ἔχουσα τραχύ. καὶ ἀντὶ σποδίου χρῶνται τῇ τοιαύτῃ. πλύνεται δὲ ἐν θυίᾳ τριβομένη σὺν ὕδατι, ἀποχεομένου τοῦ ὕδατος ἄχρι μηδενὶ ἐφίσταται ῥυπαρόν. καὶ ἀναπλασθεῖσα ἀποτίθεται.

## Περὶ πομφόλυγος. ωμδ΄.

Πομφόλυξ σποδίου εἴδει ὡς διαφέρει γένει. λευκὴ γὰρ οὐκ ἔχει παραλλαγήν. ἡ μὲν γὰρ ὑπομελανίζει καὶ βαρυτέρα ἐστὶ κατὰ τὸ πλεῖστον, ἔμπλεως καρφῶν καὶ τριχῶν, ὥσπερ ἀποψήγματι καὶ σύρμα τῶν ἐν τοῖς χαλκουργείοις ἐδαφῶν καὶ καμίνων ἐστί. ἡ δὲ πομφόλυξ λιπαρὰ ὑπάρχει καὶ λευκὴ ἐστὶ καὶ κουφοτάτη, ὡς δύνασθαι ὑποπέτασθαι τῷ ἀέρι. καὶ ταύτης δὲ δύο εἰσὶν εἴδη. τὸ μὲν, ἀερίζον καὶ ὑποπίμελον. τὸ δὲ, λίαν λευκόν, καὶ ἄκραν ἔχον κουφότητος. γίνεται δὲ ἡ λευκὴ πομφόλυξ ὅταν ἐν τῇ κατεργασίᾳ καὶ πλάσει τοῦ χαλκοῦ, πυκνότερον οἱ ἐκ τῶν χαλκουργείων συνεμπάσσωσι λελεασμένην καδμείαν, βελτιοῦν αὐτὴν βουλόμενοι. ἡ γὰρ ἀπὸ ταύτης ἀναφερομένη αἰθάλη λεπτοτάτη οὖσα πομφόλυξ γίνεται. οὐ μόνον δὲ ἐκ τῆς τοῦ χαλκοῦ κατεργασίας τε καὶ ὕλης γίνεται πομφόλυξ, ἀλλὰ καὶ ἐκ καδμείας προσηκόντως ἐκφυσωμένης εἰς γένεσιν αὐτῆς. ποιεῖται δὲ οὕτως. ἐν οἰκοδομήματι διστέγῳ κατασκευάζεται κάμινος, καὶ κατὰ τὴν ἄνω πρὸς τὸ ὑπερῷον ἐκτομὴ σύμμετρός τις καὶ ἐκ τῶν ἄνωθεν μερῶν ἀνεῳγμένη. ὁ δὲ τοῖχος τοῦ οἰκήματος ὁ πλησιάζει τῇ καμίνῳ, τιτρᾶται λεπτῷ τρήματι πάχεις αὐτῆς τῆς χώνης εἰς παραδοχὴν φυσητῆρος. ἔχει δὲ καὶ θύραν σύμμετρον πρὸς εἴσοδον καὶ ἔξοδον κατεσκευασμένην ὑπὸ τοῦ τεχνίτου. συνάπτεται δὲ τούτῳ τῷ οἰκήματι ἕτερος οἶκος, ᾧ αἱ φῦσαι καὶ ὁ φυσητὴρ ἐργάζεται. λοιπὸν ἄνθρακες ἐντίθενται τῇ καμίνῳ καὶ πυροῦνται. ἔπειτα παρεστὼς ὁ τεχνίτης ἐμπάσσει λελεπτοποιημένην τὴν καδμείαν ἐκ τῶν ὑπὲρ κεφαλὴν τῆς χώνης τόπων. ὁ ὑπουργὸς δὲ ταὐτὸ ποιεῖ ἅμα καὶ ἄνθρακας προσεμβάλλεται, ἄχρις ἂν προστιθέμενον πλῆθος ἀναλωθῇ. ἐκθυμιωμένης δὲ αὐτῆς, τὸ μὲν λεπτομερὲς καὶ κοῦφον εἰς τὸν ἄνω ἀναφέρεται οἶκον, καὶ προσίζει τοῖς τοίχοις αὐτοῦ καὶ τῇ ὀροφῇ. τὸ δὲ σῶμα τὸ γινόμενον ὑπὸ τῶν ἀναφερομένων, κατ᾽ ἀρχὰς μὲν ταῖς ἐπανισταμέναις τοῦ ὕδατος πομφόλυξιν ἐοικὸς γίνεται. ὕστερον δὲ πλείονος καὶ αὐξήσεως συμβαινούσης, ἐρίων τολύπαις ἀφομοιοῦται. τὸ δὲ βαρύτερον εἰς τοὺς ὑποκάτω χωρεῖ τόπους. καὶ περικεῖται τὸ μὲν τῇ καμίνῳ, τοῦτο δὲ περὶ ἔδαφος τοῦ οἴκου. ὃ καὶ φαυλότερον τοῦ λεπτομεροῦς κριτέον, διὰ τὸ γεῶδες καὶ ἔμπλεων ἀκαθαρσίας εἶναι ἐν τῇ συγκομιδῇ. τινὲς δὲ μόνως οὕτως οἴονται γίνεσθαι τὴν προειρημένην σποδόν. ἀρίστη δὲ κριτέον τὴν κυπρίαν ἐν τῷ ὄξει φυραθεῖσαν, ἀποφορὰν μὲν ἔχουσαν χαλκοῦ, χρόαν δὲ παίζουσαν πως. ἔτι δὲ βορβορίζουσαν ἐν τῇ γεύσει, καὶ ἐπὶ ἄνθρακος διαπύρου τεθεῖσα ἄδηλος, τρίζει ἀερόχρους γινομένη. ὁμοίως δὲ προσεκτέον τοῖς προειρημένοις κριτηρίοις. δολοῦται γὰρ ὑπό τινων ταυροκόλλῃ ἢ πνεύμοσιν ἀρνείοις ἢ θαλαττίοις ἢ κεκαυμένοις ὀλύνθοις καὶ τισιν ἄλλοις παραπλησίοις. εὐχερὲς δὲ τὸ διαγνῶναι. οὐδὲν γὰρ τῶν προειρημένων ἐν τῇ δοκιμασίᾳ τούτων εὑρίσκεται. πλυτέον δὲ κοινῶς πομφόλυγα τὸν τρόπον τοῦτον. ἐνδήσας αὐτὴν ἐν καθαρῷ ὀθονίῳ μέσως ἔχουσαν ἀραιότητος, ἢ ξηρὰν ἢ ὕδατι πεφυ-

ραμμένην, κάθες εἰς λεκάνην ὕδωρ ἔχουσαν ὄμβριον, καὶ ἔκπλυνε ὧδε κἀκεῖσε διαφέρων τὸν ἔνδεσμον. οὕτω γὰρ τὸ μὲν ἰλυῶδες καὶ χρήσιμον αὐτῆς ἀπορρυήσεται. τὸ δὲ σκύβαλον πᾶν ἐν τῷ ὀθονίῳ μενεῖ. εἶτα ἐάσας καταστῆναι, ἀπήθησον τὸ ὕδωρ σὺν τῇ σποδῷ. καὶ πάλιν ἄλλο ἐπιχέας ἀνατάρασσε καὶ ἀπόχει. καὶ ταῦτα ποίει ἀπηθῶν τε ἀποχέων μέχρις ἂν μηδὲν ἀμμῶδες ὑφιζάνῃ. λοιπὸν τὸ μὲν ὕδωρ ἐξιᾶσι. τὴν δὲ σποδὸν ξηράνας ἀποτίθεσο. τινὲς δὲ ξηράναντες ἕψουσιν ἐνδέχεται, ταῖς χερσὶ λεαίνουσι μετὰ ὕδατος. εἶτα μάλιστα δὲ τὴν οὕτως ποιήσαντες, διηθοῦσι δι᾽ ὀθονίου περιτείναντες αὐτὸ τῷ ὑποδέχεσθαι μέλλοντι ἀγγείῳ. ἢ καὶ ἀποδήσαντες οὐ λίαν ἀποτεταμένον. πρὸς γὰρ ῥᾳδίως διεξελθεῖν δαψιλὲς ὕδωρ ἐπιχέαντες τῷ ὀθονίῳ, ἀνατα ράσσουσι τὴν σποδόν. εἶτα τὸ διυλισθὲν καὶ ἐπινηχόμενον αὐτὸ τῷ ἀγγείῳ ἀφρῶδες ὄν, αὐτόθεν μύακι ἀναλαμβάνοντες, ἀποτίθενται εἰς ὀστράκινον καινὸν ἀγγεῖον. τὸ δὲ ἐγκαθήμενον πράως διασείσαντες μεταχέουσιν εἰς ἕτερον ἀγγεῖον. ἀπολειπομένων τοῖς ἐν τῷ πυθμένι ἀμμωδῶν. πάλιν δὲ ἐάσαντες ὑποστῆναι τὰ λιθώδη εἰς ἄλλο ἀγγεῖον καθαρόν, ἀπηθοῦσι. καὶ τοῦτο πολλάκις δρῶσιν ἕως ἂν καθαρὰ καὶ ἀμιγὴς τοῦ ἄμμου γένηται ἡ σποδός. ἄλλοι δὲ ὡς ἔστιν ὁλομερὴς εἰς ὕδωρ κατ᾽ ὀλίγον ἐμπάσσουσι τὴν προειρημένην οἰόμενοι ἄμμον μὲν καὶ τὰ λιθώδη τῷ ἰδίῳ βάρει εἰς τὸν πυθμένα τοῦ ἀγγείου καταρρυήσεσθαι. τρίχας δὲ καὶ καρφία καὶ τὰ ὅμοια ἐπιμετεωρισθήσεσθαι διὰ τὴν κουφότητα. λοιπὸν χωρίσαντες αὐτῶν τὴν σποδὸν ἐν μέσῳ οὖσαν καὶ εἰς θυίαν βαλόντες, πλύνουσιν ὡς καδμείαν. πλύνεται δὲ καὶ ἐν οἴνῳ χίῳ τεθαλασσωμένῳ κατὰ τοὺς προειρημένους τρόπους. καὶ γίνεται στυπτικωτέρα τῆς ὕδατι πλυνομένης. δύναμιν δὲ ἔχει ἡ πομφόλυξ στυπτικήν, ψυκτικήν, ἀναπληρωτικήν, καθαρτικήν, προσσταλτικήν, καὶ πως ξηραντικήν. ἔστι δὲ καὶ τῶν πράως ἐσχαρούντων. ἐὰν δὲ ὀπτῆσαι δέῃ τὴν σποδόν, λεάνας ἐπιμελῶς αὐτὴν καὶ ἀναδεύσας ὕδατι, ποίησον τροχίσκους, θὲς ἐπ᾽ ὄστρακον καινόν. ἐπιτίθει δὲ τοῦτο ἐπὶ λεπτὴν καὶ κούφην ἀνθρακιάν. καὶ στρέφε τοὺς κυκλίσκους συνεχῶς ἄχρις ἂν πυρροὶ καὶ ξηροὶ γένωνται. γνωστέον δὲ ὅτι ἐκ τοῦ χρυσοῦ καὶ ἀργύρου ἔτι δὲ καὶ μολύβδου γίνεται σποδιά. καὶ ἔστι μετὰ τὴν κυπρίαν ἡ ἐκ τοῦ μολύβδου ἀρίστη.

### Περὶ ἀντισπόδων. ωμέ.

Ἐπειδὴ δὲ καὶ τὰ ἀντίσποδα ἱκανῶς ὠφελεῖ, ὑστερούσης πολλάκις σποδοῦ, τὰ ἰσοδυναμοῦντα ἀναγκαῖον ἐστὶν ὑποδεῖξαι, τίνα τέ ὑπάρχει καὶ ὃν τρόπον παραλαμβάνεται. λαβὼν τοίνυν μυρσίνης τὰ φύλλα σὺν τοῖς ἄνθεσι καὶ τοῖς μύρτοις ἀώροις ἔτι οὖσιν, ἔμβαλε εἰς ὠμὴν κύθραν. καὶ περιπλάσας τὸ πῶμα κατατετρημένον συνεχέσιν ὀπαῖς, δὸς εἰς κάμινον κεραμικήν. ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος, εἰς ἄλλην χύτραν καινὴν ὠμὴν μετέρασον αὐτό. καὶ πάλιν κατόπτησον καὶ τὸ ἑξῆς, ἐξελὼν πλῦνε καὶ χρῶ. ὡσαύτως δὲ καὶ θαλλίαν σκευάσας παραλάμβανε. ἔστω δὲ τῆς ἀγρίας ἐλαίας. εἰ δὲ μή, τῆς ἡμέρου σὺν τοῖς ἄνθεσιν. ἢ μῆλα κυδώνια κατατετμημένα καὶ ἐξεσπερματισμένα. ἢ κηκῖδας. ἢ ῥάκη λινᾶ. ἢ μόρα συκάμινα λευκὰ προεξηραμμένα ἐν ἡλίῳ. ἢ σχῖνον. ἢ τέρμινθον, ἢ οἰνάνθην. ἢ βάτου τὰ ἁπαλὰ φύλλα, ἢ πύξου κόμας, ἢ τὴν λεγομένην ψευδοκύπειρον σὺν τοῖς ἄνθεσι. τινὲς δὲ κράδας συκῆς προεξηραμμένας ἐν ἡλίῳ, ὡσαύτως σκευάζουσιν. ἄλλοι δὲ ταυρέαν κόλλαν. οἱ δὲ ἔρια οἰσυπηρὰ τραχέα πίσσῃ ἢ μέλιτι δεύσαντες, ὁμοίως σκευάζουσι. χρῆσις δὲ πάντων ποικίλως εἰς τὰ ἀντίσποδα.

Περὶ

## Περὶ κεκαυμένου χαλκοῦ. ωμϛ.

Ὁ δὲ κεκαυμένος χαλκὸς ἐστὶ καλὸς ὁ ἐρυθρὸς καὶ ἐν τῇ τρίψει κινναβαρίζων. ὁ δὲ μέλας πλέον τοῦ δέοντος κέκαυται. σκευάζεται δὲ ἐκ τῶν ἥλων τῶν λελυμένων πλοίων. συντιθεμένων ἐν ὠμῇ χύτρᾳ. ὑποπασσομένων θείου καὶ ἁλῶν ἴσων. καὶ ἐπιπασσομένων ἐναλλάξ. πωμασθεῖσα δὲ ἡ χύτρα καὶ ὑποχρισθεῖσα πηλῷ κεραμικῷ, δίδοται εἰς κάμινον ἄχρις οὗ τελέως ὀπτηθῇ. οἱ δὲ, ἀντὶ τοῦ θείου καὶ τῶν ἁλῶν στυπτηρίαν περιπλάσσουσιν. ἔνιοι δὲ δίχα τοῦ θείου καὶ τῶν ἁλῶν συνθέντες ἐν χύτρᾳ, καίουσιν ἐφ' ἱκανὰς ἡμέρας. οἱ δὲ, τῷ θείῳ μόνῳ χρῶνται. ἀποσβολοῦνται μέντοι. ἄλλοι δὲ χρίοντες τοὺς ἥλους σχιστῇ στυπτηρίᾳ μετὰ θείου καὶ ὄξους, καίουσιν ἐν ὠμῇ χύτρᾳ. ἄλλοι δὲ ἐν χαλκῇ χύτρᾳ ὄξει καταρραίνοντες αὐτοὺς οὕτως ὀπτῶσι. μετὰ δὲ τὸ καῦσαι πάλιν τὸ αὐτὸ ποιοῦσιν ἐπὶ τρὶς, ἔπειτα ἀποτίθενται. πρωτεύει δὲ ὁ ἐν Μέμφει σκευαζόμενος. ἔπειτα ὁ ἐν Κύπρῳ. δύναται δὲ στύφειν. ξηραίνειν. λεπτύνειν. καταστέλλειν. ἐπισπᾶσθαι. ἀνακαθαίρειν ἕλκη. διαπουλοῦν. σμήχειν τὰ ἐν ὀφθαλμοῖς. τήκειν τὰ ὑπερσαρκοῦντα. νομὰς ἱστᾶν. κινεῖ δὲ καὶ ἐμέτους μετὰ ὑδρομέλιτος ποθεὶς ἢ ἐκλειχθεὶς σὺν μέλιτι. ἢ διαχριόμενος. πλύνεται δὲ ὡς ἡ καδμεία τετράκις τῆς ἡμέρας ἀλλασσομένου τοῦ ὕδατος ἄχρι μηδεμία ἐφίστηται λάμπη καὶ ἡ σκωρία δὲ αὐτοῦ ὡσαύτως πλυνομένη, τὴν αὐτὴν ἔχει δύναμιν ἀσθενεστέραν μέντοι.

## Περὶ ἄνθους χαλκοῦ. ωμζ.

Χαλκοῦ δὲ ἄνθος ὅπερ ἔνιοι τῶν παλαιῶν ἥλων ψῆγμα ἐκάλεσαν, ἄριστόν ἐστι τὸ εὔθρυπτον καὶ κατάπυρρον ἐν τῷ λεαίνεσθαι. κεγχροειδές τε τῷ ῥυθμῷ καὶ βραχὺ καὶ βαρὺ καὶ μέσως στίλβον καὶ ἐπὶ στύφον. ἔτι δὲ ῥινίσματα τοῦ χαλκοῦ παραμεμιγμένα ἔχον οἷς δολοῦται. ἐλέγχεται δὲ πλατυνομένων αὐτῶν ταῖς τῶν ὀδόντων ἐπερείσεσι. γίνεται δὲ οὕτως ὅταν ἐν μεταλλικαῖς χοάναις τακεὶς ὁ χαλκὸς εἰς τὰς δεξαμενὰς καταρρυῇ διὰ τῶν ἐκ τῶν διηκόντων σωλήνων. διακαθαίροντες τὴν ἀκαθαρσίαν οἱ προσόντες αὐτοῖς, ὕδωρ ἐπιχέουσιν ἀκραιφνὲς ἐπὶ τὸν αὐτὸν, ψύξαι προαιρούμενοι. ὑπὸ δὲ τῆς αἰφνιδίου πυκνώσεως καὶ συναγωγῆς, ὥσπερ ἐκπτύεται καὶ ἐπανθεῖ τὸ προειρημένον. στύφει δὲ, θερμαίνει, καταστέλλει τὰς ὑπεροχάς. καὶ σμήχει τὰ ταῖς κόραις ἐπισκοτοῦντα δάκνον ἱκανῶς. ἔστι δὲ καὶ παχέων ἀγωγὸν τριωβόλου πλῆθος διδόμενον. ἐκτήκει δὲ καὶ τὰ ἐν μυκτῆρσι σαρκώματα. καὶ δακτυλίων ἐξανθήματα συνεργῶς στέλλει. καὶ πρὸς δυσηκόους χρονίους τὸ λευκὸν ἐμφυσᾶται διὰ σίφωνος λεπτοῦ. στέλλει δὲ καὶ κιονίδας καὶ παρίσθμια. λεῖον σὺν μέλιτι προσαπτόμενον.

## Περὶ λεπίδος. ωμη.

Λεπὶς δὲ ἡ μὲν ἐκ τῶν κυπρίων χαλκουργικῶν ἥλων παχεῖα. καλουμένη δὲ ἡλῖτις, καλή. φαύλη δὲ ἡ ἐκ τοῦ φαύλου χαλκοῦ. ἡ ἐκ τοῦ λευκοῦ. λεπτὴ καὶ ἀσθενὴς ὑπάρχουσα. ἣν ἀποδοκιμάζομεν. ἐγκρίνοντες τὴν παχεῖαν. καὶ ἔγκιρρον. καὶ ὄξους ἐπιρραινομένου ἰουμένην. δύναμιν δὲ ἔχει στυπτικήν. σταλτικήν. λεπτυντικήν. νομῶν ἐφεκτικήν. σηπτικήν. ἀπουλωτικήν. πινομένη δὲ μετὰ μελικράτου, ὕδωρ ἄγει. τινὲς δὲ φυρῶντες αὐτὴν μετὰ ἀλεύρου, ἐν καταποτίῳ διδόασι. μίγνυται δὲ τοῖς ὀφθαλμικαῖς δυνάμεσι. ξηραίνει δὲ τὰ βλέφαρα τὰ τραχέα ἀποτήκουσα, καὶ τὰ ῥεύματα. πλύνεται δὲ οὕτως. καθαρᾶς τῆς ξηρᾶς λεπίδος ἡμιμναῖον, βαλὼν εἰς θυίαν μεθ' ὕδατος διαυγοῦς, καὶ συνταράξας τῇ χειρὶ ἐπιμελῶς ἄχρις οὗ ὑποστῇ ἡ λεπὶς, ἀφαίρει τὰ ὑφεστῶτα. ἀποχέας τε τὸ

ὕδωρ, ἐπιχεομένου ὕδατος κοτύλης α΄. πλατείᾳ τε τῇ χειρὶ τρίβε εὐτόνως ἐν τῇ θυΐᾳ. οἷον ἐναποψύχων. ἐπὰν δὲ ἄρξηται ἀνιέναι τινὰ γλισχρότητα, κατὰ μικρὸν, ὕδωρ προσεπιχεῖν ἄχρι κοτυλῶν ϛ΄ τρίβων εὐτόνως. ἀναλαβόντι τὴν λεπίδα τῇ χειρὶ, ὡς πρὸς τὸ πλευρὸν τῆς θυΐας, τρίβε εὐτόνως. καὶ ἐξιπώσας ἀνελοῦ τὸ ἀπορρυὲν εἰς πυξίδα ἐρυθροῦ χαλκοῦ. τοῦτο γάρ ἐστι τὸ ὥσπερ ἄνθος τῆς λεπίδος καὶ εὔτονον τῇ δυνάμει. καὶ εὐθετοῦν εἰς τὰ ὀφθαλμικά. τὸ δὲ λοιπὸν, ἄτοπον. καὶ τὸ καταλειφθὲν δὲ ὁμοίως πλύνων, ἀναιροῦ μέχρις ἂν μηδεμίαν γλισχρότητα ἀποκρίνῃ. τὸ δὲ λοιπὸν σκεπάσαντα δεῖ ἐν θυΐᾳ ἐᾶσαι ἀκίνητον ἐπὶ δύο ἡμέρας. εἶτα ἀποχέαντας τὸ ἐφεστηκὸς ὕδωρ καὶ ξηράναντας ἀποτίθεσθαι εἰς πυξίδα. ἔνιοι δὲ καὶ ταύτην πλύναντες, ὡς τὴν καδμείαν ἀποτίθενται.

## Περὶ λεπίδος στομώματος. ωμθ΄.

Λεπίδος δὲ στομώματος δύναμις ἐστὶν ἡ αὐτὴ τῇ τοῦ χαλκοῦ λεπίδι. καὶ πλύνεται καὶ ἀποτίθεται ὁμοίως. ἐν μέρει τῷ τὴν κοιλίαν καθαίρειν, λείπεται δὲ τοῦ χαλκοῦ.

## Περὶ ἰοῦ ξυστοῦ. ων΄.

Ἰὸν δὲ ξυστὸν οὕτω σκευαστέον. εἰς πιθάκνην ἢ ἄγγος ὅμοιον ἀγγεῖον ἐγχέας δριμύτατον ὄξος, ἐπικατάστρεψον χαλκοῦν ἀγγεῖον. καλὸν μὲν ἐὰν καμαροειδὲς ᾖ. εἰ δὲ μή γε, ἰσόπεδον. ἔστω δὲ σμηκτὸν μὲν καὶ διαπνοὴν μηδεμίαν ἔχον. διὰ δὲ ἡμερῶν δέκα ἀναιρουμένου τὸ πῶμα, ἀποξύειν τὸν ἐπιτρέχοντα ἰόν. ἢ λεπίδα ἀπὸ τοῦ αὐτοῦ ποιήσας χαλκοῦ, ἐκκρέμασον εἰς τὸ ἀγγεῖον ἵνα μὴ ψαύσῃ τοῦ ὄξους. καὶ διὰ τῶν ἴσων ἡμερῶν ἀπόξυε. ἢ εἰς τὰ στέμφυλα μὴ πρόσφατα ὄντα, ὀξίζοντα δὲ, ἐγκρύψας μάζαν ἢ λεπίδα μίαν ἢ καὶ πλείονας, ὡσαύτως ἀνάστρεφε. γίνεται δὲ καὶ ἐκ ῥινισμάτων τινῶν ἢ λεπίδων, αἷς τὰ ἐλάσματα τὰ χρυσοπέταλα ἐλαύνεται. ἐάν τις αὐτὰ ἐπιρραίνων ὄξει, ἀνακινῇ τρὶς ἢ τετράκις ἄχρις ἂν πάντελῶς ἰωθῇ. γίνεσθαι δὲ φασι γνήσιον τὸν ἰὸν καὶ ἐν τοῖς κυπριακοῖς μετάλλοις. τὸν μὲν, λίθοις τισὶν ἐπανθοῦντα ἔχουσι τὸν χαλκόν. τὸν δὲ, ἔκ τινος σπηλαίου στάζοντα ἐν τοῖς ὑπὸ κύνα καύμασι. καὶ ὁ μὲν, ὀλίγος τε καὶ ἄριστος εἶναι. ὁ δὲ ἐκ τοῦ σπηλαίου, δαψιλὴς μὲν ὑπάρχει καὶ εὔχροος. φαῦλος δὲ ὑπάρχει διὰ τὸ πολλοῖς ἀναμεμῖχθαι λιθώδεσι. δολοῦται δὲ καὶ ἄλλοις πολλοῖς μισγόμενος. μάλιστα δὲ χρυσοκόλλῃ. τινὲς μὲν γὰρ κισσήρει. οἱ δὲ, μαρμάρῳ. ἄλλοι δὲ χαλκάνθῳ. κιβδηλεύουσιν αὐτόν. καταληψόμεθα δὲ τὸν μὲν κισσήρει καὶ τὸν μαρμάρῳ, διὰ τοῦ ποιεῖν τὸν ἀντίχειρα τῆς εὐωνύμου χειρὸς καὶ τῷ δεξιῷ προστρίβειν τι μέρος. συμβαίνει γὰρ τὸ μὲν, αὐτοῦ διαχεῖσθαι. τὰ δὲ τῆς κισσήρεως καὶ μαρμάρου μέρη ἀδιάχυτα μένειν. καὶ πλέον ἀπολευκαίνεσθαι τῇ ἐπὶ πλέον παρατρίψει καὶ τῇ τοῦ ὑγροῦ παραπλοκῇ. οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς τῶν ὀδόντων ἐπιθέσεως. λεῖον γὰρ ὑποπίπτει καὶ οὐ τραχὺ τὸ ἀμιγές. τὸ δὲ χαλκάνθῳ ἀπελέγχεται τῷ πυρί. εἰ γὰρ χάρτῃ ἐμπλάσσει τις οὕτω δεδολωμένον ἰὸν ἐπὶ λεπίδα ἢ ὄστρακον, καὶ τὸ ἔπειτα τοῦτον ἐπιθήσει ἐν θερμῇ τέφρᾳ ἢ ἐπὶ ἄνθραξι, μεταβάλλεται καὶ ἐρυθραίνεται τὸ χαλκανθῶδες. διὰ τὸ φύσει καιόμενον αὐτὸ τοιαύτην ἴσχειν χροιάν.

## Περὶ ἰοῦ σκώληκος. ωνα΄.

Τοῦ δὲ λεγομένου σκώληκος ἰοῦ, διττὸν εἶδος ὑπάρχει. ὁ μὲν γὰρ ὀρυκτός ἐστιν. ὁ δὲ, σκευάζεται οὕτως. εἰς θυΐαν κυπρίου χαλκοῦ ἔχουσαν δὲ καὶ δοίδυκα ἀπὸ τῆς αὐτῆς πεποιημένον ὕλης, ἐγχέας ὄξους λευκοῦ καὶ δριμέος κοτύλης ἥμισυ, τρίβε ἕως οὗ γλοιῶδες ᾖ. εἶτα ἔμβαλε στυπτηρίας στρογγύλης ∠ α΄. καὶ ἁλὸς ὀρυκτοῦ διαφανοῦς ἢ θαλασσίου ὡς ὅτι λευκοτάτου καὶ στερεοῦ. εἰ δὲ μή γε νίτρου τὸ ἴσον. εἶτα λέαινε ἐν ἡλίῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως τὴν μὲν

χροιᾷ ἰώδης. τῇ δὲ συστάσει γλοιώδης γίνεται. καὶ οὕτως ἀναπλάσσας σκώληκας τοῖς
ῥοδιακοῖς ὁμοίως, ἀποτίθεσο. ἐκφυγὴς δὲ καὶ εὔχρους γίνεται ἄγαν, ἐὰν ὄξους μὲν λάβῃ μέ-
ρος ἕν. οὔρου δὲ παλαιοῦ μέρη δύο. τὰ δ᾽ ἄλλα ὡς προείρηται. τινὲς δὲ τὸν ἀπεπτισμένον
ἐν τῷ ξυστῷ κόμμι μίξαντες ἀναπλάσσουσι καὶ πωλοῦσιν. ὃν ἀποδοκιμαστέον ὡς φαῦλον.
ἔστι δέ τις καὶ ὑπὸ τῶν χρυσοχόων γινόμενος ἰὸς διὰ θυίας καὶ δοίδυκος κυπρίου χαλκοῦ.
ἔτι δὲ οὔρου παιδός. ᾧ τὸ χρυσίον κολλῶσιν. ἀναλογοῦσι δὲ κοινῶς οἱ προειρημένοι ἰοὶ κεκαυ-
μένῳ χαλκῷ. μᾶλλον δὲ ἐρρωμένοι περὶ τὴν ἐνέργειαν. ἰστέον δὲ ὅτι προέχει μὲν αὐτῶν ὁ
ὀρυκτὸς σκώληξ. ἑπομένως δὲ ὁ ξυστός. εἶτα ὁ σκευαστός. δηκτικώτερος μέντοι καὶ
μᾶλλον στύφων οὗτος ὑπάρχει. ὁ δὲ τῶν χρυσοχόων ἀναλογεῖ τῷ ξυστῷ. δύναται δὲ πᾶς
ἰὸς στύφειν. θερμαίνειν. ἀποσμήχειν τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ λεπτύνειν. δάκρυον ἄγειν.
νομὰς ἴσχειν. τραύματα ἀφλέγμαντα τηρεῖν. ἀπουλοῖ ἕλκη σὺν ἐλαίῳ καὶ κηρῷ. σὺν
μέλιτι δὲ ἑψηθέντες, τύλους καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν ἀνακαθαίρουσιν. ἀμμωνιακῷ δὲ
ἀναληφθέντες εἰς κολλύρια, σύριγγας καὶ τύλους ἐκτήκουσι. χρήσιμοι δὲ καὶ πρὸς ὑπουλί-
δας καὶ τὰς τῶν οὔλων ἐξοχάς. ἱκανῶς δὲ καὶ βλέφαρα λεπτύνουσι σὺν μέλιτι ἐγχριό-
μενοι. δεῖ δὲ πυελαῖον μετὰ τὴν ἔγχρισιν σπόγγῳ ἐξ ὕδατος θερμοῦ. ἀναληφθέντες δὲ ῥητί-
νῃ τερεβινθίνῃ σὺν χαλκῷ ἢ νίτρῳ, λέπρας ἐξαίρουσι. καυστέον δὲ ὃν ἂν ἐθέλῃς ἰὸν οὕτω.
θλάσας αὐτὸν εἰς ὀλιγοχερέστατα μέρη, καὶ τῇ χύτρᾳ κεραμέᾳ ὠμῇ ἐνθείς, ἐπίθες ἐπ᾽ ἀνθρά-
κων διαπύρων, κίνει ἕως ἂν μεταβάλλῃ καὶ ὑποσποδίσῃ τῇ χρόᾳ. λοιπὸν δὲ ψύξας,
ἀποτίθεσο καὶ χρῶ. τινὲς δὲ ἐν ὠμῇ χύτρᾳ καίουσιν αὐτὸν ὡς προείρηται. οὐκ εἰς τὸ αὐτὸ δὲ
πάντοτε καιόμενος μεταβάλλει χρῶμα.

Περὶ ἰοῦ σιδήρου. ωνβ

Ἰὸς δὲ σιδήρου στύφει. ῥοῦν τε γυναικεῖον προστιθεὶς ἴσχει. πινόμενος δέ τι ἀσυλληψίαν ποιεῖ. ἐγ-
χριόμενος δὲ σὺν ὄξει ἐρυσιπέλατα καὶ ἐξανθήματα ἰᾶται. πρός τε παρωνυχίας καὶ πτε-
ρύγια καὶ τραχέα βλέφαρα εὔχρηστος. καὶ κονδυλώματα καὶ οὖλα κρατύνει. ποδαγρι-
κοῖς τε ὠφελεῖ περιχριόμενος. καὶ ἀλωπεκίας δασύνει. σίδηρος δὲ πεπυρωμένος ἀποσβεσθεὶς
ὕδατι ἢ οἴνῳ καὶ πινόμενος, ἁρμόζει κοιλιακοῖς. δυσεντερικοῖς. σπληνικοῖς. χολεριῶ-
σι. καὶ στομάχῳ ἀναλελυμένῳ.

Περὶ σκωρίας σιδήρου. ωνγ.

Ἡ δὲ σκωρία τοῦ σιδήρου δύναται ὅσα καὶ ὁ ἰὸς τοῦ σιδήρου. ἧττον δέ. βοηθεῖ δὲ ἀκονί-
τῳ μετ᾽ ὀξυμέλιτος ποθεῖσα.

Περὶ μολίβδου πεπλυμένου. ωνδ.

Σκευάζεται καὶ ὁ πεπλυμένος μόλιβδος τοῦτον τὸν τρόπον. βαλὼν εἰς μολιβδίνην
θυίαν ὕδωρ, τρίβε μολιβδίνῳ δοίδυκι. ἕως ἂν μελανθῇ τὸ ὕδωρ καὶ γένηται ἰλυῶδες. ἢ χυ-
λῶδες ἢ πηλῶδες. εἶτα δὲ ἠθεῖ αὐτὸ δι᾽ ὀθονίου, προσεπιχέων τὸ ὕδωρ ἵνα πᾶν τὸ διαλυθὲν ὑ-
λισθῇ. καὶ ποίει τὸ αὐτὸ πάλιν ἄχρις ἂν αὐτάρκως ἔχειν δόξῃ. εἶτα ἐάσας καταστῆ-
ναι τὸ πεπλυμένον, ἀπόχεε τὸ ὕδωρ καὶ ἄλλο ἐπιχέας, πλῦνε ὡς τὴν καδμείαν, ἄχρις
ἂν μηκέτι ἐμφαίνῃ τι τῆς μελανίας. ἀναπλάσας δὲ τροχίσκους ἀποτίθεσο. οἱ δὲ, καθα-
ρὸν μόλιβδον ῥινήσαντες, τρίβουσιν ἐν λιθίνῃ θυίᾳ δοίδυκι λιθίνῳ. ἢ ταῖς χερσὶ μεθ᾽ ὕ-
δατος ὑπὸ χεῖρα καταλείβειν ἐπιχέοντες τὸ μελαινόμενον. ὅπερ ἐάσαντες ὑποστῆναι
καὶ ἀποχέαντες, ἀναπλάσσουσιν εὐθέως. τὸ γὰρ ἐπιπλεῖον τριβόμενον, γίνεται ψιμμυ-
θίῳ ὅμοιον. ἔνιοι δὲ προσεμβάλλουσι τοῖς ῥινίσμασι ὀλίγην μολίβδαιναν. φασκοι-

του βελτίονα εἶναι τὸν οὕτω πλυνόμενον μόλιβδον. δύναται δὲ ψύχειν, στύφειν, ἐμπλαστοῦν, μαλάττειν, πληροῦν τὰ κοιλώματα, στέλλειν τὰ ἐν τοῖς ὀφθαλμοῖς ῥεύματα, καὶ τὰ ὑπερσαρκοῦντα τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἴσχαιμος. καὶ πρὸς τὰ ἐν τῷ δακτυλίῳ ἕλκη, καὶ κονδυλώματα, αἱμορροΐδας μετὰ ῥοδίνου, καὶ τὰ δυσκατούλωτα. καὶ καθόλου ποιεῖ ὅσα καὶ ἡ σποδός, δίχα τοῦ ἐσχαροῦν. ὁ δὲ ἀκέραιος μόλιβδος παρατριβόμενος βοηθεῖ τοῖς θαλασσίοις σκορπίοις καὶ δράκοντος πληγῇ.

## Περὶ μολίβδου κεκαυμένου. κε ωιε.

Καίεται δὲ ὁ μόλιβδος οὕτω. λαβὼν μολίβδου ἐλάσματα ὡς ὅτι λεπτότατα, ἐπίθες εἰς καινὴν λοπάδα. καὶ ἐπίπασον θεῖον, πάλιν ἕτερα ἐπίθες πέταλα, καὶ θεῖον ἐπίπασσε. καὶ πάλιν ἕτερα, καὶ τοῦτο ποίει ἄχρις ἂν πληρώσῃς τὴν λοπάδα. εἶτα ὕφαπτε. ἀναφλεχθέντος δὲ τοῦ μολίβδου, κίνει σιδήρῳ ἄχρις ἂν ἀποτεφρωθῇ τελείως καὶ μηδὲν ἐν αὐτῷ χαλαστὸν μολιβδῶδες. καὶ ἀναιροῦ, ἐπιπωμάσας τὰς ῥῖνας. βλαβερὰ γὰρ ἡ ἀποφορά. ἢ ῥινίσματα μολίβδου βαλὼν μετὰ θείου εἰς λοπάδα, οὕτω καῖε. οἱ δὲ, εἰς χύτραν ὠμὴν βαλόντες τὰ πέταλα, ὡς εἴρηται, καμίνῳ ἐντιθέασιν. ἢ ἐπάνω χάρακας περιπλάσαντες τὸ πῶμα καὶ ὀλίγην ἐάσαντες ἀναπνοήν, καίουσιν. οἱ δὲ, ψιμμύθιον περιπάσσουσιν ἀντὶ τοῦ θείου ἢ κριθάς. οἱ δὲ, ἀκραιφνεῖς τὰς λεπίδας ἐπιθέντες ὀξεῖ, πυρὶ χρῶνται. καὶ κινοῦσιν ἐπιτιθεμένας σιδηρίῳ ἄχρις ἂν ἐκτεφρωθῇ. ἔστι δὲ δυσχερὴς ἡ τοιαύτη καῦσις. καὶ ἐπὶ πλεῖον δὲ καείς, οὕτω λιθαργύρου λαμβάνει τὸ χρῶμα. ἡ μέντοι ἀρίστη ἡ πρώτη καῦσις. δεῖ δὲ πλύνειν αὐτὸν ὡς τὴν καδμείαν καὶ ἀποτίθεσθαι. δύναμιν δὲ ἔχει ἣν καὶ ὁ πεπλυμένος μόλιβδος. εὐτονωτέραν δὲ μᾶλλον.

## Περὶ σκωρίας μολίβδου. κε ωιϛ.

Σκωρία μολίβδου, ἀρίστη ἐστὶν ἡ ψιμμυθιοφανής, πυκνή τε, δύσθραυστος, μηδὲν ἔχουσα μολιβδῶδες, μηλοειδὴς δὲ τῷ χρώματι καὶ ὑελίζουσα. δύναται δὲ τὰ αὐτὰ τῷ κεκαυμένῳ μολίβδῳ, στύφουσα μᾶλλον. πλύνεται δὲ ἐν θυίᾳ ἐπιχεομένου ὕδατος, καὶ ἀποχεομένου τοῦ ἐφισταμένου μηλίνου χρώματος. πολλάκις τε τοῦτο γίνεται ἄχρις ἂν ἀναλωθῇ ἡ σκωρία. τὸ τελευταῖον ἐάσαντες ὑποστῆναι αὐτήν, ἀποχέομεν τὸ ὕδωρ, καὶ οὕτως ἀναπλάσσομεν.

## Περὶ τοῦ μολιβδοειδοῦς λίθου. κε ωιζ.

Καὶ ὁ μολιβδοειδὴς δὲ λίθος, ἀνάλογον ἔχει τὴν δύναμιν τῇ σκωρίᾳ. πλύνεται δὲ ὁμοίως.

## Περὶ στίμμεως. κε ωιη.

Στίμμι δὲ κράτιστον ἐστὶ τὸ στιλπνότατον, καὶ λαμπυρίζον. ἐν τῇ θραύσει πλακῶδες, μηδὲν ἔχον γεῶδες ἢ ῥυπαρόν, εὔθρυπτον. τοῦτο οἱ μὲν στίβι, οἱ δὲ, πλατυόφθαλμον, οἱ δὲ, λάρβασον, οἱ δὲ, γυναικεῖον, οἱ δὲ, χαλκηδόνιον ἐκάλεσαν. δύναμιν δὲ ἔχει ἐμπλαστικὴν, στυπτικὴν, ψυκτικὴν, σταλτικὴν τῶν ὑπερσαρκούντων, ἀπουλωτικὴν ἑλκῶν, καὶ καθαρτικὴν ῥύπων τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. ἐπέχει δὲ καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας. καὶ καθόλου δὲ ἐμφερής ἐστιν ἡ δύναμις αὐτοῦ τῷ κεκαυμένῳ μολίβδῳ. ἰδίως δὲ τὰ κατακαύματα οὐκ ἐᾷ ἐσχαροῦσθαι, σὺν στέατι καταχριόμενον μετὰ νέου. καὶ ἀπουλοῖ τὰ ἐσχαρωθέντα κηρῷ καὶ ὀλίγῳ ψιμμυθίῳ μιχθέν. ὀπτᾶται δὲ στέατι περιπλασθὲν καὶ ἐγκρυβὲν εἰς ἄνθρακας, ἄχρις ἂν ἀνθρακωθῇ τὸ στέαρ. ἐξαιρεθὲν δὲ σβέννυται γάλακτι ἀρρενοτόκου γυναικὸς ἢ οἴνῳ παλαιῷ. καίεται δὲ ἐπ' ἀνθράκων ἐπιτεθὲν καὶ ἐμφυσηθὲν ἄχρι πυρώσεως. ἐὰν γὰρ ἐπὶ πλεῖον καῇ, μολιβδοῦται. πλύνεται δὲ ὡς ἡ καδμεία καὶ ὁ χαλκός. ἔνιοι δὲ ὁμοίως τῇ τοῦ μολίβδου πλύνουσι σκωρίᾳ.

## Περὶ μολιβδαίνης. κε ωιθ.

Μολίβδαινα δὲ ἀρίστη ἐστὶν ἡ λιθαργυροφανής, ξανθή, ὑπόστιλβουσα, καὶ κιῤῥὰ ἐν τῷ λεαίνεσθαι

σθαι

ἑψηθεῖσα τε ἐλαίῳ, ἡ τὸ ἥπατος τῷ χρώματι γίνεται. ἡ δὲ ἀφίζουσα ἢ μολιβδό-
χρους φαύλη. γίνεται δὲ ἐξ ἀργύρου καὶ χρυσοῦ. ἔστι δέ τις καὶ ὀρυκτὴ κατὰ Σεβάστει-
αν καὶ Κώρυκον εὑρισκομένη. καὶ ταύτης ἐστὶ βελτίων ἡ μὴ σκωριώδης μὴ δὲ λιθώδης.
ξανθὴ δὲ καὶ στίλβουσα. δύναμιν δ' ἔχει ὁμοίαν λιθαργύρῳ καὶ σκωρίᾳ μολίβδου. πλύ-
νεται δὲ καὶ καίεται τὸν αὐτόν. μίσγεται δ' ἐπιτηδειότερον αὐτὴ καὶ ταῖς λιπαραῖς καὶ αὐχμώ-
δεσι τοῖς ἐμπλάστροις χρήσιμος. οὖσα σαρκωτικὴ καὶ ἀπουλωτική. ταῖς μέντοι κολλη-
τικαῖς καὶ σμηκτικαῖς οὐχ ἁρμόζει δυνάμεσιν. Περὶ σκωρίας ἀργύρου. κε. ῳξ.

Ἡ δὲ τοῦ ἀργύρου σκωρία καλεῖται ἔγκλυσμα ἢ ἔγκαυμα. τὴν αὐτὴν δὲ ἔχει δύνα-
μιν τῇ μολιβδαίνῃ. ὅθεν ἐμπλάστροις φαιαῖς μίσγεται καὶ ἀπουλωτικαῖς. στυπτι-
κὴ οὖσα καὶ ἐπισπαστική. Περὶ λιθαργύρου. κε. ῳξα.

Λιθάργυρος. ἡ μέν τις ἐκ τῆς μολιβδίτιδος καλουμένης ἄμμου γίνεται. χωνευομένης ἄ-
χρι τελείας ἐκπυρώσεως. ἡ δὲ ἐξ ἀργύρου. ἡ δὲ ἐκ μολίβδου. διαφέρει δ' ἡ Ἀττική. δευτε-
ρεύει δ' ἡ Ἱσπανή. μεθ' ἃς ἡ ἐν Δικαιαρχείᾳ. καὶ ἐν Καμπανίᾳ καὶ Σικελίᾳ καὶ Πυτιόλοις καὶ
Βαίαις. πλείστη δ' ἐν τοῖς δὲ τοῖς τόποις γίνεται. μολιβδίνων ἐλασμάτων ἐκφλογουμένων.
καλεῖται δ' ἡ μὲν ξανθὴ καὶ στίλβουσα χρυσῖτις. ἥτις ἐστὶ κρείττων. ἡ δὲ ἐν Σικελίᾳ ἀργυρῖτις.
ἡ δὲ ἐκ τοῦ ἀργύρου καλαυρῖτις. δύναμιν δ' ἔχει στυπτικήν. μαλακτικήν. κοιλωμάτων πλη-
ρωτικήν. σταλτικὴν τῶν ὑπερσαρκούντων. καὶ ἀπουλωτικήν. ψυκτικήν. ἐμπλαστικήν. καίεται
δ' αὐτὴ οὕτω. κατακόψας εἰς κάρυα μεγέθη, καὶ ἐπιθεὶς ἐπ' ἄνθρακας, ἐκρίπισον μέχρι
πυρώσεως, καὶ περιμάξας τὴν περικειμένην ἀκαθαρσίαν, ἀπόθου. ἔνιοι δ' ὄξει ἢ οἴνῳ
σβέσαντες αὐτὴν ἐπὶ τρίς, πάλιν καίουσι. καὶ ταῦτα ποιήσαντες ἀποτίθενται. πλύνεται
δὲ ὡς ἡ καδμεία. λευκαίνεται δ' οὕτω. λαβὼν τῆς ἀργυρίτιδος λεγομένης, εἰ δὲ μή, τῆς ἄλ-
λης, κατάθραυσον εἰς μεγέθη κυάμων ὅσον χοίνικα Ἀττικήν. βαλών τε εἰς καινὴν χύ-
τραν, ἐπίχει ὕδωρ. προσεμβαλὼν πυρῶν λευκῶν χοίνικα. καὶ ἰσχάδα ἐν ὀθονίῳ καθαρῷ
ἀραιῷ κριθῶν δράκα δήσας ἀπὸ τοῦ ὠτὸς τῆς χύτρας κρέμασον. ἕψε δὲ ἕως ἂν ῥαγῶσιν
αἱ κριθαί. εἶτα κατεράσας πάντα εἰς κρατῆρα πλατύστομον καινόν, τοὺς μὲν πυροὺς
ῥῖψον χωρίσας. τὴν δὲ λιθάργυρον πλύνων ἐπιχέας ὕδωρ. βιαίως ταῖς χερσὶ προστρίβων
ἅμα. εἶτα ἀνελόμενός τε αὐτὴν καὶ ξηράνας, τρῖβε ἐν θυίᾳ θηβαϊκῇ. ἐπίχει θερμὸν ὕδωρ
ἕως ἂν διαλυθῇ. καὶ ἀπηθήσας τὸ ὕδωρ, πάλιν τρῖβε δι' ὅλης τῆς ἡμέρας. εἰς ἑσπέραν δὲ
ἐπιχέας ὕδωρ θερμὸν ἔασον. καὶ πρωῒ ἀπηθήσας ἄλλο ἐπίχει καὶ ἀπήθει τῆς ἡμέρας
τρίς. τοῦτο ποίει ἐπὶ ἡμέρας ζ΄. εἶτα μίξας τῇ μνᾷ τῆς λιθαργύρου ἁλῶν ὀρυκτῶν ∠ ε΄,
θερμόν τε ἐπιχέων, λέαινε τρὶς τῆς ἡμέρας ἀπηθῶν καὶ μισγων ὕδωρ. ὅταν δὲ λευ-
κὴ γένηται θερμὸν ἐπιχέων, τὸ αὐτὸ ποίει ἄχρις ἂν μηδεμίαν ἔμφασιν ἁλυκότητος ἔχῃ.
καὶ ξηράνας ὀξυτάτῳ ἡλίῳ, προσεμβαλὼν τὴν ἰκμάδα ἀποτίθεσο. εἰ δὲ μή, μνᾶν μί-
αν λαβὼν τῆς ἀργυρίτιδος, λέαινον ἐπιμελῶς. καὶ ῥίψας μίξον ἁλῶν διπλάσιον, λευκῶν
ὀρυκτῶν. καὶ βάλλε εἰς καινὴν χύτραν. ἐπιχέας τε ὕδωρ ὥστε ὑπερέχειν αὐτό, κίνει ἑ-
κάστης ἡμέρας πρωῒ καὶ δείλης προσεπιχέων ὕδωρ, μηδὲν τοῦ προτέρου ἀποχέων. καὶ ποίει
τοῦτο ἐπὶ ἡμέρας λ΄. μὴ κινουμένου γὰρ ἀποστρακοῦται. μετὰ δὲ ταῦτα ἀποχέας πρᾳ-
έως τὴν ἅλμην ἐν θηβαϊκῇ θυίᾳ, τὴν λιθάργυρον λέαινε. καὶ βαλὼν αὐτὴν εἰς κεραμε-
οῦν ἄγγος, ἐπιχέας τε ὕδωρ, κίνει ταῖς χερσὶν ἐπιμελῶς. ἀποχέων τὸ πρότερον καὶ ἐπιχέ-
ων τὸ ἕτερον, ἄχρις ἂν μηδεμίαν ἔμφασιν ἁλυκότητος ἔχῃ. εἶτα ἀποχέας τὸ λευκὸν τῆς

ἔγκαυμα

palladi ī marg. 7.

τὴν μνᾶν

λιθαργύρου εἰς ἀγγεῖον. ἀναπλάσαι τροχίσκους. καὶ ἀποθοῦ εἰς μολιβδίνην πυξίδα. οἱ δὲ καταθραύσαντες εἰς μεγέθη κυάμων τὴν λιθάργυρον, καὶ βαλόντες εἰς χοίρειον κοιλίαν ὠμὴν ἕψουσιν ἐν ὕδατι. ἄχρις ἂν τακερωθῇ τὸ σπλάγχνον. εἶτα ἐξελόντες ταύτην μετὰ ἴσων ἁλῶν τρίψαντες, πλύνουσιν ὡς προείρηται. ἔνιοι δὲ ἁλῶν λίτραν μίαν καὶ λιθαργύρου τοσοῦτον, τρίβουσιν ἐν ἡλίῳ μεθ' ὕδατος συνεχῶς ἀντιχέοντες ἄχρις ἂν λευκὴ γένηται. ἢ καὶ οὕτω. λαβὼν τῆς λιθαργύρου ὅσον θέλεις, καὶ εἰλήσας ἐρίοις λευκοῖς. καὶ θεὶς εἰς κεραμέαν χύτραν καινὴν, ἐπίχεε ὕδωρ καὶ κυάμων καθαρῶν ἀτρίπτων δραχμὰς μίαν ἕψε. ὅταν δὲ οἱ κύαμοι διαρραγῶσι, τότε, εἰ γὰρ λελεύκωται, ἐξελὼν τὴν λιθάργυρον καὶ ἑτέροις ἐρίοις εἰλήσας, ἐκ δευτέρου ἕψε καὶ ὕδατι, κυάμων τε τὸ ἴσον πλῆθος. καὶ ταῦτα ποίει τοῖς προειρημένοις ἐκ τρίτου. καὶ καθόλου ἕως τὰ ἔρια μηκέτι βάπτηται. καὶ τὸ λοιπὸν καταρράνας εἰς θυίαν προσβάλλε τῆς ἀττικῆς λιθαργύρου, μίξον ἅλας ὀρυκτοῦ λίτραν. καὶ λέανε. διαλιπὼν τε ἐπίχεε ὕδωρ τρία πάνυ λευκοτάτου διειλημμένης μεθ' ὕδατος ὁλκὰς μζ. καὶ πάλιν τρῖβε ἄχρις ἂν ἡ λιθάργυρος ἱκανῶς λευκὴ γένηται. οὕτω δὲ καταντλήσας αὐτὴν εἰς κεραμεοῦν πλατύστομον ἀγγεῖον, καὶ προσεπιχέας ψιλὸν ὕδωρ, ἐάσας τε κατασταθῆναι, τὸ μὲν ἀπήθησον. ἕτερον δὲ ἐπίχεε ὕδωρ καὶ ταῖς χερσὶν ἀνατεράξας, πάλιν ἐάσας καταστῆναι ἀπήθησον. ἐναλλὰξ δὲ τοῖς προειρημένοις ποίει, ἕως ἂν καθαρὸν ἄγαν τὸ ἀπορρέον ὕδωρ καὶ γλυκὺ καὶ ἁλυκότητος ἀμέτοχον γένηται. ἔπειτα δὲ καταρράνας αὐτὴν εἰς λοπάδα κεραμέαν καινὴν, ἀπηθημένου παντὸς πρότερον τοῦ ὑγροῦ, θὲς ἐν ἡλίῳ ἡμέρας μ' ὑπὸ κύνα. καὶ ξηράνας χρῶ. δοκεῖ δὲ ἡ πεπλυμένη ἁρμόζειν μὲν εἰς τὰ ὀφθαλμικά. καὶ οὐλὰς ἀπρεπεῖς. καὶ ἐρρακωμένα πρόσωπα. καὶ ἄπλυτον ἐμπλαστοῖς.

## Περὶ ψιμμυθίου. κε ωξβ.

Ψιμμύθιον δὲ γίνεται οὕτως. εἰς πιθάκνην πλατύστομον ἢ εἰς κεραμέαν χύτραν, ἐγχέας δριμύτατον ὄξος, ἀπόρραψον μολιβδίνην πλίνθον περὶ τὸ στόμα τῆς κεραμέας. πρότερον ὑποκειμένου καλαμίνου ψιαθίου. ἀνωθέντι αὐτῇ ἐπίρριψον σκεπάσματα πρὸς τὸ μὴ διαπνεῖσθαι τὸ ὄξος. ὅταν διαλυθῇ καὶ συγκαταρρυεῖσα διαπέσῃ. καὶ τὸ μὲν ἐπιπολάζον ὑγρὸν καὶ καθαρὸν ἀπόθου. τὸ δὲ γλοιῶδες εἰς ἀγγεῖον ἐγχυτέον καὶ ξηραντέον ἐν ἡλίῳ. εἶτα ἀλεστέον ἐν χειρομύλῳ ἢ λεαντέον ἄλλως, καὶ σηστέον. καὶ μετὰ ταῦτα λοιπὸν τοῦ στερεμνίου λεπτοποιητέον καὶ σηστέον ἐναλλὰξ ἐπὶ τὰ αὐτὰ καὶ τρίτον καὶ τέταρτον ποιητέον. ἄμεινον δὲ ἐστὶ τὸ πρῶτον ἀποσηθέν. ὃ καὶ εἰς τὰς ὀφθαλμικὰς παραληπτέον δυνάμεις. δευτερεύει δὲ τὸ ἐχόμενον. καὶ κατὰ τάξιν τὰ λοιπά. τινὲς δὲ κατὰ μέσον τοῦ ἀγγείου κρεμῶσι ξύλον. καὶ ἐπὶ τὸ καλούμενον ῥυπαντι θέασιν ὡς μὴ ψαύειν τοῦ ὄξους. τὸ δὲ στόμα αὐτοῦ πωμάσαντες καὶ περιχρίσαντες ἐῶσι. καὶ δι' ἡμερῶν ἀφαιρέμενοι τὸ πῶμα ἐπισκοποῦνται. ὅτε δὲ διαλυθῇ, τὰ ἄλλα ποιοῦσιν ὁμοίως τοῖς προειρημένοις. εἰ δὲ ἀναπλάσαι τις αὐτὸ ἐθέλει, ἐξ ὄξους δριμέος φυρατέον. καὶ οὕτως ἀναπλαστέον. καὶ ξηραντέον ἐν ἡλίῳ. θέρους μέντοι ἐργαστέον τὰ προειρημένα. οὕτω γὰρ λευκόν τε καὶ εὐεργὲς γίνεται. σκευάζεται δὲ καὶ χειμῶνος ἐπὶ πιθακνῶν ὑπεράνω ἰπνῶν ἢ βαλανείων ἢ καμίνων τιθεμένων. ἡ γὰρ ἄνωθεν φερομένη θερμασία τὸ αὐτὸ δρᾷ τῷ ἡλίῳ. κάλλιστον δὲ ἡγητέον τὸ ἐν ῥόδῳ σκευασθὲν, ἢ ἐν κορίνθῳ, ἢ ἐν λακεδαίμονι. δευτερεύει δὲ τὸ ἐκ δικαιαρχίας. ὀπτητέον δὲ αὐτὸ τὸν τρόπον τοῦτον. ἐπ' ἀνθράκων πεπυρωμένων θεὶς ὄστρακον καινὸν καὶ μάλιστα ἀττικὸν, ἔμπασον λεῖον τὸ ψιμμύθιον. καὶ κίνει συνεχῶς. ὅταν δὲ τὴν χρόαν σποδοειδῆ

νεται, αὐτὸ λεῖον μὴ ψυχθὲν καὶ χρῶ. ἔστι δὲ αὐτοῦ καὶ ἄλλη καῦσις. εἰς καινὴν λοπάδα λεπτὴν ἀχρώδους. ἐπιθεὶς τε ὑπὸ τοὺς ἄνθρακας, κάρφει κίνει ἕως αὐτὴν χροιὰν εἰληφὸς σανδαράχῃ γένηται. καὶ ἀναλαμβάνων χρῶ. τὸ δὲ οὕτω σκευασθὲν, σανδὺξ ὑπό τινων λέγεται. πλύνεται δὲ τὸ ψιμύθιον ὁμοίως τῇ καδμείᾳ. δύναμιν δ' ἔχει ψυκτικήν. ἐμπλαστικήν. μαλακτικήν. πληρωτικήν. λεπτυντικήν. ἔτι τε πράως κατασταλτικὴν ὑπεροχῶν καὶ καθυλωτικήν. μίσγεται κηρωταῖς καὶ λιπαραῖς ἐμπλάστροις. καὶ τροχίσκοις. ἔστι δὲ καὶ τῶν ἀναιρετικῶν.

## Περὶ χρυσοκόλλης. κεʹ ωξγ.

Χρυσόκολλα δὲ διαφέρει ἡ ἀρμενιακή. τῇ χρόᾳ κατακόρως πρασίζουσα. δευτερεύει δὲ ἡ μακεδονική. εἶτα ἡ κυπρία. καὶ ταύτης, τὴν καθαρὰν προκριτέον. τὴν δὲ γῆς ἢ λίθων ἔμπλεων ἀποδοκιμαστέον. πλυτέον τε τὴν προειρημένην οὕτω. κόψας αὐτὴν ἔμβαλε εἰς θυΐαν. καὶ ἐπιχέας ὕδωρ τρίβε πλατείᾳ τῇ χειρὶ πρὸς τὴν ἴσην δύναμιν εὐτόνως. εἶτα ἐάσας ἀποκατασταθῆναι ἀπόθησον. καὶ ἕτερον ἐπιχέας ὕδωρ πάλιν τρίβε. ταῦτα δὲ ποίει ἐναλλὰξ ἕως καθαρὰ καὶ εἰλικρινὴς γένηται. λοιπὸν ξηράνας ἐν ἡλίῳ, ἀποτίθεσο καὶ χρῶ. ἐὰν δὲ καῦσαι θέλῃς κατὰ τὸν τρόπον τοῦτον. λειώσας αὐτῆς τὸ αὔταρκες, ἐπίθες εἰς τήγανον. καὶ ἀπόθου ἐπὶ ἀνθρακιάν. καὶ τὰ ἄλλα ποίει ὡς προείρηται ἐπὶ τοῦ πρὸ αὐτοῦ. δύναμιν δ' ἔχει ἡ χρυσόκολλα σμηκτικὴν οὐλῶν. κατασταλτικὴν σαρκωμάτων. καὶ ἀνακαθαρτικήν. συντηκτικήν τε καὶ θερμαντικήν. σηπτικὴν πράως μετὰ τοῦ ποσῶς δάκνειν. ἔστι δὲ καὶ τῶν ἐμετικῶν κινδυνωδῶς τε ἀναιρεῖν δυναμένων.

## Περὶ ἀρμενίου λίθου. κεʹ ωξδ.

Ἀρμένιον δὲ προκριτέον τὸ λεῖον καὶ τὸ χρώματι κυανοῦν. ὁμαλόν τε ἅμα καὶ ἄλιθον. εὔθρυπτόν τε. τὰ αὐτὰ ποιεῖ τῇ χρυσοκόλλῃ, πλὴν τὴν εὐτονίαν μόνον λειπόμενον αὐτῆς. ἔστι δὲ καὶ τῶν ἐν βλεφάροις τριχῶν αὐξητικόν.

## Περὶ κυανοῦ. κεʹ ωξε.

Κύανος δὲ γεννᾶται μὲν ἐν κύπρῳ ἐκ τῶν χαλκουργείων μετάλλων. ὁ δὲ πλείων ἐκ τῆς αἰγιαλίτιδος ἄμμου εὑρισκόμενος κατά τινας σπηλαιώδεις ὑποσκαφὰς τῆς θαλάσσης. ἥτις καὶ διαφέρει. προκριτέον δὲ τὴν σφόδρα κατακορῆ. καυστέον δὲ ὡς χαλκῖτιν. καὶ πλυτέον ὡς καδμείαν. δύναμιν δὲ ἔχει κατασταλτικὴν καὶ μετρίως σηπτικήν. ἐσχαρωτικήν τε καὶ ἑλκωματικήν.

## Περὶ ἰνδικοῦ λίθου. κεʹ ωξς.

Τοῦ δὲ λεγομένου ἰνδικοῦ, τὸ μὲν αὐτομάτως γίνεται. οἱονεὶ ἐκβλάστημα ὂν τῶν ἰνδικῶν καλάμων. τὸ δὲ, βαφικόν ἐστιν ἐπάνθισμα πορφυροῦν ἐπιπλέον τοῖς χαλκείοις. ὃ ἀποσύραντες ξηραίνουσιν οἱ τεχνῖται. ἄριστον δὲ ἡγητέον εἶναι τὸ κυανοειδές τε καὶ ἔγχυλον. λεῖον. ἔστι δὲ τῶν συμφερόντων ἐλαφρῶς τὰ ῥεύματα τῶν φλεγμονῶν καὶ οἰδημάτων. ἀνακαθαίρει δὲ καὶ καταστέλλει ἕλκη.

## Περὶ ὤχρας. κεʹ ωξζ.

Ὤχραν δὲ λειπτέον τὴν κουφοτάτην καὶ μηλίνην διόλου. κατακορῆ δὲ καὶ ἄλιθον καὶ εὔθρυπτον. ἀττικὴ δὲ τυγχάνει. καυστέον δὲ καὶ πλυτέον καὶ ταύτην ὡς τὴν καδμείαν. δύναμιν δ' ἔχει στυπτικήν. σηπτικήν. σκεδαστικὴν φλεγμονῶν καὶ φυμάτων. καταστέλλει τε τὰ ὑπερσαρκοῦντα. καὶ τὰ κοῖλα πληροῖ σὺν κηρωτῇ. καὶ πώρους θρύπτει.

## Περὶ κινναβάρεως. κεʹ ωξη.

Κιννάβαρι ἔδοξαν τινὲς τὸ αὐτὸ ὑπάρχειν τῷ καλουμένῳ ἀμμίῳ, πλανώμενοι. τὸ μὲν γὰρ ἄμμιον σκευάζεται ἐν ἰσπανίᾳ. ἐκ λίθου τινὸς μεμιγμένου τῇ ἀργυρίτιδι ψάμμῳ. ἄλλως δὲ οὐ γνώσκεται. κατὰ δὲ τὴν χώνην μεταβάλλει εἰς εὐανθέστατον καὶ φλο-

ωδέστατον χρῶμα. ἔχει δὲ τὴν ἀναφορὰν ἐν τοῖς μετάλλοις πνιγώδη. περιτίθενται γοῦν οἱ ἐπιχώριοι τοῖς προσώποις φύσας πρὸς τὸ βλέπειν μέν, μὴ σπᾶν δὲ τὸν ἀέρα. χρῶνται δὲ αὐτῷ οἱ ζωγράφοι εἰς τὰς πολυτελεῖς τῶν τοίχων ἐγκοσμήσεις. τὸ δὲ κιννάβαρι τοῦτο κομίζεται μὲν ἀπὸ Λιβύης. πιπράσκεται δὲ πολλοῦ, καὶ σπανίζει ἐστίν, ὡς μόλις ἐξαρκεῖν τοῖς ζωγράφοις εἰς τὴν ἐν ταῖς γραμμαῖς ποικιλίαν. ἔστι δὲ καὶ βαρύχρουν· ἢ βαθύχρουν· ὅθεν ἐνόμισάν τινες αὐτὸ εἶναι αἷμα δράκοντος. δύναμιν δὲ ἔχει τὸ κιννάβαρι τὴν αὐτὴν τῷ αἱματίτῃ, ἁρμόζον εἰς ὀφθαλμικά. πλὴν ἐπιτεταμένως. μᾶλλον γὰρ στύφον ἐστὶ καὶ ἴσχαιμον. καὶ πυρίκαυτα καὶ ἐξανθήματα ἀναληφθὲν κηρωτῇ θεραπεύει.

Περὶ ὑδραργύρου. κεφ. ωξθ.

Ὑδράργυρος δὲ σκευάζεται ἀπὸ τοῦ ἀμμίου λεγομένου, καταχρηστικῶς δὲ καὶ τούτου κιννάβαρεως λεγομένου. θέντες γὰρ ἐπὶ λοπάδος κεραμέας κόγχον σιδηροῦν ἔχοντα κιννάβαρι, περικαθαίρουσιν ἄμβικα περιαλείψαντες πηλῷ. εἶτα ὑποκαίουσιν ἄνθραξιν. ἡ γὰρ προσίζουσα τῷ ἄμβικι αἰθάλη ἀποξυσθεῖσα καὶ ἀποψυχθεῖσα, ὑδράργυρος γίνεται. εὑρίσκεται δὲ καὶ ἐν τοῖς μεταλλεύουσι τὸν ἄργυρον ἐν ταῖς στέγαις κατὰ σταλαγμοὺς συνεστῶσα. ἔνιοι δὲ ἱστοροῦσι καὶ καθ' αὑτὴν ἐν τοῖς μετάλλοις εὑρίσκεσθαι τὴν ὑδράργυρον. φυλάττεται δὲ ἐν ὑελίνοις ἢ μολιβδίνοις ἢ κασσιτερίνοις ἢ ἀργυροῖς ἀγγείοις. τὴν γὰρ ἄλλην ὕλην πᾶσαν διεσθίει καὶ ποιεῖ ἀπορρεῖν. δύναμιν δὲ ἔχει φθαρτικὴν ποθεῖσα. τῷ βάρει διαβιβρώσκουσα τὰ ἐντός. βοηθεῖται δὲ γάλακτι πλείονι πινομένῳ καὶ ἐξεμουμένῳ. ἢ οἴνῳ σὺν ἀψινθίῳ. ἢ ἀφεψήματι σελίνου. ἢ ὁρμίνου σπέρματι ἢ ὀριγάνῳ. ἢ ὑσσώπῳ σὺν οἴνῳ. ῥίνισμα δὲ χρυσοῦ, τουτέστι ξύσμα λεπτότατον πινόμενον, ὑδραργύρου ἐστὶ θαυμαστὸν βοήθημα.

Περὶ μίλτου σινωπικῆς. κεφ. ωο.

Μίλτος σινωπικὴ κρατίστη ἡ πυκνὴ καὶ βαρεῖα, ἡπατίζουσα, ἄλιθος, ὁμόχρους, πολύχυτος ἐν τῇ ἀνέσει. συλλέγεται δὲ ἐν τῇ Καππαδοκίᾳ ἐν σπηλαίοις τισί. διυλίζεται δὲ καὶ φέρεται εἰς Σινώπην καὶ πιπράσκεται. ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. δύναμιν δὲ ἔχει ξηραντικήν, ἐμπλαστικήν, στυπτικήν. διὸ καὶ ἐμπλάστροις τραυματικοῖς μίγνυται, καὶ τροχίσκοις ξηραντικοῖς καὶ στεγνωτικοῖς. ἵστησι δὲ καὶ κοιλίαν σὺν ᾠῷ λαμβανομένη καὶ ἐγκλυζομένη. δίδοται καὶ ἡπατικοῖς.

Περὶ τεκτονικῆς. κεφ. ωοα.

Ἡ δὲ τεκτονικὴ ἥττων ἐστὶ κατὰ πάντα τῆς σινωπικῆς. ἀρίστη δὲ ἡ αἰγυπτιακὴ καὶ ἡ καρχηδονική, ἄλιθος, εὐθρυβής. γεννᾶται καὶ ἐν τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ. καὶ ὤχρας καιομένης καὶ μεταβαλούσης εἰς μίλτον.

Περὶ λημνίας γῆς. κεφ. ωοβ.

Ἡ δὲ λημνία λεγομένη γῆ, ἔστιν ἔκ τινος ὑπονόμου ἀντρώδους ἀναφερομένη ἀπὸ Λήμνου τῆς νήσου, ἐχούσης ἑλώδη τόπον. κἀκεῖθεν ἐκλέγεται καὶ μίγνυται αἵματι αἰγείῳ, ἣν οἱ ἐκεῖ αὐτοὶ ἀναπλάσσοντες καὶ σφραγίζοντες εἰκόνι αἰγός, σφραγῖδα καλοῦσιν αἰγός. δύναμιν δὲ ἔχει ἀντίδοτον θανασίμων φαρμάκων ἐξόχως. πινομένη σὺν οἴνῳ. καὶ προληφθεῖσα ἐξεμεῖσθαι ἀναγκάζει τὰ δηλητήρια. ἁρμόζει δὲ καὶ πρὸς τὰς τῶν θανασίμων ἰοβόλων πληγὰς καὶ δήξεις. μίγνυται δὲ καὶ ἀντιδότοις. χρῶνται δέ τινες καὶ εἰς τελετὰς αὐτῇ. ἔστι δὲ καὶ δυσεντερίαις χρήσιμος.

Περὶ χαλκάνθου. κεφ. ωογ.

Χάλκανθον ἓν μὲν γένει ἐστὶ καὶ ταὐτὸν ὑπάρχει. ὑγρὸν γάρ ἐστι πεπηγός. εἰδικὰς δὲ ἔχει διαφορὰς τρεῖς. τὸ μὲν γὰρ κατὰ σταλαγμὸν ἠθουμένων ὑγρῶν ἔς τινας ὑπονόμους συνίσταται. ὅθεν καὶ σταλακτὶς καλεῖται ὑπὸ τῶν τὰ κυπριακὰ μέταλλα ἐργαζομένων. Πετήσιος δὲ αὐτὸ καλεῖ πινάριον. οἱ δέ, σταλακτικόν. πηκτόν. ἑφθόν.

σταλακτόν. λογχωτόν. τὸ δὲ ἁπλῶς ἐργαζόμενον ἐν σπηλαίοις, ἔπειτα μεταχεόμενον εἰς βόθρους τὴν πῆξιν λαμβάνει· ὃ δὴ καὶ πηκτὸν ἰδίως ὀνομάζεται. τὸ δὲ τρίτον καλεῖται μὲν ἑφθόν. σκευάζεται δὲ ἐν Ἰσπανίᾳ. σκευὴν δὲ ἔχει τοιαύτην· ἀχρηστότερον καὶ ἀσθενέστατον ὑπάρχον. ὕδατι δεύσαντες αὐτὸ ἕψουσιν. εἶτα εἰς τὰς δεξαμενὰς καταρράσσοντες, ἐῶσι. τοῦτο δὲ πήγνυται τεταγμέναις ἡμέραις. εἰς πολλὰ διαιρούμενον κυβοειδῆ σχήματα, βοτρυδὸν ἀλλήλοις συνεχόμενα. ἄριστον δὲ αὐτοῦ ἡγητέον τὸ κυάνεον καὶ βαρύ. πυκνόν τε καὶ διαυγὲς οἷον ἐστὶ τὸ σταλακτόν. ὑπὸ ἄλλων δὲ λογχωτὸν καλούμενον. ἐχόμενον δὲ τὸ πηκτόν. τὸ δὲ ἑφθὸν πρὸς μὲν βαφὰς καὶ μελάσματα, ἐπιτηδειότερον τῶν ἄλλων δοκεῖ εἶναι. πρὸς δὲ ἰατρικήν, ἀσθενέστερον ἐν πείρᾳ δείκνυσι. δύναται δὲ στύφειν. θερμαίνειν. ἐσχαροῦν. ἕλμινας πλατείας ἀναιρεῖν, δραχμῆς βάρος καταπινόμενον ἢ μετὰ μέλιτος ἐκλειχόμενον. ἐμέτους τε κινεῖ. καὶ μύκητας λαβοῦσι βοηθεῖ σὺν ὕδατι ποθέν. κεφαλήν τε καθαίρει ἐνθὲν ὕδατι. καὶ δι' ἐρίου ῥινεγχυτούμενον. καίεται δὲ ὡς ὑποδείξομεν αὐτίκα ἐπὶ τῆς χαλκίτεως.

## Περὶ χαλκίτιδος. ωοδ.

Χαλκῖτιν προκριτέον τὴν χαλκοειδῆ, εὔθρυπτον. ἀλίθωτόν τε καὶ οὐ παλαιάν. ἔτι δὲ τὰς ἴνας ἐπιμήκεις καὶ ἀποστιλβούσας ἔχουσαν. δύναμιν δὲ ἔχει ῥυπτικήν τε καὶ θερμαντικήν. καὶ ἐσχαρωτικήν. ἀποκαθαρτικὴν τῶν περὶ κανθοὺς καὶ ὄμματα. ἔστι δὲ καὶ τῶν μετρίως σηπόντων. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα, ἕρποντας. αἱμορραγίας. τὰς δὲ ὑστέρας καὶ μυκτήρων σὺν πράσου χυλῷ. ξηρὰ δὲ πρός τε ἐπουλίδας καὶ νομὰς τὰ περὶ-θμια. κεκαυμένη δὲ πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον χρησιμεύει λεία σὺν μέλιτι. πεπυλωμένα μὲν βλέφαρα καὶ τραχέα ἀποτήκει καὶ σμήχει. συνέλκεται δὲ αἴρει ἐν κολλουρίου σχήματι ἐντιθεμένη.

## Περὶ ψωρικοῦ. ωοε.

Σκευάζεται δὲ ἐξ αὐτῆς τὸ καλούμενον ψωρικόν. διπλασίονος χαλκίτεως πρὸς ἁπλῆν καδμείαν μισγομένου. τῆς σὺν ὄξει λειουμένου. δεῖ δὲ ἐν κεραμέῳ ἀγγείῳ κατορύσσειν ἐν κοπρίᾳ ἐν ταῖς ὑπὸ κύνα καύμασιν ἡμέρας μ΄. γίνεται δὲ δριμύτερον. δυνάμενον ὅσα καὶ ἡ χαλκῖτις. ἔνιοι δὲ ἴσον μίξαντες οἴνῳ λεαίνουσι καὶ τὰ αὐτὰ ποιοῦσι. καυστέον δὲ αὐτὴν ἐν ὀστρακίνῳ καινῷ ἐντιθέντας, καὶ διαπύροις ἄνθραξιν ἀπερεισαμένους. μέτρον δὲ ἔστω τῆς καύσεως, ἐπὶ μὲν τῶν πολυύγρων τὸ ἀπομφολυγῶσαι καὶ καλῶς ξηρὸν γενέσθαι. ἐπὶ δὲ τῶν λοιπῶν ἕως ἐπὶ τὸ εὐανθέστερον μεταβεβλήκοτα ἐξαιματοειδὴς καὶ μιλτώδης γένηται τὴν χρόαν κατὰ βάθος, ἀναιρετέον αὐτήν. τήν τε προσκαθημένην ἀκαθαρσίαν ἀποφυσητέον τε ἀποθετέον. ὀπτᾶται δὲ ἐπὶ ἀνθρακιαῖς ἐμφυσωμένων, μέχρι τοῦ πυρωπὸν αὐτὴν γενέσθαι. ἢ ὑπὸ ὄστρακα ἐπὶ διαπύρων ἀνθράκων στρεφομένη πυκνῶς, ἕως ἂν πυρωθεῖσα μεταβάλλῃ τὴν χρόαν.

## Περὶ μίσυος. ωοϛ.

Μίσυ δὲ προκριτέον τὸ κύπριον. χρυσοφανές. σκληρόν. ἐν τῷ θραύεσθαι χρυσίζον, τε ἀποστίλβον ἀστεροειδῶς. δύναμιν δὲ ἔχει τε καὶ καῦσιν τὴν αὐτὴν τῇ χαλκίτιδι, δίχα τοῦ ψωρικοῦ κατασκευῆς. ἐν τοῖς μαλάγμασί τε ἧττον διαφέρει. τὸ δὲ αἰγύπτιον, προέχει μὲν τὰ ἄλλα, διαφέρει ἐμπρακτικώτερον ὄν. πρὸς δὲ τὰς ὀφθαλμικὰς δυνάμεις, πολλῷ λείπεται τοῦ προειρημένου.

## Περὶ μελαντηρίας. ωοζ.

Τῆς δὲ μελαντηρίας, ἡ μέν τις οἷον τῶν ὀρυγμάτων στομίοις ἀφ' ὧν ἂν μέταλλον ᾗ χαλκοῦ ἐπιπήγνυται ἁλμυρώδους τρόπον. ἡ δὲ, ἐκ τῶν ἀνωτέρω φανέντος τῶν προειρημένων τόπων. ἥτις καὶ γεώδης ἐστίν. εὑρίσκεται δέ τις καὶ ὀρυκτὴ ἐν Κιλικίᾳ καὶ ἐν ἄλλοις τι-

ἐν τόποις. διαφέρει δὲ αὐτῆς ἡ θειώδης λεία, ὁμαλή, καθαρά, καὶ ἐν τῷ θιγγάνειν ὕδατος μελαινομένη ταχέως. δύναμιν δὲ ἔχει καυστικὴν τὴν αὐτὴν τῷ μίσυι.

### Περὶ σώρεως. ωοη.

Τὸ δὲ σῶρυ ἔνιοι ὑπέλαβον μελαντηρίας εἶναι γένος, πλανώμενοι· ἴδιον γάρ ἐστι γένος, οὐκ ἀφόμοιον. βρωμωδέστερον δὲ τὸ σῶρυ καὶ ναυτίας κινητικόν. εὑρίσκεται δὲ ἐν Αἰγύπτῳ καὶ ἐν ἄλλοις δὲ τόποις, ὡς ἐν Λιβύῃ καὶ Ἰσπανίᾳ καὶ Κύπρῳ. προκριτέον δὲ τὸ Αἰγύπτιον, καὶ ἐν τῷ θραυσθῆναι μελάντερον φαινόμενον, κατὰ διαστάσεις τε πολλὰς ἔχον καὶ ὑπολίπαρον. ἔτι δὲ στῦφον. καὶ πρὸς τὴν κατάποσιν καὶ ὄσφρησιν βρωμῶδες καὶ ἀναστρεπτικὸν στομάχου. τὸ δὲ μὴ λαμπυρίζον ἐν τῷ θραυσθῆναι ἐμφερῶς μίσυι, ἐπὶ προσγενέστερα ἀθετέον, ὡς ἧττον εἶναι. δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τοῖς προειρημένοις. ἰᾶται δὲ καὶ ὀδονταλγίας ἐντιθέμενον εἰς τὰ βρώματα καὶ τοὺς ὑποσάλους δὲ ὀδόντας κρατύνει. καὶ ἰσχιαδικοῖς βοηθεῖ μετ' οἴνου ἐγκλυζόμενον. ἰόνθους τε σβέννυσι μεθ' ὕδατος καταχρισθέν. μίσγεται δὲ καὶ εἰς τριχῶν μελάσματα. κοινῶς δὲ ἐπὶ πάντων ἐστὶ τοῦτον σχεδὸν καὶ τῶν ἀγωνισάντων, δυναμικώτερα τὰ ἄκαυστα τῶν κεκαυμένων, ἧττον πλὴν ἁλῶν καὶ τρυγὸς καὶ νίτρου καὶ τιτάνου καὶ τῶν ὁμοίων. ὅσα ὠμὰ ὄντα ἀσθενῆ, καιόμενα παρὰ τὴν δύναμιν ἐμπρακτότερα γίνεται.

### Περὶ διφρυγοῦς. ωοθ.

Τοῦ δὲ διφρυγοῦς τρία ἡγητέον εἴδη. τὸ μὲν γάρ μεταλλικόν ἐστιν, ὃ δὴ ἐν Κύπρῳ μόνῃ γίνεται. πηλῶδες γὰρ ὂν ἀναφέρεται ἐκ πηλοῦ τινος τῶν ἐκεῖ τόπων. εἶτα ἀνενεχθὲν ξηραίνεται ἐν ἡλίῳ καὶ μετὰ ταῦτα φρυγάνοις κύκλῳ περιτιθεμένοις καίεται. ὅθεν καὶ διφρυγὲς ἐκλήθη διὰ τὸ ὑπὸ ἡλίου καὶ τῶν φρυγάνων καίεσθαι, καὶ ξηροπιεῖσθαι, καὶ οἱονεὶ φρύγεσθαι. τὸ δὲ ἕτερον τοῦ κατεργαζομένου χαλκοῦ ὥσπερ ὑπόσταθμη τίς καὶ τρὺξ ὑπάρχει. μετὰ γὰρ τὴν τοῦ ψυχροῦ ὕδατος περίχυσιν, ὡς ἀνωτέρω ἔφαμεν περὶ ἄνθους χαλκοῦ διαλεγόμενοι, μετὰ τὴν ἀναίρεσιν τοῦ χαλκοῦ εὑρίσκεται ἐν τῇ χώνῃ ἐγκείμενον τῷ πυθμένι αὐτῆς τὸ τοιοῦτον εἶδος, τήν τε στύψιν καὶ τὴν γεῦσιν χαλκοῦ ἔχον. τὸ δὲ τρίτον σκευάζεται οὕτω. λίθον τὸν λεγόμενον πυρίτην συνθέντες εἰς κάμινον οἱ πρὸς τούτοις ὄντες, καίουσιν ἐπὶ ἡμέρας ἱκανὰς ὡς τίτανον. ὅταν δὲ ἐκ χρόας μιλτώδης γένηται, ἀνελόμενοι ἀποτίθενται. τινὲς δέ φασιν ἐκ μόνης αὐτῆς τὸν χαλκοῦ λίθον ἀποπλυνομένης, γίνεσθαι τὸ προειρημένον. ὅταν ὀπτηθῶσιν ἐν ταῖς λεγομέναις ἅλωσιν, ἀνομετεχεῖ εἰς τοὺς βόθρους καὶ ἐνταῦθα καίεται. γῆ τε γὰρ κυκλοτερὴς τὸν βόθρον περιλαμβάνει. καὶ μετὰ τὴν ἀναίρεσιν τῶν λίθων οὐδὲν ἴσον εὑρίσκεται. προκριτέον δὲ τοῦτο τὸ τῇ γεύσει ἔχον χαλκὸν ἰῶζον, στῦφόν τε καὶ ἀναξηραῖνον ἱκανῶς τὴν γλῶσσαν. ὅπερ ἡ κεκαυμένη ὤχρα οὐκ ἐκτῆται. ἣν δὴ καίοντες ἀντὶ διφρυγοῦς πιπράσκουσι. δύναμιν δὲ ἔχει στυπτικήν τε καὶ ἀνακαθαρτικὴν τῶν τεταμένων, σμηκτικήν τε καὶ ξηραντικὴν καὶ κατασταλτικὴν ὑπερσαρκώσεως, ἀπουλωτικὴν κακοηθῶν καὶ ἑρπυστικῶν. διαφορεῖ καὶ ἀποστήματα ἀναληφθὲν τερεβινθίνῃ ἢ κηρωτῇ.

### Περὶ ἀρσενικοῦ. ωπ.

Ἀρσενικὸν κατὰ τὰ αὐτὰ γεννᾶται μέταλλα τῇ σανδαράχῃ. ἄριστον δὲ ἡγητέον τὸ πλακῶδες καὶ χρυσίζον τῇ χρόᾳ, τάς τε πλάκας λεπιζομένας ἔχον ὡς ἀεὶ ἐπικειμένας ἀλλήλαις. ἔστι δὲ ἀμιγὲς ἑτέρας φύσεως. τοιοῦτον δέ ἐστι τὸ γεννώμενον ἐν Μυσίᾳ τῇ ἐν Ἑλλησπόντῳ. ἔστι δὲ αὐτοῦ δύο εἴδη. τὸ μὲν ἕν, οἷον προείρηται, τὸ δὲ ἄλλο βαλανοειδὲς καὶ ὀχροειδὲς καὶ σανδαραχίζον τῇ χρόᾳ καὶ βωλοειδές, ἐκ Πόντου καὶ Καππαδοκίας φερόμενον.

φερόμενον. διαπυροῦται δὲ τὸ χρυσοῦν τοῦτο. ὀπτᾶται δὲ οὕτως. ἐπὶ ὄστρακον καινὸν ἐπιτιθέμενον αὐτὸ θὲς ἐπὶ διαπύρου ἀνθρακος καὶ στρέφε συνεχῶς. ὅταν δὲ πυρωθῇ καὶ μεταβάλῃ, ψύξας καὶ λειώσας ἀπόθου. δύναμιν δὲ ἔχει σηπτικήν τε καὶ στυπτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πυρώσεως καὶ βιαίας δήξεως. ἔστι δὲ καὶ τῶν στελλόντων. ψιλοῖ δὲ τρίχας.

Περὶ σανδαράχης. ω πα.

Σανδαράχην δὲ προκριτέον τὴν κατακορῆ, πυρρὰν, ἄθραυστον, εὐλείαντόν τε καὶ καθαρὰν, κινναβαρίζουσαν τὴν χρόαν, ἔτι δὲ θειώδη ἀποφορὰν ἔχουσαν. δύναμιν δὲ ἔχει καὶ ὄπτησιν τὴν αὐτὴν τῷ ἀρσενικῷ. θεραπεύει δὲ καὶ ἀλωπεκίας ἀναληφθεῖσα ῥητίνῃ· καὶ λεπροὺς ὄνυχας σὺν πίσσῃ ἀφίστησι· καὶ πρὸς φθειριάσεις σὺν ἐλαίῳ ποιεῖ. φύματά τε σὺν στέατι διαφορεῖ· ἁρμόζει δὲ καὶ πρὸς τὰ ἐν ῥινὶ καὶ στόμασιν ἕλκη· καὶ πρὸς τὰ λοιπὰ ἐξανθήματα σὺν ῥοδίνῳ· καὶ πρὸς κονδυλώματα. δίδοται δὲ ἐμπυϊκοῖς σὺν οἰνομέλιτι. καὶ ὑποθυμιᾶται σὺν ῥητίνῃ πρὸς παλαιὰς βῆχας, διὰ σίφωνος ἑλκομένης τῆς ἀτμίδος τῷ στόματι. φωνήν τε ἀνακαθαίρει ἐκλειχομένη σὺν μέλιτι. καὶ ἀσθματικοῖς σὺν ῥητίνῃ καταπότιον ἀρίστη δίδοται.

Περὶ στυπτηρίας. ω πβ.

Στυπτηρίας δὲ σχεδὸν πᾶν εἶδος, ἐν τοῖς αὐτοῖς ἐν τῇ Αἰγύπτῳ μετάλλοις εὑρίσκεται. ἔστι δὲ καὶ σχιστοειδὴς τῆς βολιτώδους αὐτῆς. γεννᾶται δὲ καὶ ἐν ἄλλοις πολλοῖς τόποις. ἐν Μήλῳ. ἐν Μακεδονίᾳ. ἐν Λιπάραις καὶ Σαρδονίᾳ καὶ Ἱεραπόλει τῆς Φρυγίας. Λιβύῃ. Ἀρμενίᾳ. καὶ ἐν ἄλλοις δὲ τόποις πλείοσιν ὥσπερ ἡ μίλτος. ἔστι δὲ αὐτῆς εἴδη πλείονα. πρὸς δὲ ἰατρικὴν χρῆσιν λαμβάνεται ἡ σχιστή τε καὶ ἡ στρογγύλη καὶ ἡ ὑγρά. ἀρίστη δὲ ὑπάρχει ἡ σχιστή, καὶ ταύτης ἡ πρόσφατος καὶ λευκὴ ἄγαν καὶ ἄλιθος, στύφουσά τε ἰσχυρῶς, ἔτι τε οὐ πεπιεσμένη βωληδὸν ἢ πλακηδὸν, ἀλλ' ἐξανθισμένη κατὰ μονάδας τριχῶν ἐμφερῶς, οἵα ἐστὶν ἡ λεγομένη τριχῖτις. γινομένη δὲ ἐν Αἰγύπτῳ. εὑρίσκεται δὲ καὶ λίθος ἐμφερὴς αὐτῇ, ἀλλ' ὃν διακριτέον τῷ τῆς γεύσεως κριτηρίῳ μὴ στύφοντα. τῆς δὲ στρογγύλης ἡ χειροποίητος ἀδόκιμος ὑπάρχει· γνωρίζεται δὲ ἐκ τοῦ σχήματος. παραληπτέα δ' ἂν εἴη ἡ φυσικὴ στρογγύλη καὶ πομφολυγώδης, ὑπόλευκός τε καὶ στύφουσα ἐρρωμένως, ἔτι δὲ ποσὴν ὠχρότητα ἅμα καὶ λιπαρότητα ἔχουσα· πρὸς δὲ τούτοις ἄλιθός τε καὶ εὔθρυπτος. καὶ γίνεται μηλία ἢ αἰγυπτία. τῆς δὲ ὑγρᾶς τὴν μάλιστα διαφανῆ προκριτέον, καὶ γαλακτώδη, ὁμαλήν τε καὶ διόλου χυλώδη, ἔτι δὲ ἄλιθον καὶ πυρώδες ἀποπνέουσαν. δύναμιν δὲ ἔχουσι θερμαντικήν, στυπτικήν, ἀποθεραπευτικήν, ἀνακαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις. τήκουσι δὲ καὶ τὰς ἐπὶ τῶν βλεφάρων σάρκας καὶ τὰ ἄλλα ὑπερσαρκώματα. ἐνεργεστέρα δὲ τῆς στρογγύλης ἡ σχιστή ἐστιν. καίονται δὲ καὶ ὀπτῶνται ὡς χαλκῖτις. ἴσχουσι δὲ καὶ σηπεδόνας. αἱμορραγίας. οὖλα πλαδῶντα στέλλουσι. καὶ ὀδόντας σειομένους κρατύνουσι σὺν ὄξει ἢ μέλιτι. ἄφθας δὲ ὠφελεῖ σὺν μέλιτι. καὶ ἐξανθήματα καὶ ῥεύματα τὰ ἐν ὠσὶ σὺν πολυγόνου χυλῷ. λέπραις δὲ ἁρμόζουσι σὺν κράμβης φύλλοις, ἢ σὺν μέλιτι ἑψηθεῖσαι καὶ κνησμοῖς. ὄνυξί τε λεπροῖς καὶ πτερυγίοις καὶ χιμέθλοις σὺν ὕδατι καταιονούμεναι. σὺν τρυγὶ δὲ ὄξους καταχριόμεναι μετὰ κηκίδος ἴσης κεκαυμένης πρὸς φαγεδαινικά. πρὸς δὲ νομὰς σὺν ἁλὶ διπλασίοις. πιτυριάσεις δὲ σὺν ὀρόβῳ καὶ πίσσῃ σμήχουσι καταχριόμεναι. κονίδων τε καὶ φθειρῶν καὶ πυρικαύτων σὺν ὕδατι καταχριόμεναι, βοήθημα. οἰδήμασί τε καὶ μασχαλῶν καὶ βουβώνων δυσωδίαις καταχρίεται. ἡ δὲ μηλία καὶ πρὸς ἀσυλληψίαν συνεργεῖ, πρὸ τῆς συνόδου περιτιθεμένη τῷ στόματι τῆς ὑστέρας. καὶ ἔμβρυα ἐκτιτρώσκει.

ἐμπυλίσαντι τῇ σταφυλῇ καὶ παρισθμίοις ἐπιτήδειοι. καὶ στόμασι καὶ πρὸς ὦτα καὶ αἰδοῖα, σὺν μέλιτι ἐπιχρισθεῖσι.

## Περὶ θείου. ωπγ.

Θεῖον δὲ ἄριστον ἡγητέον, τὸ ἄπυρον καὶ λαμπυρίζον τὴν χρόαν. διαφανές τε καὶ ἄλιθον. τὸ δὲ πεπυρωμένον, τὸ χλωρόν τε καὶ ὑπολιπές. γίνεται δὲ πλεῖστον ἐν Μήλῳ καὶ Λιπάρᾳ. θερμαίνει δὲ τὸ προειρημένον καὶ διαφορεῖ καὶ πέσσει ταχέως. βήχας τε καὶ ἐμπύους καὶ ἀσθματικοὺς ὠφελεῖ ἐν ᾠῷ λαμβανόμενον καὶ ὑποθυμιώμενον. πρὸς δὲ τούτοις ἔμβρυα κατασπᾷ ὑποθυμιαθέν. καὶ λέπρας. ἔτι δὲ λειχῆνας καὶ ὄνυχας λεπρούς, αἴρει τερεβινθίνῃ μιχθὲν ῥητίνῃ. σὺν ὄξει δὲ καταχριόμενον, ποιεῖ μὲν καὶ πρὸς λέπρας. αἴρει δὲ καὶ ἀλφούς. ἰᾶται καὶ σκορπίων πληγὰς μιχθὲν ῥητίνῃ. σὺν ὄξει δὲ καὶ δρακοντίου θαλασσίου καὶ σκορπίου πληγὴν ἰᾶται· πάσσεται καὶ τοῖς καθόλου τὸ σῶμα κνησμοῦσι σὺν νίτρῳ συμμισγόμενον. ἀποκαθαίρει δὲ καὶ ἴκτερον. κοχλιαρίου πλῆθος ἐπιπασσόμενον ᾠῷ μετὰ τοῦτο. ἢ μετὰ ᾠοῦ ῥοφητοῦ λαμβανόμενον. καὶ πρὸς κόρυζαν δὲ καὶ κατάρρουν ποιεῖ. καὶ ἱδρῶτας στέλλει καταπασσόμενον, καὶ ποδαγρικοῖς σὺν νίτρῳ καὶ ὕδατι καταχρισθὲν συμβάλλεται. καὶ δυσηκοΐαν ὑποθυμιώμενον διὰ σίφωνος θεραπεύει. καὶ ληθαργικοὺς ὑποθυμιώμενον. αἱμορραγίας τε ἴσχει. θλάσεις τε ὤτων σὺν οἴνῳ καὶ σμύρνῃ καταχριόμενον ἰᾶται.

## Περὶ κισσήρεως. ωπδ.

Κίσσηριν δὲ προκριτέον τὴν ἄγαν κούφην, καὶ πολύκενον, σχιστήν τε καὶ ἄλιθον. ἔτι δὲ ψαθυράν τε καὶ λευκήν. καυστέον δὲ οὕτω. λαβὼν αὐτῆς ὅσον ἂν θέλῃς, διαπύροις ἔγκρυψον ἄνθραξιν. ὡς δ' ἂν ἐκπυρωθῇ, ἀνελόμενος σβέσον οἴνῳ εὐώδει. καὶ πάλιν πυρώσας, σβέσον. τὸ δὲ τρίτον ἀνελόμενος αὐτὴν καθ' αὑτήν, ἔα ψυγῆναι. καὶ ἀποθέμενος χρῶ. δύναμιν δὲ ἔχει στυπτικήν τε καὶ σμηκτικὴν ἑλκῶν. ἀνακαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις μετὰ τοῦ θερμαίνειν. ἑλκῶν τε πληρωτικὴν καὶ κατουλωτικήν. ἔτι δὲ καὶ κατασταλτικὴν ὑπεροχῶν. καὶ σμηκτικὴν ὀδόντων λεία. καὶ ἐσχαρωτικὴν σώματος. καὶ εἰς ψίλωσιν τριχῶν ἐπιτήδειον. Θεόφραστος δὲ ἱστορεῖ. ἐὰν εἰς ζέοντα πίθον οἴνου καθῇ τὴν κίσσηριν, παύεσθαι παραχρῆμα τὴν ζέσιν τοῦ οἴνου.

## Περὶ ἁλῶν. ωπε.

Τῶν δὲ ἁλῶν ἐνεργέστεροι μέν εἰσι τὸ ὀρυκτόν. τούτου δὲ κοινῶς μὲν τὸ ἄλιθον καὶ λευκὸν καὶ διαφανές. πυκνόν τε καὶ ὁμαλὸν τῇ συγκρίσει ἰδίως. δὲ τὸ ἀμμωνιακὸν τῷ γένει. εὔσχιστόν τε καὶ εὐθείας τὰς διαφύσεις ἔχον. τοῦ δὲ θαλασσίου τὸ πυκνὸν προαιρετέον καὶ λευκὸν καὶ ὁμαλόν. κάλλιστον δὲ ἐν Κύπρῳ. καὶ Κύπρου τῇ Σαλαμῖνι γίνεται καὶ Μεγάροις. καὶ ἐν Σικελίᾳ καὶ Λιβύῃ. ἐν τοῖς λιμναίοις δὲ καὶ τὰ λημναῖα προκριτέον. οὐ τοιοῦτον δ' αὐτοῦ ἐστι τὸ Φρύγιον. καλούμενον δὲ τάττεον, ἢ ζιτταῖον, ἢ γανταῖον. δύναμιν δὲ ἔχουσιν οἱ προειρημένοι ἅλες κοινῶς πολύχρηστον. στυπτικήν τε καὶ σμηκτικήν. καὶ ἀποκαθαρτικὴν καὶ διαχυτικήν. ἔτι δὲ κατασταλτικὴν καὶ ἰσχνωτικήν. καὶ ἐσχαρωτικήν. τῷ μᾶλλον καὶ ἧττον διαφέροντες. εἰσὶ δὲ καὶ σηπεδόνων ἐφεκτικοί. καὶ σμήχουσι ψωρικοὺς μιγνύμενοι. στέλλουσι καὶ τὰς ἐν ὀφθαλμοῖς ὑπεροχάς. καὶ πτερύγια τήκουσι. καὶ τὰς ἄλλας δὲ ὑπερσαρκώσεις αἴρουσι. καὶ κλυσμοῖς εὔθετοι. καὶ κόπων λυτήριοι σὺν ἐλαίῳ χριόμενοι. καὶ πρὸς τὰ οἰδήματα τῶν ὑδρωπικῶν. πυρίαι τε διὰ τῶν ἐν σακκίοις πραϋντικαὶ ἀλγημάτων. καὶ κνησμοὺς δὲ παύουσι μετ' ἐλαίου καὶ ὄξους συγχριόμενοι παρὰ πυρὶ ἄχρις ἂν ἱδρώσωσι. ὁμοίως καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας. συναγχικούς τε κουφίζουσι σὺν μέλιτι καὶ ὄξει καὶ ἐλαίῳ διαχριόμενοι. πρὸς δὲ παρίσθμια καὶ κιονίδας σὺν μέλιτι ὀπτοὶ καὶ ἄφθας καὶ οὔλων πλαδῶν καὶ πρὸς φα-

γεδαίνας

γαγγραίνας σὺν ἀλφίτῳ κεκαυμένοι καταπλασσόμενοι. πρὸς δὲ σκορπίων πληγὰς σὺν λινοσπέρμῳ. πρὸς δὲ ὄφεων δήγματα σὺν ὀριγάνῳ καὶ μέλιτι καὶ ὑσσώπῳ. πρὸς δὲ κεράστου μετὰ πίσσης ἢ κέδρου ἢ μέλιτος. πρὸς δὲ σκολοπένδρας δῆγμα σὺν μέλιτι καὶ ὄξει. πρὸς δὲ σφηκῶν πληγὰς τερεβινθώνῃ(?) καὶ πρὸς ψυδράκια τὰ ἐν κεφαλῇ. θύμοις τε καὶ φύμασι σὺν στέατι μοσχείῳ ἀναληφθέντες. σὺν σταφίδι δὲ ἢ στέατι ὑείῳ ἢ μέλιτι, δοθιῆνας διαφοροῦσι. καὶ ὄρχεων οἰδήματα. σὺν ὀριγάνῳ καὶ ζύμῃ θηρίων ἐπινεμομένοις(?) τε. καὶ κροκοδειλοδήκτοις βοηθοῦσιν. ἐνδεθέντων εἰς ὀθόνιον λείοι καὶ βαπτόμενοι εἰς ὄξος συμφορώμενοι τῶν μερῶν τοῖς ἐνδέσμοις. θηρεολήκτοις τε βοηθοῦσι. καὶ πρὸς ὑπώπια προσώπου σὺν μέλιτι. καὶ πρὸς ὄπιον μήκωνος πόσιν. καὶ πρὸς μύκητας σὺν ὀξυμέλιτι πινόμενοι. πρός τε ἐκρήγματα(?) σὺν ἀλεύρῳ καὶ μέλιτι. πρὸς πυρίκαυτα δὲ σὺν ἐλαίῳ ἐπιτιθέντες οὐκ ἐῶσι φλυκταινοῦσθαι. ποδαγρικοῖς τε ὁμοίως ἐπιτίθενται. πρὸς ὠταλγίαν τε σὺν ὄξει. ἐρυσιπέλατά τε καὶ ἕρπητας ἴσχουσι μετὰ ὄξους καταχρισθέντων ἢ καταπλασθέντων σὺν ὑσσώπῳ. καυστέον δὲ αὐτοὺς εἰς ὀστράκινον ἀγγεῖον ἐμβαλόντας καὶ ἐπιμελῶς πωμάσαντας ἵνα μὴ διαλλαγῶσι. ἀνθρακιᾷ τε ἐγκρύψαντας ἄχρις ἐκπυρώσεως. τινὲς δὲ τοὺς ὀρυκτοὺς σταιτὶ περιπλάσαντες, εἰς ἄνθρακας ὑποτιθέντες, ἐῶσιν ἄχρις ἂν τὸ σταῖς καταπεκαῇ(?). τινὲς δὲ καὶ τοὺς κοινοὺς ἅλας τὸν τρόπον τοῦτον. καὶ δὴ ἀποκλύσας αὐτοὺς ἅπαξ ὕδατι, ἐάσας ξηρανθῆναι, ἔμβαλε εἰς χύτραν καὶ πωμάσας ὑπόκαιε, κινῶν ἕως ἂν μηκέτι διαλλαγῶσι.

### Περὶ ἄχνης ἁλός.

ωπϛ.

Ἁλὸς ἄχνη. ἡ ἐπιψηγματοῦσά ἐστιν ἁλὸς ἀφρώδης. εὑρισκομένη ἐπὶ τῶν πετριδίων. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς ἁλσίν.

### Περὶ ἅλμης.

ωπζ.

Ἅλμη. τὴν αὐτὴν τοῖς ἁλσὶν ἔχει ἐνέργειαν. σμηκτικήν. δυσεντερικοῖς τε ἐστὶ τοῖς κατὰ νομὴν ἔγκλυσμα. καὶ ἰσχιαδικοῖς χρονίοις. πρός τε καταντλήσεις ἁρμόζει. ἐφ' ὧν θαλάττης ἐστὶ χρησίμη.

### Περὶ ἄνθους ἁλός.

ωπη.

Ἁλὸς δὲ ἄνθος, καταρρεῖ μὲν διὰ τοῦ Νείλου ποταμοῦ. ἐφίσταται δὲ λίμναις τισί. προσληπτέον δὲ τὸ κροκίζον τῇ χρόᾳ ὑποδυσωδέστερον, ὥσπερ γάρος. ἐνίοτε δὲ καὶ δυσωδέστερον μᾶλλον καὶ τῇ γεύσει δηκτικώτερον καὶ ὑπολίπαρον. τὸ δὲ ἐμμιλτοῦν ἢ θρόμβους ἔχον, φαῦλον ἡγητέον. ἔτι τὸ ἀκέραιον ἐλαίῳ συνανίεται μόνῳ. τὸ δὲ δολούμενον, δὲ ἐκ μέρους καὶ ὕδατι. ποιεῖ δὲ πρός τε τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη, καὶ νομὰς τὰς ἐν αἰδοίοις. καὶ ὦτα πυορροοῦντα. καὶ ἀμβλυωπίας καὶ τὰς οὐλὰς μετὰ καὶ λευκώματα. μίγνυνται καὶ ἐμπλάστροις καὶ μύροις εἰς χρῶσιν ὡς καὶ τῷ ῥοδίνῳ. ἔστι δὲ καὶ ἱδρώτων κινητικόν. κοιλίας ταρακτικόν. σὺν οἴνῳ καὶ ὕδατι ληφθέν. κακοστόμαχον. μίγνυνται καὶ ἀκόποις καὶ σμήγμασι πρὸς τριχῶν λευκασμόν. καὶ καθόλου ἐστὶ δριμύ. πυρωτικὸν ὡς καὶ οἱ ἅλες.

### Περὶ νίτρου.

ωπθ.

Νίτρον. προκριτέον τὸ κοῦφον. καὶ ῥοδωπὸν ἢ λευκὸν τὴν χρόαν, κατατετρημένον. οἱονεὶ σπογγῶδές τι. τοιοῦτον δέ ἐστι τὸ ἐκ τῶν βενῶν(?). δύναμιν δὲ ἔχει μετασυγκριτικήν.

### Περὶ ἀφροῦ νίτρου.

ωϟ.

Ἀφρὸς δὲ νίτρου, ἄριστος μὲν εἶναι δοκεῖ ὁ κουφότατος καὶ πλακώδης. εὔθρυπτός τε καὶ ἐμπόρφυρος ἢ ἀφρώδης. ἔτι δὲ δηκτικός. οἷός ἐστιν ὁ ἐκ Φιλαδελφίας κομιζόμενος τῆς ἐν Λυδίᾳ. δευτερεύει δὲ ὁ αἰγύπτιος. γίνεται δὲ καὶ ἐν Μαγνησίᾳ τῆς Καρίας. δύναμιν δὲ ἔχει καὶ καῦσιν οὗτος τε καὶ τὸ νίτρον ἅλσιν ἐμφερῆ. πρὸς ἰοὺς δὲ τὸ νίτρον καὶ

στρόφους πινομένη· λεανθὲν μετὰ κυμίνου καὶ ποθὲν μετὰ ὑδρομέλιτος ἢ μετὰ ἑψήμα-
τος, ἤ τινος τῶν διαφορεῖν δυναμένων πνεύματα, οἷον πηγάνου ἢ ἀνήθου. ἔστι δὲ καὶ περιοδι-
κῶν σύγχρισμα πρὸς τὰ ὑπὸ τὴν προσβολήν. μίσγεται καὶ διαφορητικαῖς καὶ τῶν ἀπο-
σικαῖς τε λεπρικαῖς ἐμπλάστροις τε λεπτυντικαῖς. σὺν ὕδατι δὲ θερμῷ ἢ οἴνῳ ἐγχεόμε-
νον ἐμπνευματώσεις τὰς ἐν κύστει οὕτως ἰᾶται καὶ πυορροίας. καθαίρει δὲ καὶ ῥύπον σὺν ὄξει
ἐγχεόμενον. κνησμοὺς δὲ ἰᾶται σὺν στέατι ὀνείῳ ἢ ὑείῳ. ἀνασπᾷ μὲν δὲ ἀπὸ θηλειῶν ἀναληφθὲν
τερμινθίνῃ ῥητίνῃ. μετὰ σύκων δὲ ὑδρωπικοῖς ἐστὶ κατάπλασμα. σὺν μέλιτι δὲ ἐγχριό-
μενον ἐξυδερικοῖς. καὶ πρὸς μύκητας σὺν ὀξυκράτῳ ποθὲν ἁρμόζει. πρὸς δὲ βουπρήστεις
σὺν ὕδατι. πρὸς ταύρειον δὲ αἷμα σὺν σιλφίῳ. ἀποσμήχουσι τε χρήσιμον κατάπλασμα. τα-
ραχώδεσί τε ὀπισθοτονικοῖς πάθεσι σὺν κηρωτῇ ἢ στέμμασι. μίσγεται τε ἄρτῳ ὠφε-
λίμως ἐπὶ τῶν τὴν γλῶτταν παραλελυμένων. ἔνιοι δὲ καίουσι τὰ προειρημένα ἐπὶ ἄνθρακας
πεπυρωμένους ἀποσκεπαζόμενοι. προϋποκειμένου καινοῦ ὀστράκου ἕως ἂν ἐκπυρωθῇ.

## Περὶ τρυγός. ωϛα.

Τρὺξ δὲ παραληπτέον μάλιστα μὲν τὴν ἀπὸ οἴνου παλαιοῦ Ἰταλικοῦ. εἰ δὲ μή, καί, ἀπὸ τῶν
ὁμοίων. ἡ γὰρ ἀπὸ ὄξους πολὺ ἀπολείπεται τῇ δυνάμει. καυστέον δὲ ὡς ἀλκυόνιον προεξηραμμένην
ἐπιμελῶς. τινὲς δὲ ἐπὶ ὀστράκων καινῶν θέντες καίουσι πυρὶ δαψιλεῖ ἕως ἂν ἐμπυρωθῇ
κατὰ βάθος. ἄλλοι δὲ εἰς ἄνθρακας πεπυρωμένους ἐγκρύψαντες βῶλον, τὸ ὅμοιον ποιοῦσι.
σημεῖον δὲ τῆς δεούσης καύσεως ἡγητέον, τὸ λευκὸν ἢ ἀερόχρουν τοῦ χρώματος. καὶ τὸ προσενε-
χθεῖσαν τῇ γλώσσῃ οἷον τε φλέγειν αὐτήν. ὡσαύτως δὲ καὶ ἡ ἀπὸ ὄξους καίεται. δύναμιν δὲ
ἔχει καυστικὴν σφόδρα. σμηκτικήν. κατουλωτικήν. στυπτικήν. σηπτικὴν ἄγαν. ξηραν-
τικήν. χρηστέον δὲ τῇ τρυγὶ προσφάτῳ οὔσῃ. ταχὺ γὰρ διαπνεῖται. ὅθεν οὐδὲ ἀσκέπαστον. ἐν χω-
ρὶς ἀποσκεπάζοντα αὐτὴν ἀποθετέον. πλύνεται δὲ ὡσαύτως πομφόλυγι. ἡ δὲ ἄκαυστος στέλλει οἰδήματα τε
καθ' αὑτὴν καὶ μετὰ μυρσίνης. κοιλίαν τε καὶ στόμαχον ῥευματιζόμενον καταπλα-
σθεῖσα στέλλει. τὰ ῥεύματα γυναικεῖα κατὰ ἤτρου καὶ αἰδοίου καταπλαττομένη πραΰνει. τὰ φύ-
γεθλα ἀνέλκωτα διαφορεῖ. τὰ φύματα, μαστούς τε σπαργῶντας ῥέοντας γάλα σβέννυσι σὺν
ὄξει καταχρισθεῖσα. ἡ δὲ κεκαυμένη λεπροὺς ἀφίστησιν ὄνυχας σὺν ῥητίνῃ. τε μετὰ σχινίνου
ἐλαίου συγχρισθεῖσα νύκτα ὅλην, ξανθὰς ποιεῖ τὰς τρίχας. πλυθεῖσα δὲ μίσγεται εἰς
τὰ ὀφθαλμικὰ ὡς σποδός. σμήχει τε οὐλὰς καὶ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς ἡ τοιαύτη.

## Περὶ ἀσβέστου. ωϛβ.

Ἄσβεστος γίνεται οὕτω. τῶν θαλαττίων κηρύκων τὰ ὄστρακα λαβών, πυρὶ ἐγκρύψον. ἢ εἰς
κλίβανον διάπυρον καθεὶς ἄφες ἐννυκτερεῦσαι. τῇ δὲ ἐχομένῃ ἐὰν μὲν λευκότατα γένηται,
ἀνελοῦ. εἰ δὲ μή, πάλιν καῖε ἄχρις ἂν ἱκανῶς λευκανθῇ. εἶτα ἀποβάψας αὐτὰ εἰς ψυ-
χρὸν ὕδωρ, ἔμβαλε εἰς χύτραν καινήν. καὶ σκεπάσας αὐτὰ ῥάκεσιν ἐπιμελῶς, ἔασον ἐν-
ταῦθα νύκτα μίαν. πρωῒ δὲ ἀνελόμενος ἀπειληφότα τὸ παντελὲς τῆς κατεργασίας ἀπό-
θεσο. σκευάζεται δὲ καὶ ἐκ λίθων κοχλάκων καιομένων. καὶ ἐκ τῆς χυδαίας μαρμάρου.
ἥτις καὶ προκρίνεται τῶν ἄλλων. δύναμιν δὲ ἔχει πᾶσα κοινῶς ἄσβεστος, πυρωτικήν. δη-
κτικήν. καυστικήν. ἐσχαρωτικήν. μισγομένη δέ τισιν ἑτέροις ὡς στέατι ἢ ἐλαίῳ, γίνεται
πεπτική. μαλακτική. διασκεδαστική. κατουλωτική. ἐνεργεστέραν δὲ αὐτῆς ἡγητέον τὴν
πρόσφατον καὶ ἄβροχον.

Περὶ

# ΠΕΜΠΤΟΝ.

Περὶ γύψου. κεφ. ωλγ.

Γύψος δύναμιν ἔχει στυπτικὴν, ἐμπλαστικήν. αἱμοῤῥαγίας τε καὶ ἱδρώτων ἐφεκτικήν. ποθεῖσα δὲ πνίγει τῷ κατὰ πνιγμὸν τρόπῳ. Περὶ τέφρας κληματίνης. κεφ. ωλδ.

Τέφραν κληματίνην δύναμιν ἔχει καυστικήν. σὺν ὀξυγγίῳ δὲ ἢ ἐλαίῳ καταπλασθεῖσα, θλάσματα νεύρων καὶ ἄρθρων λυγίσματα καὶ συστροφὰς νεύρων ὠφελεῖ. σὺν νίτρῳ δὲ καὶ ὄξει, σαρκώσεις ὀχέας στέλλει. καταπλασθεῖσα δὲ σὺν ὄξει, ἑρπετόδηκτα καὶ κυνόδηκτα ἰᾶται. ἐσχαρωτικοῖς τε μίσγεται. καὶ γίνεται ἡ δ' ἐξ αὐτῆς κονία πρὸς σηπώματα καὶ μύκητας σὺν ὄξει καὶ ἁλσὶ καὶ μέλιτι. Περὶ ἁλκυονίου. κεφ. ωλε.

Τοῦ δὲ ἁλκυονίου πέντε γνωστέον εἴδη ὑπάρχειν. τὸ μὲν γὰρ πυκνόν ἐστι καὶ στρυφνὸν, καὶ τὴν ἰδέαν σπογγῶδες. ἔτι δὲ βρωμῶδες καὶ βαρύ. καὶ ἰχθύος ὄζον. ὃ δὴ πλεῖστον ἐπὶ τῶν ᾐόνων εὑρίσκεται. τὸ δὲ ἑξῆς κατὰ μὲν τὸ σχῆμα τῷ ἐρυθρῷ ὀφθαλμικῷ ἢ σπόγγῳ ἔοικε κοῦφόν τε ἐστὶ καὶ πολύκενον. καὶ φυκώδη ἀποφορὰν ἔχον. τὸ δὲ τρίτον σκωληκοειδὲς ὑπάρχει τῷ τύπῳ. καὶ τῇ χρόᾳ πορφυρώτερον. ὅ τινες μιλήσιον καλοῦσι. τὸ τέταρτον δὲ ἐρίοις οἰσυπηροῖς ὅμοιον. πολύκενον. κοῦφον. τὸ δὲ πέμπτον ἔοικε μὲν κατὰ σχῆμα μύκητι ἄοσμόν τε ἐστὶ καὶ τραχὺ ἔνδοθεν μὲν κισσηρῶδες κατά τι ἐοικός· ἔξωθεν δὲ λεῖον. δριμύ. ὃ πλεῖστον ἐν τῇ προποντίδι κατὰ τὴν καλουμένην βέσβικον νῆσον γίνεται. ὃ ἐπιχωρίως ἁλὸς ἄχνην καλοῦσι. τούτων τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον, εἰς σμήγματα παραλαμβάνεται γυναικῶν. καὶ περὶ φακούς. λειχῆνάς τε καὶ λέπρας ἀλφούς τε καὶ μελανίας καὶ σπίλους τοὺς ἐπὶ προσώπου καὶ τοῦ λοιποῦ σώματος. τὸ δὲ τρίτον εὐθετεῖ πρὸς δυσουροῦντας καὶ ἀμμώδη συλλέγοντας ἐν τῇ κύστει. καὶ πρὸς νεφρικοὺς πρὸς ὕδρωπας. σπλῆνα. καεὶς δὲ καὶ καταπλασθὲν σὺν οἴνῳ, ἀλωπεκίας δασύνει. τὸ ἔσχατον ὀδόντας λευκαίνειν δύναται. παραλαμβάνεται δὲ καὶ πρὸς ἄλλα σμήγματα καὶ ψίλωθρα. μιγνύμενον σὺν ἁλσί. καῦσαι δέ τι τούτων βουλόμενος, μετὰ ἁλῶν εἰς ὠμὴν χύτραν ἔμβαλε. καὶ περιαλείψας τὸ στόμα αὐτῆς πηλῷ, θὲς εἰς κάμινον. ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος αὐτῆς, ἀνελόμενος ἀπόθου καὶ χρῶ. πλύνεται δὲ ὡς ἡ καδμεία.

Περὶ ἀδάρκου. κεφ. ωλς.

Ὁ δὲ προσαγορευόμενος ἀδάρκης, γίνεται μὲν ἐν καππαδοκίᾳ. ἔστι δὲ, ὥσπερ ἐπάνθισμα ἁλμυρίζων. καθ' ὑγρῶν καὶ τελματωδῶν τόπων ἐν ξηρασίᾳ ἐφιστάμενος. καὶ περιπηγνύμενος καλάμοις καὶ χορταρίοις. ἔοικε δὲ τὴν χρόαν ἄνθει ἀσίας λίθου. τῷ δὲ ὅλῳ τύπῳ ἁλκυονίῳ τῷ μαλακῷ καὶ ὑποκένῳ. καὶ ἔστιν οἷον εἰ λιμναῖον ἁλκυόνιον. εὐθετεῖ δὲ πρὸς ἐκδορὰν λεπρῶν. καὶ ἐφηλίδων καὶ λειχήνων. καὶ φακῶν. καὶ τῶν ὁμοίων. καθόλου δέ ἐστι δριμὺ καὶ μετασυγκριτικόν. ὠφελεῖ ἰσχιαδικούς. Περὶ σπόγγων. κεφ. ωλζ.

Τῶν δὲ σπόγγων τοὺς μὲν ἄῤῥενας ἐκάλεσάν τινες λεπτοτρήτους καὶ πυκνοὺς ὄντας. ὧν τοὺς σκληροτέρους τράγους ὠνόμασαν. τοὺς δὲ, θηλεῖς οἳ ἐναντίως τοῖς προειρημένοις διάκεινται. καῦσιν δὲ ἔχουσι τὴν αὐτὴν ἁλκυονίῳ. ὁ καινὸς δὲ καὶ ἄλυπος, τραυματικός τε ἐστὶ καὶ οἰδήματα στέλλει. καὶ τὰ νεότρωτα κολλᾷ σὺν ὕδατι ἢ ὀξυκράτῳ. σὺν μέλιτι δὲ ἑφθῶν παλαιοὺς κόπους παρακολλᾷ. ὁ δὲ παλαιὸς, ἀχρεῖος. διαστέλλουσι δὲ καὶ μεμυκότα ἕλκη καὶ τύλους ἀποδεσμούμενοι λίνῳ καὶ αὐτοὶ ξηροὶ παρεντιθέμενοι ὥσπερ μότα. τὰ δὲ ῥευματικὰ ὑπόνομα καὶ χρόνια ἕλκη, ἐξικμάζουσιν ἐπιθέμενοι ἄνικμοι νέοι καὶ καινοί. ἐπέχουσι δὲ καὶ αἱμοῤῥαγίαν. σὺν ὄξει δὲ κεκαυμένοι, πρὸς ξηροφθαλ-

μίας. καὶ ὅπου δεῖ σμῆξαί τι. ἢ στύψαι. βέλτιον δὲ ποιοῦσι πλυθέντες εἰς τὰ ὀφθαλμικά. σὺν δὲ πισσηκαέντες πρὸς αἱμορραγίας ἁρμόζουσι. λευκαίνονται δὲ αὐτῶν οἱ ἀπαλώτατοι ἐν τοῖς καύμασι, βρεχόμενοι τῇ ἐπὶ τῶν πετρῶν συνισταμένῃ ἁλὸς ἄχνῃ καὶ ἡλιαζόμενοι. ἐπιβλεπέτω δὲ τὸ μὲν κοῖλον αὐτῶν ἄνω. κάτω δὲ ἡ ἀποτομή. εἰ δὲ ἐν αἰθρίᾳ θερίᾳ καὶ ὑπὸ τὴν σελήνην, βρεχόμενοι ἁλὸς ἄχνῃ ἢ θαλάσσῃ. γίνονται δὲ λευκότατοι οἱ τοιοῦτοι.

Περὶ κοραλλίου. ρλη.

Τὸ δὲ κοράλλιον ὅπερ ἔνιοι λιθόδενδρον ἐκάλεσαν, δοκεῖ μὲν εἶναι φυτὸν ἐνάλιον. στερεοποιεῖσθαι δὲ ὅταν ἐκ τοῦ βυθοῦ ἑλκυσθὲν ἔξαλον γίνηται. καὶ βαπτόμενον ἤτοι τῷ γινομένῳ ὥσπερ ὑπὸ τοῦ περικεχυμένου ἡμῖν ἀέρος. εὑρίσκεται δὲ πλεῖστον ἐν τῷ κατὰ Συρακούσας ἀκρωτηρίῳ τῷ καλουμένῳ Παχύνῳ. ἄριστον δέ ἐστι τὸ πυρρὸν τῇ χροίᾳ καὶ ἐμφερὲς αἰθηρικῷ χρώματι, ἢ σανδυκι κατακορεῖ. εὔθριβές τε ὡσαύτως καὶ ὁμαλὸν ὅλον τῇ συγκρίσει. ἔτι δὲ ὀσμὴν βρυώδη καὶ φυκίοις ἐμφερῆ ἔχον. πρὸς δὲ τούτοις πολύοζον καὶ κινναμωμίζον τῷ τύπῳ τῶν θαμνίσκων. τὸ δὲ λιθῶδες τῇ συγκρίσει καὶ τῇ χροιᾷ ψωρόν, σεσηραγγωμένον τε καὶ χαῦνον, φαῦλον οἰητέον εἶναι. στύφει δὲ τῇ δυνάμει καὶ ψύχει ἐπιεικῶς. καταστέλλει δὲ τὰ ὑπερέχοντα. καὶ οὐλὰς σμήχει τὰς ἐν ὀφθαλμοῖς. πληροῖ δὲ καὶ κοιλώματα καὶ οὐλοῖ. πρός τε αἵματος ἀναγωγὰς ἱκανῶς ἐνεργεῖ. καὶ δυσουροῦσιν ἁρμόζει. καὶ σπλῆνα τήκει σὺν ὕδατι πινόμενον.

Περὶ ἀντιπαθοῦς. ρλθ.

Καὶ τὸ καλούμενον δὲ ἀντιπαθὲς, κοράλλιον οἰητέον ὑπάρχειν. εἰδικὴν ἔχον διαφοράν. ἔστι δὲ τῇ μὲν χροιᾷ μέλαν. δενδρίζον δὲ καὶ αὐτὸ ἐξοζῶδες μᾶλλον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Φρυγίας λίθου. ρμ.

Λίθος Φρύγιος. ᾧ οἱ βαφεῖς ἐν Φρυγίᾳ χρῶνται. ὅθεν καὶ ὠνόμασται. γεννᾶται ἐν Καππαδοκίᾳ. ἄριστος δέ ἐστιν ὁ ὠχρὸς καὶ μέσως βαρύς. οὐκ ἰσότονος τῇ συγκρίσει τῷ χρώματι. ἔχων δὲ διαφύσεις λευκὰς ὡς καδμεία. καίεται δὲ ὁ λίθος οὕτω. βρέξας αὐτὸν καλλίστῳ οἴνῳ, διαπύροις ἔγκρυψον ἄνθραξι. καὶ ῥίπιζε συνεχῶς. ἐὰν δὲ μεταβάλλῃ τὴν χρόαν κιρρότερος γενόμενος, ἐξελὼν αὐτὸν τῷ αὐτῷ σβέσον οἴνῳ. καὶ πάλιν εἰς τοὺς ἄνθρακας ἀποθέμενος τὰ αὐτὰ ποίει. καῖε δὲ αὐτὸν ἐκ τρίτου, προσέχων μὴ θρυφθῇ καὶ ἀποσβολωθῇ. δύναμιν δὲ ἔχει ὠμός τε καὶ κεκαυμένος στυπτικὴν ἐναργῶς. ἔτι δὲ ἀναλωτικὴν καὶ ἐσχαρωτικὴν ποσῶς. καταπλασμάτων τε ἰατικὴν σὺν κηρωτῇ. πλύνεται δὲ ὡς καδμεία.

Περὶ ἀσίου λίθου. ρμα.

Ἄσιον δὲ λίθον παραληπτέον τὸν κισσηρώδη τὴν χρόαν, χαῦνόν τε καὶ κοῦφον. ἔτι δὲ εὔθρυπτον καὶ διαφύσεις μηλίνας ἔχοντα διὰ βάθους. τὸ δὲ ἄνθος αὐτοῦ ἐστιν ἢ ἐφελκυσθὲν ἐπίξανθος ἁλμυρὶς τῇ ἐπιφανείᾳ τῶν λίθων, τῇ μὲν συστάσει λεπτή. τῇ δὲ χροιᾷ τὸ μέν τι λευκόν ἐστι. τὸ δέ τι ἔοικε κισσηρῷ. ἐπὶ τὸ μήλινον τετραμμένον. προσαγόμενόν τε τῇ γλώττῃ ἐνδάκνει ποσῶς. δύναμιν δὲ ἔχει ἑκάτερον στυπτικὴν. σηπτικὴν ἠσυχῇ. καὶ διαφορητικὴν φυμάτων. τερεβινθίνῃ ἀναλαμβανόμενον ἢ ῥητίνῃ ὑγρᾷ πίσσῃ. εὐτονώτερον δὲ τὸ ἄνθος ὑπάρχει. ἐκ περισσοῦ δὲ τὸ ὑπὸ ξηραινόμενον, τὰ παλαιὰ καὶ δυσκατούλωτα ἕλκη ἰᾶται. καταστέλλει δὲ τὰ ὑπερσαρκοῦντα καὶ ἀνακαθαίρει σὺν μέλιτι τὰ μύκησιν ὅμοια καὶ θηριώδη. πληροῖ δὲ καὶ τὰ κοῖλα τῶν ἑλκῶν καὶ ἀνακαθαίρει σὺν μέλιτι. καὶ τὰ νεμόμενα δὲ ἴσησι μιγὲν κηρωτῇ. καὶ ποδαγρικοῖς ἐν καταπλάσμασι μετὰ ἐρεγμοῦ. καὶ σπληνικοῖς με-

τ᾽ ὄξους

τόξους καὶ ἀσβέστου. ἐκλειχόμενόν τε τὸ ἄνθος μετὰ μέλιτος φθισικοὺς ὠφελεῖ. κατασκευάζονται δὲ καὶ πύελοι ἐκ τοῦ λίθου. εἰς ἃς οἱ ποδαγρικοὶ τοὺς πόδας ἐντιθέντες ὠφελοῦνται. καὶ σοροὶ σαρκοφάγοι γίνονται. ἰσχναίνουσαι τὰ πολύσαρκα καὶ τὰ παχέα σώματα. καταπλασσόμεναι ἀντὶ νίτρου ἐν βαλανείῳ. ἐὰν δέ τις πλῦναι θέλῃ τὰ προγεγραμμένα, πλυνέτω ὡς τὴν καδμείαν.

Περὶ πυρίτου λίθου. κεφ. ρβ'.

Πυρίτης εἶδός ἐστι λίθου. ἀφ' οὗ χαλκὸς μεταλλεύεται. ληπτέον μέντοι τὸν χαλκοειδῆ. εὐχερῶς δὲ σπινθῆρας ἀφιέντα. καυστέον δὲ τρόπῳ τοιούτῳ. μέλιτι δεύσας αὐτὸν, ἔνθες εἰς ἀνθρακιὰν μαλακήν. καὶ ῥίπιζε συνεχῶς ὡς ἂν τὴν χροιὰν κιῤῥὸς γένηται. ἔνιοι δὲ εἰς πολλοὺς καὶ πεπυρωμένους ἄνθρακας ἀποτίθενται ἱκανῶς βεβρεγμένον τῷ μέλιτι τὸν λίθον. ὅταν δὲ μέλλῃ τρέπεσθαι ἐπὶ τὸ κιῤῥὸν ἀναιροῦνται. καὶ ἀποφυσήσαντες τὴν σποδὸν, πάλιν καίουσι διάβροχον ἕως ἂν ψαθυρώτερος γένηται ὁμαλῶς. πολλάκις γὰρ μόνον ἐπικαίεται τὴν ἐπιφάνειαν. οὕτω δὲ ἀποκαύσαντες καὶ ξηράναντες ἀποτίθενται. ἐὰν δὲ πεπλυμένου χρεία ὑπάρχῃ, πλυτέον ὡς καδμείαν. δύναμιν δὲ ἔχει κεκαυμένος τε καὶ ὠμὸς, θερμαντικὴν. σμηκτικὴν, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς ὄψεσι. διαφορητικὴν τε καὶ πεπτικὴν σκληρωμάτων. ἀναληφθεὶς δὲ ῥητίνῃ καταστέλλει τὰ ὑπερσαρκοῦντα μετὰ προσηνοῦς θερμασίας καὶ σύγκως. καλοῦσι δὲ ἔνιοι τὸν οὕτω καέντα διφρυγές.

Περὶ αἱματίτου λίθου. κεφ. ργ'.

Αἱματίτης δὲ λίθος ἄριστός ἐστιν ὁ εὔθρυπτος μὲν καὶ κατακορὴς ἤτοι μέλας. ἐν ἑαυτῷ δὲ σκληρὸς καὶ ὁμαλός. ἀνεπίμικτος ῥυπαρείας τινὸς ἢ διαζωμάτων. δύναμιν δὲ ἔχει στυπτικὴν. θερμαντικὴν ποσῶς, καὶ λεπτυντικήν. ἔστι σμηκτικὴν οὐλῶν τῶν ἐν ὀφθαλμοῖς καὶ τραχωμάτων σὺν μέλιτι. σὺν δὲ γάλακτι γυναικείῳ πρὸς ὀφθαλμίας καὶ ῥήξεις. καὶ ὑφαίμους ὀφθαλμούς. πίνεται δὲ σὺν οἴνῳ πρὸς δυσουρίαν καὶ ῥοϊκάς, καὶ πρὸς αἵματος πτύσεις σὺν χυλῷ ῥοιᾶς. ποιεῖται δὲ καὶ κολλύρια ἐξ αὐτοῦ ἢ ἀκόνια πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθη ἐπιτήδεια. καίεται δὲ ἐμφερῶς τῷ φρυγίῳ λίθῳ τοῦ οἴνου περιῤῥημένου. μέχρι δὲ ἕως τῆς καύσεως τὸ γενέσθαι αὐτὸν μέσως κοῦφον καὶ πεπομφολυγωμένον. δολοῦσι δέ τινες τὸν προειρημένον οὕτω. λαβόντες βῶλον σχιστοῦ λίθου πυκνόν τε καὶ στρογγύλον, τοιαῦται δέ εἰσιν αἱ λεγόμεναι ῥίζαι αὐτοῦ, εἰς κεραμίαν χύτραν ἔχουσαν θερμοσποδιὰν θερμὴν ἐγκρύπτουσιν. εἶτα διαλιπόντες, μικρὸν ἀναιροῦνται. καὶ ἐπ' ἀκόνης τρίβοντες δοκιμάζοντες, εἰ τὴν τοῦ αἱματίτου χρόαν ἀπειλήφει. κἂν μὲν οὕτως ἔχῃ, ἀποτίθενται. εἰ δὲ μὴ, πάλιν ἐγκρύπτουσι. συνεχῶς ἐφορῶντες καὶ δοκιμάζοντες. ἀφεθεὶς γὰρ ἐπιπλὺ ἐν τῇ σποδιᾷ μεταβάλλει τὸ χρῶμα. ἔπειτα δὲ ἀχρεῖται. ἀπελέγχεται δὲ ὁ κακοτεχνημένος πρῶτον μὲν ταῖς διαφύσεσι. ὁ μὲν γὰρ εἰς κτηδόνας ἐπευθείας ἀποκλᾶται. ὁ δὲ αἱματίτης οὐχ οὕτως ἔχει ἐν τῇ χρόᾳ. ὁ μὲν γὰρ διανθῆ ἀνίησι. ὁ δὲ αἱματίτης βαθυτέραν καὶ τῷ κινναβάρει ἐοικυῖαν. εὑρίσκεται δὲ καὶ ἐν τῇ σινωπικῇ μίλτῳ. καὶ ἐκ τῆς μαγνήτιδος πέτρας καιομένης ἐφ' ἱκανὸν, κατασκευάζεται αἱματίτης. ὁ δὲ αὐτοφυὴς ἐν αἰγύπτῳ μεταλλεύεται.

Περὶ σχιστοῦ λίθου. κεφ. ργ'.

Σχιστὸς δὲ λίθος γεννᾶται μὲν ἐν τῇ κατὰ ἱσπανίαν ἰβηρίᾳ. ἄριστος δὲ εἶναι δοκεῖ ὁ παρακροκίζων τῇ χρόᾳ. εὔθρυπτός τε καὶ διασχιστὸς ὡς ἐν ἑαυτῷ. ἔοικε δὲ τῇ συνθέσει συγκεῖσθαι καὶ τῇ ἀλληλουχίᾳ τῶν κτηδόνων ἀμμωνιακῷ ἁλί. δύναμιν δὲ τὴν αὐ-

τὴν τῷ αἱματίτῃ εἰσφέρεται. τῇ δ᾽ εὐχροίᾳ μόνον ἀφιστάμενος αὐτοῦ. πληροῖ δὲ καὶ κοιλώματα γυναικείῳ διεθεὶς γάλακτι. καὶ πρὸς ῥήξεις καὶ προπτώσεις, ἔτι δὲ τὰ χιτῶνας βλεφάρων καὶ σταφυλώματα λίαν ὠφελεῖ. Περὶ γαγάτου λίθου. κεφ. ρδʹ.

Τοῦ δὲ γαγάτου προκριτέον τὸν ταχέως ἐξαπτόμενον καὶ ἀσφαλτίζοντα τῇ ὀσμῇ. μέλας δὲ κοινῶς ὑπάρχει καὶ αὐχμηρός. ἔτι δὲ πλακώδης καὶ κοῦφος ἄγαν. δύναμιν δὲ ἔχει μαλακτικὴν καὶ διαφορητικήν. ἔστι δὲ καὶ ἐπιληπτικῶν ἔλεγχος ὑποθυμιαθείς. καὶ ὑστερικὰς ἀνακαλεῖται. διώκει δὲ καὶ ἑρπετὰ θυμιαθεὶς καὶ ποδαγρικοῖς καὶ ἀκόποις μίγνυται δυνάμεσι. γεννᾶται δὲ ἐν Κιλικίᾳ κατά τινα ποταμοῦ ἐσρισιν εἰς θάλασσαν ἐκχεομένου. ἔστι δὲ πλησίον τῆς λεγομένης πλαγιουπόλεως. καλεῖται δὲ ὁ τόπος ἢ ὁ ποταμὸς γάγας. παρ᾽ οὗ τῷ στόματι εὑρίσκονται οὗτοι οἱ λίθοι. Περὶ θρακίου λίθου. κεφ. ρεʹ.

Ὁ δὲ λεγόμενος θρακίας, γεννᾶται μὲν ἐν Σκυθίᾳ ἐν ποταμῷ τῷ λεγομένῳ Πόντῳ. δύναται δὲ τὰ αὐτὰ τῷ γαγάτῃ. ἱστορεῖται δὲ ἐκκαίεσθαι μὲν αὐτὸν ὕδατι. σβέννυσθαι δὲ ὑπὸ ἐλαίου. ὅπερ καὶ ἐπὶ τῆς ἀσφάλτου γίνεται. Περὶ μαγνήτου λίθου. κεφ. ρςʹ.

Τοῦ δὲ μαγνήτου λίθου ἄριστός ἐστιν ὁ τὸν σίδηρον εὐχερῶς ἕλκων καὶ τὴν χρόαν κυανίζων. πυκνός τε καὶ οὐκ ἄγαν βαρύς. δύναμιν δὲ ἔχει πάχους ἀγωγόν. διδόμενος μετὰ μελικράτου τριωβόλου βάρος. ἔνιοι δὲ τοῦτον καίοντες αἱματίτην πιπράσκουσιν.

Περὶ ἀραβικοῦ λίθου. κεφ. ρζʹ.

Ὁ δὲ ἀραβικὸς λεγόμενος λίθος ἔοικεν ἐλέφαντος σπίλῳ. οὗτος λεῖος καταπλασθεὶς αἱμορροΐδας ἀποξηραίνει. ὀδόντων δὲ σμῆγμα γίνεται καυθεὶς κάλλιστον.

Περὶ γαλακτίτου λίθου. κεφ. ρθʹ.

Ὁ δὲ γαλακτίτης ὠνόμασται, ἀπὸ τοῦ γαλακτώδες ἀνιέναι. ἔστι μέντοι ἄλλως ὑπότεφρος τὴν χρόαν. γλυκὺς πρὸς τὴν γεῦσιν. ἁρμόζει δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ ἕλκη ἐγχριόμενος. δεῖ δὲ τρίψαντας αὐτὸν ὕδατι ἀποτίθεσθαι ἐν πυξίδι μολιβδίνῃ, διὰ τὸ περὶ αὐτὸν κολλῶδες. Περὶ μελιτίτου λίθου. κεφ. ριʹ.

Ὁ δὲ μελιτίτης κατὰ πάντα ἔοικε τῷ γαλακτίτῃ. διαφέρων ἐν τῷ γλυκύτερον ἀνιέναι τὸν χυλόν. ποιεῖ δὲ πρὸς ἃ καὶ ὁ γαλακτίτης. Περὶ μορόχθου λίθου. κεφ. ριαʹ.

Λίθος μόροχθος ὃν ἔνιοι γαλαξίαν ἢ λευκογραφίδα καλοῦσιν, ἐν Αἰγύπτῳ γεννᾶται. ᾧ οἱ ὀθονοποιοὶ πρὸς λεύκωσιν τῶν ἱματίων χρῶνται μαλακῷ καὶ διανετῷ ὄντι. δοκεῖ δὲ ἐμπλάττειν, ἁρμόζων ἐπὶ αἱμοπτοικῶν. καὶ κοιλιακῶν καὶ κύστεων ἀλγήμασι σὺν ὕδατι πινόμενος. καὶ ῥοικαῖς ὁμοίως. καὶ ἐν προσθέματι. ἔστι τε τὰ μαλακὰ ὀφθαλμικὰ μίγνυται. πληροῖ γὰρ κοιλώματα. καὶ ῥεύματα ἵστησι. σὺν δὲ κηρωτῇ ἀναληφθεὶς, τὰ τρυφερὰ τῶν ἑλκῶν ἀπουλοῖ. Περὶ ἀλαβαστρίτου λίθου. κεφ. ριβʹ.

Λίθος ἀλαβαστρίτης ὁ καλούμενος ὄνυξ. ἀναληφθεὶς κεκαυμένος ῥητίνῃ ἢ πίσσῃ, διαφορεῖ σκληρίας. στομάχου δὲ ἀλγήματα μετὰ κηρωτῆς παρηγορεῖ. στέλλει δὲ καὶ οὖλα.

Περὶ θυΐτου λίθου. κεφ. ριγʹ.

Λίθος ὁ καλούμενος θυΐτης. γεννᾶται μὲν ἐν τῇ Αἰθιοπίᾳ. ἔστι δὲ ὑπόχλωρος. ἰασπίζων ἐν δὲ τῷ ἀνίεσθαι γαλακτώδης φαινόμενος. ἀναδάκνων σφοδρῶς. δύναμιν δὲ ἔχει ἀποκαθαρτικὴν τῶν ταῖς κόραις ἐπισκοτούντων. Περὶ ἰουδαϊκοῦ λίθου. κεφ. ριδʹ.

Ὁ δὲ ἰουδαϊκὸς λίθος γεννᾶται μὲν ἐν τῇ Ἰουδαίᾳ. τῷ σχήματι βαλανοειδής. λευκός. εὔρυθμος ἱκανῶς. ἔχων καὶ γραμμὰς παραλλήλους ὡς ἀπὸ τόρνου. ἀνιέμενος δὲ ἐστὶν ἄποιος

ἐν τῇ γεύσει. δύναται δὲ τερεβινθίνου μέγεθος διεθὲν ὡς κολλύριον ὅ ἐπὶ κοίτης σὺν ὕδατος θερμοῦ κυάθοις τρισὶ καὶ ποθὲν δυσουρίαις βοηθεῖν. καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν. Περὶ ἀμιάντου λίθου. κεφ. ριε΄.

Λίθος ἀμίαντος. γεννᾶται μὲν ἐν Κύπρῳ συμφερὴς σχιστῷ ἐοικώς. ὃν ἐργαζόμενοι ὑφάσματα ποιοῦσιν ἐξ αὐτοῦ ὄντος ἱμαντώδους πρὸς θέαν. ἃ βληθέντα εἰς πῦρ φλογοῦται μὲν λαμπρότερα δὲ ἐξέρχονται μὴ κατακαιόμενα. Περὶ σαπφείρου λίθου. κεφ. ριϛ΄.

Λίθος σάπφειρος δοκεῖ ὠφελεῖν σκορπιοπλήκτους πινόμενος. πίνεται δὲ καὶ πρὸς τὰς ἐντὸς ἑλκώσεις. καὶ πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπεροχάς. καὶ σταφυλώματα καὶ φλυκταίνας στέλλει. καὶ τὰς ῥήξεις τῶν ὑμένων συνάγει. Περὶ μεμφίτου λίθου. κεφ. ριζ΄.

Λίθος μεμφίτης. εὑρίσκεται ἐν Αἰγύπτῳ κατὰ τὴν Μέμφιν. ἔχων ψηφίδων μέγεθος. λιπαρὸς καὶ ποικίλος. οὗτος ἱστορεῖται καταχρισθεὶς λεῖος ἐπὶ τῶν μελλόντων τέμνεσθαι ἢ καίεσθαι τόπων, ἀναισθησίαν ἀκίνδυνον ἐπιφέρειν. Περὶ σεληνίτου λίθου. κεφ. ριη΄.

Λίθος σεληνίτης, ὃν τινες ἀφροσέληνον ἐκάλεσαν διὰ τὸ εὑρίσκεσθαι αὐτὸν νυκτὸς μεσὸν ἐν τῇ τῆς σελήνης παραυξήσει. γεννᾶται δὲ ἐν Ἀραβίᾳ, λευκός. διαυγής. κοῦφος. τοῦτον ὑποξύσαντες, διδόασι πόμα ἐπιληπτικοῖς. καὶ ἀντὶ φυλακτηρίου δὲ περιάμματι αὐτῷ αἱ γυναῖκες χρῶνται. δοκεῖ δὲ καὶ δένδρεσι προσδεθεὶς, καρποφόρος εἶναι.

Περὶ ἰάσπιδος λίθου. κεφ. ριθ΄.

Λίθος ἴασπις. ὁ μέν τις ἐστὶ σμαραγδίζων. ὁ δὲ κρυσταλλώδης. ἐοικὼς φλέγματι. ὁ δὲ ἀερίζων. ὁ δὲ καπνίας, ὥσπερ κεκαπνισμένος. ὁ δέ τις καὶ διαφύσεις ἔχων διαλεύκους καὶ ἀποστιλβούσας ἀσύριος καλούμενος. ὁ δέ τις τερεβινθίζων λέγεται. καλαΐνῳ χρώματι προσόμοιος. λέγονται δὲ πάντες εἶναι φυλακτήρια περίαπτα καὶ ὠκυτόκια μηρῷ περιαπτόμενα. Περὶ ἀετίτου λίθου. κεφ. ρκ΄.

Ἀετίτης λίθος ὁ ἐν τῷ κινεῖσθαι ἦχον ἀποτελῶν, ὡς ἑτέρου ἐγκύμων λίθου ὑπάρχων κατὰ τὸ χάον ἐμβρύων ἐστίν. ὅταν ὀλισθηραὶ ὦσιν αἱ μῆτραι, περιαπτόμενος ἀριστερῷ βραχίονι. ἐν δὲ τῷ καιρῷ τῆς ἀποτέξεως, ἄρας ἐκ τοῦ βραχίονος, περίαπτε τῷ μηρῷ. καὶ ἐκτὸς ὠδίνων τέξεται. ἔστι δὲ καὶ κλεπτῶν ἔλεγχος. εἰ ἐπιθείη τις εἰς τὸν προσφερόμενον ἄρτον. ὁ γὰρ κλέψας οὐκ ἂν δυνηθείη καταπιεῖν τὰ μασηθέντα. φασὶ δὲ ὅτι καὶ συνεψόμενος ὁ ἀετίτης τοῖς ἐδέσμασι, κλεπτῶν ἔλεγχος γίνεται. οὐ γὰρ δυνήσεται ὁ κλέψας καταπιεῖν τὰ συνεψόμενα αὐτῷ. λειωθεὶς δὲ καὶ ἀναλαμβανόμενος κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου ἢ γλευκίνου ἢ τινὸς ἑτέρου τῶν θερμαινόντων, ὀνίνησι μεγάλως ἐπιληπτικούς. Περὶ ὀφίτου λίθου. κεφ. ρκα΄.

Λίθος ὀφίτης. ὁ μέν τις ἐστὶ βαρὺς καὶ μέλας. ὁ δὲ σποδοειδὴς τὴν χρόαν καὶ κατεστιγμένος. ὁ δέ τις γραμμὰς ἔχων λευκάς. πάντες δὲ ἐπαγγέλλονται περιαπτόμενοι ἐπὶ ὀφιοδήκτων καὶ κεφαλαλγούντων. ὁ δὲ τὰς γραμμὰς ἔχων, ἰδίως ἱστορεῖται ληθάργῳ καὶ κεφαλαλγίαις βοηθεῖν. Περὶ τῶν ἐν τοῖς σπόγγοις λίθων. κεφ. ρκβ΄.

Λίθοι οἱ ἐν τοῖς σπόγγοις εὑρισκόμενοι, σὺν οἴνῳ ποθέντες τοὺς ἐν κύστει λίθους θρύπτουσιν. Περὶ λιθοκόλλης. κεφ. ρκγ΄.

Ἡ δὲ λιθοκόλλα μῖγμα οὖσα μαρμάρου ἢ λίθου παρίου καὶ ταυροκόλλης, δύναται διὰ μηλωτίδος πεπυρωμένης, τρίχας ἀνακολλᾶν τὰς ἐν ὀφθαλμοῖς. Περὶ ὀστρακίτου λίθου. κεφ. ρκδ΄. Λίθος ὀστρακίτης ὅμοιός ἐστιν ὀστράκῳ. πλακώδης καὶ εὔσχιστος. ᾧ χρῶνται

ἀντὶ κισσήρεως πρὸς τριχῶν ἄρσιν αἱ γυναῖκες. ἴσχει δὲ καὶ καταμήνια πινόμενον σὺν οἴνῳ ∠ α΄ πλεῖστον. δυοῖν ∠ βάρος ἐὰν πίνῃ τις ἐφ' ἡμέρας δ΄ μετὰ τὴν ἄφεδρον, ἀσυλληψίαν ποιεῖ. σὺν μέλιτι δὲ ἐπιτιθέμενος, φλεγμαίνοντας μαστοὺς παρηγορεῖ καὶ τομὰς ἵστησι.

Περὶ σμύριδος. κεφ. ρκε΄.

Σμύρις λίθος ἐστὶν, ᾗ τὰς ψήφους οἱ δακτυλογλύφοι σμήχουσι. χρήσιμος εἰς σηπτὰς καὶ καυστικάς. καὶ πρὸς οὔλων πλάδον καὶ ὀδόντων σμῆξιν.

Περὶ ἄμμου. κεφ. ρκς΄.

Ἄμμος ἡ παρὰ τοῖς αἰγιαλοῖς πυρωθεῖσα ὑπὸ τοῦ ἡλίου, ξηραίνει τὰ ὑδρωπικὰ σώματα περιχωννύμενα δίχα κεφαλῆς. φώγνυται δὲ καὶ εἰς τὰς ξηρὰς πυρίας ἀντὶ κέγχρου ἢ ἁλῶν.

Περὶ ἀκόνης. κεφ. ρκζ΄.

Ἀκόνης ναξίας τὸ ἀπότριμμα τὸ πρὸς αὐτὴν ἀκονηθέντος σιδήρου ἐγχρισθὲν, ἀλωπεκίαις τριχοῖ. καὶ μαστοὺς παρθένων κωλύει αὔξεσθαι. ποθὲν δὲ μετ' ὄξους, σπλῆνα τήκει καὶ ἐπιληπτικοὺς ὠφελεῖ.

Περὶ λίθου γεώδους. κεφ. ρκη΄.

Λίθος γεώδης στύφει. ξηραίνει. ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα τοῖς ὀφθαλμοῖς. καταχρισθεῖσα δὲ μεθ' ὕδατος, μαστῶν καὶ ὄρχεων παύει φλεγμονάς.

Περὶ γῆς. κεφ. ρκθ΄.

Γῆ πᾶσα ἡ πίπτουσα εἰς ἰατρικὴν χρῆσιν, τὴν μὲν αὐτὴν τὸ δύναμιν ἔχει ψύχουσαν καὶ παρεμπλάσσουσαν. κατ' εἶδος δὲ διαφέρει. ἄλλης εἰς ἄλλα μετά τινος σπουδασίας χρησιμευούσης.

Περὶ ἐρετριάδος γῆς. κεφ. ρλ΄.

Τῆς ἐρετριάδος γῆς, ἡ μέν ἐστι λευκὴ ἐπιτετυμένως. ἡ δὲ, σποδοειδής. ἀρίστη δὲ ὑπάρχει ἡ τῇ χρόᾳ σποδίζουσα καὶ μαλακὴ ἄγαν. πρός τε χαλκώματα ἑλκυσθεῖσα γραμμὴν ἰώδη ἀποφερομένη. πλύνεται δὲ ὡς ψιμμύθιον. ἢ οὕτω. λεάνας αὐτῆς ὅσον ἂν θέλῃς, ἐπίβαλλέ τε καὶ σὺν ὕδατι, ἔασον καταστῆναι. εἶτα τὸ μὲν ὑγρὸν ἐλαφρῶς ἀπήθησον. τὴν δὲ γῆν ἐν ἡλίῳ ξηράνας, πάλιν τρίβε δι' ἡμέρας ἐπιδοὺς ὕδωρ ἑσπέρας, ἢ ἐάσας ὑποστῆναι, περὶ τὸν ὄρθρον ἀπήθησον. καὶ λεάνας ἐν ἡλίῳ τροχίσκους ἀνάπλασσε ὡς δυνατόν. ἐὰν δὲ καὶ ὀπτημένης χρεία ὑπάρχῃ, λαβὼν ἐρεβινθιαῖα μεγέθη τῆς γῆς, δὸς εἰς ἀγγεῖον κεραμεοῦν κατατετρημένον. πωμάσας τε τὸ στόμα ἐπιμελῶς, ἔνθες εἰς διάπυρος ἄνθρακας καὶ ῥίπιζε συνεχῶς. ὅτε δὲ ἡ σποδὸς αἰθαλώδης ᾖ καὶ ἀερώδης μᾶλλον γένηται τὴν χρόαν, ἀνελόμενος ἀπόθου. δύναμιν δὲ ἔχει στυπτικὴν καὶ ψυκτικὴν κούφως μαλακτικὴν καὶ κοιλωμάτων πληρωτικήν. καὶ ἐναίμων κολλητικήν.

Περὶ σαμίας γῆς. κεφ. ρλα΄.

Τῆς δὲ σαμίας γῆς τὴν ἄγαν λευκὴν προκριτέον. καὶ ἐλαφράν. καὶ ἐν τῇ θίξει τὴν γλῶσσαν, κρατουμένην ἐχεκόλλως. ἔτι τε εὔχυλον καὶ μαλακὴν καὶ εὔθρυπτον οἵα ἐστὶν ἥν τινες κολλύριον ἐκάλεσαν καὶ καλοῦσι. ἔστι γὰρ αὐτῆς δύο εἴδη. τό, τε προειρημένον, καὶ ὁ καλούμενος ἀστήρ. πλακώδης ὢν καὶ πυκνὸς ὡς ἀκόνη. δύναμιν δὲ ἔχει καὶ καῦσιν καὶ πλύσιν ἐμφερῆ ἐρετριάδι. ἵστησι δὲ αἵματος ἀναγωγήν. καὶ ῥοϊκαῖς δίδοται γυναιξὶ σὺν βαλαυστίῳ καὶ ὄρχεων καὶ μαστῶν φλεγμονὰς καταχριομένη σὺν ὕδατι καὶ ῥοδίνῳ. στέλλει καὶ ἱδρῶτας. καὶ θηριοδήκτοις καὶ θανασίμοις ἀρήγει σὺν ὕδατι πινομένη.

Περὶ τοῦ σαμίου λίθου. κεφ. ρλβ΄.

Εὑρίσκεται δέ τις ἐν τῇ σαμίᾳ γῇ λίθος, ᾧ οἱ χρυσοχόοι χρῶνται πρὸς τὸ λεαίνειν καὶ στιλβοῦν. διαφέρει δὲ ὁ λευκὸς καὶ στιβαρός. δύναμιν δὲ ἔχει στυπτικήν. ψυκτικήν. ὠφελῶν στομαχικοὺς ἐν ποτῷ. ἀμβλυντικὴν τοῖς αἰσθητηρίοις. ποιεῖ πρὸς τὰ ἐν ὀφθαλμοῖς ῥεύματα καὶ ἕλκη σὺν γάλακτι. δοκεῖ δὲ καὶ ὠκυτόκιος εἶναι καὶ φυλακτήριος τῶν συλλαμβανουσῶν περιαπτόμενος.

Περὶ χίας γῆς. κεφ. ρλγ΄.

Καὶ τὴν χίαν δὲ τὴν λευκὴν καὶ ὑπότεφρον παραληπτέον καὶ τῇ σαμίᾳ ἐμφερῆ. πλακώδης δ' ἐστὶ καὶ λευ-

κή. τοῖς δὲ σχήμασι τῆς ἀναπλάσεως διαφέρουσι. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ σαμίᾳ. τιτανοῖ δὲ καὶ στίλβειν ἔτι δὲ εὔχροιαν τὸ πρόσωπον καὶ ὅλον τὸ σῶμα ἀποτελεῖ. σμήχει δὲ αὐτὴ νίτρου ἐν βαλανείῳ.

Περὶ σελινουσίας γῆς. κεφ. ρλδ'.

Τὰ αὐτὰ δὲ ποιεῖ καὶ ἡ σελινουσία γῆ. ἀρίστη δέ ἐστιν ἡ ἄγαν στίλβουσα καὶ λευκή, εὔθρυπτος δὲ καὶ τάχιστα ἀναλυομένη ἐπειδὰν ὑγρὸν λάβῃ.

Περὶ κιμωλίας γῆς. κεφ. ρλε'.

Τῆς δὲ κιμωλίας ἡ μέν ἐστι λευκή, ἡ δὲ ἐμπόρφυρος, καὶ λιπαρίαν τινὰ ἔμφυτον κεκτημένη, πρός τε τὴν ἁφὴν κατάψυχρος· ἣν ἀρίστην ἡγητέον. ἑκάτεραι δὲ διαφοροῦσιν ὄξει δευόμεναι, παρωτίδας καὶ τὰ ἄλλα φύματα. πρός τε τὰ πυρίκαυτα ποιοῦσιν ἐπιχριόμεναι παραχρῆμα, ὥστε ἀφλυκταίνωτα διατηρεῖν τὰ πεπονθότα μέρη. καταστέλλουσι δὲ καὶ διδύμων σκληρίας καὶ φλεγμονὰς τὰς περὶ ὅλον τὸ σῶμα. ἔτι δὲ ἐρυσιπέλασιν ἐνίστανται. καθόλου δὲ πολύχρηστοι εἰσὶν αἱ γνήσιοι ἐὰν μὴ νόθοι παραλαμβάνωνται.

Περὶ πνιγίτιδος γῆς. κεφ. ρλς'.

Ἡ δὲ λεγομένη πνιγῖτις γῆ, τῇ χρόᾳ ἔοικέ πως τῇ ἐρετριάδι. ἔστι δὲ ἁδρόβωλος, ψυκτικὴ πρὸς τὰς τῶν χειρῶν ἐπιβολάς. τῇ τε γλώσσῃ μάλιστα κολλᾶται ὡς ἐκκρέμασθαι. δύναμιν δὲ τὴν αὐτὴν ἔχει τῇ κιμωλίᾳ, βραχὺ τῆς εὐτονίας ὑστεροῦσα. ταύτην αὐτὴν ἐρετριάδος τινὲς πιπράσκουσι.

Περὶ ὀστράκων. κεφ. ρλζ'.

Ὄστρακα δὲ τὰ ἐκ τῶν ἰπνῶν τὰ λίαν κατοπτα, ἐσχαρωτικά ἐστιν ἐπιχριόμενα σὺν ὄξει, κνησμοὺς καὶ ἐξανθήματα ἰᾶται καὶ ποδαγρικοὺς ὠφελεῖ. ἀναληφθέντα τε κηρωτῇ χοιράδας διαφορεῖ.

Περὶ τῆς ἐκ τῶν καμίνων γῆς. κεφ. ρλη'.

Καὶ ἡ ἐκ τῶν καμίνων δὲ κατοπτος γῆ πυῤῥὰ, τὴν αὐτὴν ἔχει δύναμιν τοῖς ὀστράκοις.

Περὶ μηλίας γῆς. κεφ. ρλθ'.

Ἡ δὲ μηλία τὴν μὲν χρόαν καὶ αὐτή ἐστιν ἐμφερὴς ἐρετριάδι τῇ σποδοειδεῖ. τραχεῖα δὲ καὶ παρατριβομένη τοῖς δακτύλοις, ὡς ψιθυρισμόν τινα ἀποτελεῖν ὅμοιον ψηχομένῃ κισσήρει. τῇ δὲ δυνάμει στυπτηριώδης ἐστὶν, [illegible] δὲ μᾶλλον ὃ δὴ καὶ διὰ τῆς γεύσεως ἐμφαίνει. ἀναξηραίνει δὲ καὶ τὴν γλῶσσαν πραέως. δύναται δὲ καθαρὸν καὶ εὔχροιαν ἀποτελεῖν τὸ σῶμα, λεπτύνει δὲ καὶ τὰς τρίχας καὶ ἀλφοὺς καὶ λέπρας σμήχει. χρησιμεύει δὲ καὶ ζωγράφοις πρὸς πλείονα παραμονὴν χρωμάτων. καὶ χλωροῖς δυνάμεσι συνεργεῖ. καὶ ταύτης δὲ κοινῶς ἀπάσης γῆς τὴν ἄλιθον ἐκλεκτέον καὶ πρόσφατον, μαλακήν τε καὶ εὔθρυπτον, καὶ εὔλυτον ὅταν ὑγροῦ θίγῃ.

Περὶ ἀμπελίτιδος γῆς. κεφ. ρμ'.

Τῆς δὲ ἀμπελίτιδος γῆς ἥν τινες φαρμακῖτιν καλοῦσι γινομένης ἐν σελευκείᾳ τῇ κατὰ συρίαν, τὴν μέλαιναν προκριτέον, καὶ πυκνοῖς ἄνθραξι μικροῖς ἐμφερῆ ἐστιν, ὑποσχιδακώδης τε καὶ στίλβουσα ἴσως. ἔτι δὲ οὐδὲ βραδέως τηκομένη, ὅταν λειανθεῖσα ἐπιχυθῇ ποσῶς ἐλαίου. τὴν δὲ λευκὴν καὶ τεφρώδη καὶ ἄτηκτον, φαύλην ἡγητέον. δύναμιν δὲ ἔχει διαχυτικὴν καὶ ψυκτικήν. παραλαμβάνεται δὲ καὶ πρὸς καλλιβλέφαρα καὶ βαφὰς τριχῶν. καὶ ταῖς τῶν ἀμπέλων χρίσεσι πρὸς τὴν τῆς ἐκβλαστήσεως ὥραν, κτείνουσα τοὺς ἐπιγινομένους σκώληκας.

Περὶ ἀσβόλης. κεφ. ρμα'.

Ἀσβόλη ᾗ οἱ ζωγράφοι χρῶνται, λαμβάνεται μὲν ἐκ τῶν ὑελουργῶν. διαφέρει γὰρ αὕτη. δύναμιν δὲ ἔχει σηπτικήν. στυπτικήν. ἀπουλοῖ δὲ καὶ κατάγματα σὺν ῥοδίνῃ κηρωτῇ.

Περὶ μέλανος. κεφ. ρμβ'.

Μέλαν ᾧ γράφομεν, συνάγεται ἐκ λιγνύος συναγομένης ἐκ δᾳδίων. μίγνυται δὲ πρὸς

τὴν λίτραν τοῦ κόμμεως, τοῦ δὲ τρεῖς λιγνύος. σκευάζεται δὲ καὶ ἀπὸ τῆς ῥητίνης λιγνύος καὶ τῆς προειρημένης ζωγραφικῆς ἀσβόλης. δεῖ δὲ τῆς μὲν ἀσβόλης μναῦν μίαν λαμβάνειν. κόμμεως δὲ λίτραν μίαν ἥμισυ. ταυροκόλλης δὲ μίαν ἥμισυ χαλκάνθου δὲ μίαν ἥμισυ. ἁρμόζει δὲ εἰς τε σηπτὰς καὶ πυρίκαυστα. καταχριόμενον μεθ᾽ ὕδατος τὸ χρῶ. καὶ ἐώμενον ἄχρις ἀπολύσεως. ἀποπίπτει γὰρ αὐτόματον ὑγιασθέντων τῶν ἑλκῶν. Καὶ ὡς σχεδὸν ἐφ᾽ ὅσον ἱκανὸν ἐδόξαμεν, ὦ φίλτατε Ἄρειε, ἅμα εἶναι καὶ μήκους συντάξεως, καὶ πλήθους ὕλης τε καὶ βοηθημάτων τε μνησθῆναι, ἅλις ἔχει.

Τέλος.

# ΠΕΔΑΚΙ´ΟΥ ΔΙΟΣΚΟΡΙ´ΔΟΥ ἈΝΑΖΑΡΒΕ´ΩΣ ΠΕΡῚ ΔΗΛΗΤΗΡΙ´ΩΝ ΦΑΡΜΑ´ΚΩΝ ΚΑῚ ΤΗ͂Σ ΑὙΤΩ͂Ν ΠΡΟΦΥΛΑΚΗ͂Σ ΒΙΒΛΙ´ΟΝ ἝΚΤΟΝ.

Ποιοῦντες ἐν τοῖς προγεγραφέσι βιβλίοις, φίλτατε Ἄρειε, τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ τῶν ἐξ αὐτῶν καρ-
α πῶν καὶ δακρύων, ἔτι τε ζώων καὶ μέλιτος, καὶ γάλακτος καὶ στέατος, καὶ τῶν λεγομένων σιτηρῶν καὶ λαχάνων, ἔτι τε τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων καὶ οἴνων καὶ μεταλλικῶν λόγον, ἐν τούτῳ πλουσιωτάτῳ ὑπάρχοντι τῆς ὅλης πραγματείας καταληξόμεθα, περὶ τῆς τῶν ὠφελεῖν ἡμᾶς ἢ βλάπτειν δυναμένων φαρμάκων ἐνεργείας. παραιτησόμενοι οὖν τὴν πολυλογίαν, ἐπάνιμεν ἐπὶ τὸ προκείμενον. μεριζομένου δὲ τοῦ τοιούτου διχῆ, εἴς τε προφυλακὴν τοῦ μηδὲ τὴν ἀρχὴν λαθεῖν, ἢ εἰ καί ποτε λάθοι διδόμενα, ἀνενέργητα γενέσθαι, καὶ εἰς τὸ βοηθηματικὸν τῶν πεπτωκότων, πρῶτον δίειμι περὶ τοῦ προφυλακτικοῦ τρόπου, δυσχεροῦς ὄντος ὡς οἱ ἀρχαῖοι ὑπέλαβον. διὰ τὸ τοὺς λάθρα διδόντας οὕτω μηχανᾶσθαι ὡς καὶ τοὺς ἐμπειροτάτους ἐξαπατᾶν. τὰς μὲν γὰρ πικρίας ἐξαιροῦνται τῶν φθαρτικῶν φαρμάκων ταῖς μισγομέναις γλυκύτησι. τὰς δὲ δυσωδίας ταῖς τῶν ἀρωμάτων καταμίξεσιν ἢ ταῖς τῶν ὑλῶν ἐπωφελείᾳ δοκουσῶν προσφέρονται. μάλιστα δὲ ἐν ταῖς ἀθηνέαις ὡς ἀψινθίῳ ἢ τραγοριγάνῳ ἢ ὑσσώπῳ ἢ θύμβρᾳ. θύμῳ τε καὶ ὀριγάνῳ ἢ ἀβροτόνῳ. ἴρι δὲ ἢ καστορίῳ. καὶ ἔτι δοκεῖ κατάλληλον τοῖς κατεργουμένοις φαρμάκοις ἔχειν ποιότητα. ἐπεὶ δὲ τῶν πινομένων ἐν οἴνοις σκληροῖς ἢ ζωμοῖς. ἢ ἐν γλυκεῖ. ἢ ἐν μελικράτῳ. ἢ ἐν γλυκεῖ. ἢ ἐν χυλοῖς. ἢ φακῇ. ἢ ἐν ἀλφίτοις. ἢ ἐν φαρμάκοις ἢ ἐν ἄλλοις τισὶ τῶν προσφερομένων συναπτοποιοῦντες. ἴσον τὸν ὑποπτεύοντα δεῖ πειρατεῖσθαι τὰ κατηρτισμένα τῶν ἐδεσμάτων. καὶ πᾶσαν ἐπιτεταμένην ποιότητα γεύσεων, ὅσαι εἰσὶ διὰ τῶν γλυκέων ἢ ἁλυκῶν ἢ ὀξέων διαφυλάττεσθαι καὶ τοὺς δεδιψηκότας ἢ πεινῶντας ἐκ περιστάσεως, μὴ ἀθρόως πίνειν ἢ ἐσθίειν προσέχοντας τῇ ποιότητι τούτων. μάλιστα δὲ ψυχρὸν ὕδωρ προλαμβάνειν πίνοντας. ἀποπλη-

ρωθείσης

ῥωσθείσης γὰρ τῆς ὀρέξεως, ἀπρόσιτοι γίνονται τὸ λοιπὸν αἱ ποιότητες. καὶ ἐπὶ μὲν τῶν ἀθεωρήτων, καλῶς παραινούμεθα τὰς παρὰ τῶν ἐπ' ὠφελείᾳ διδόσθαι φαρμάκων πόσεις. ἃς εἰσφέρουσιν οἱ κακουργοῦντες τὰ δηλητήρια. ὥστε διὰ τοῦτο δυσεπιχειρήτους γίνεσθαι τοὺς τοιούτους. καὶ ἡ μὲν πρὸς τὸ μὴ εὐχερῶς ἁλίσκεσθαι πλανωμένους ἔφοδος, αὕτη. ἑτέρα δὲ ἥτις ἐστὶν ἀνυσιμωτέρα, δεῖ τοὺς ὑποπτεύοντάς τι τοιοῦτον, προλαμβάνειν τι. καὶ ἀδύνατα κατασκευάζειν τὰ φάρμακα. ὡς τοὺς τὰς ἰσχάδας μασωμένους μετὰ βασιλικῶν καρύων, καὶ τὰ καλούμενα δὲ κιτρόμηλα, βουνιάδος τε σπέρματος ὁλκὴν μετ' οἴνου, ἢ καλαμίνθης τῶν φύλλων ὁμοίως, ἢ μίλτου τῆς καλουμένης λημνίας σφραγῖδος, τὸ αὐτὸ πλῆθος σὺν οἴνῳ, ἢ πηγάνου φύλλα καὶ καρύων βασιλικῶν τὸ ἐντὸς, ἢ ἁλῶν χόνδρον καὶ ἰσχάδας δύο νήστεις προσφερέσθωσαν. καὶ ὑπ' οὐδενὸς ἐπιβούλου βλαβήσονται φαρμάκου. καὶ ἀντίδοτοι δὲ προσλαμβανόμεναι μετ' οἴνου τὸ αὐτὸ ποιοῦσιν. ὧν ἐστὶν ἡ διὰ τοῦ σκίγκου, καὶ ἡ διὰ τῶν αἱμάτων καὶ ἡ καλουμένη μεγάλη μιθριδάτειος. ἀντιπάσχουσι δὲ πολλάκις αἱ ἰδιοσυγκρίσεις σωμάτων αἱ προσδιαθέσεις, διά τινας βρωμάτων ἢ πομάτων ποιότητας. ἢ πλῆθος οἴνου. ἐκλύουσι γὰρ τὰς ἐνεργείας τῶν ἐπεισαγομένων φαρμάκων. καὶ τὴν ἀνάδοσιν αὐτῶν κωλύουσι προεμπεπληρωμένων τῶν πόρων ὑπὸ τῆς προληφθείσης τροφῆς. ἐπειδὴ δὲ καὶ περιστάσεις τινὲς ἐν ἀποδημίᾳ δίχα ἐπιβουλῆς πολλάκις ἐπιφέρουσιν ὁμοίους κινδύνους, ἀναγκαῖον ὑπολαμβάνω καὶ περὶ τούτων διαλαβεῖν. δεήσει γὰρ πρῶτον μὲν ἐν ὑπαίθροις τόποις, ὡς δυνατὸν ἐσθίειν. καὶ ἐνιμάζειν τὰ πρὸς βρῶσιν καὶ πόσιν. δεύτερον δὲ ἐν ὑπερῴῳ ἐπιμελῶς καταμανθάνειν τὰς ὀροφάς. πολλάκις γὰρ ἐκ τῶν ὑπερκειμένων πίπτει ζωΰφια φθοροποιά, ὥσπερ φαλάγγια. καὶ ἄλλα τινὰ ἑρπετά. καὶ ὁ καλούμενος ἀσκαλαβώτης. καὶ τοῖς ἐπέχουσι δὲ τὸν οἶνον ἀγγείοις ἐναργῶς καὶ ἐπιμελῶς προσέχειν δεῖ. ἕλκεται γὰρ ὑπὸ τῆς ὀσμῆς τοῦ οἴνου τὰ ἑρπετά. ἅ τινα πολλάκις πιόντα μὲν, τὸν ἰὸν ἀπήμεσαν. ἐμπεσόντα δὲ ἀπέθανον. καὶ ἀπωλείας ἐγένοντο αἴτια τοῖς προσενηνεγμένοις. πρὸς μὲν τὸ ἀνεπιβούλευτον εἶναι καὶ προφυλάττεσθαι, ταῦτα εἰρήσθω. εἰ δέ τινες ἑκουσίᾳ γνώμῃ προσενέγκοιντο, ἢ καὶ ἐξ ἐπιβουλῆς τινὸς λάβοιεν, δεήσει μηδὲν ἀναβαλλομένους βοηθεῖν. εἰς γὰρ τὸ περιμένειν τὰ παρακολουθοῦντα σημεῖα ἑκάστου τῶν φαρμάκων ἀνίατον ἐστί, δυσβοηθήτων αὐτῶν διὰ τὸν χρόνον γινομένων. ἐὰν μὲν οὖν οἱ προσενηνεγμένοι νοσοῦντες ὁμολογήσωσι τὸ ποθὲν φάρμακον, ἢ τινος τῶν συμπαρόντων, παραχρῆμα ἐλθόντες ἐπὶ τὰ κατάλληλα βοηθήματα, ῥᾳδίως εἰς τὸ κατὰ φύσιν οἰκεῖον ἄξομεν αὐτοὺς κατάστημα. οὐ συγκατατιθέμενοι τοῖς λέγουσιν ἐπὶ πάντων κατὰ πᾶν ἀθεράπευτα εἶναι. πῶς γὰρ τὰ μὲν ἐπὶ τῶν ἐν τῷ σώματι γινομένων αἰτίων πάθη, θεραπείας ἐπιδέχεται. τὰ δ' ὑπὸ τῶν ἔξωθεν συμπιπτόντων φαρμάκων ἀθεράπευτα τυγχάνει. ὁμοίως γὰρ πάντα τὰ περὶ τὰ σώματα γινόμενα νοσήματα, θεραπευτά τε καὶ ἀθεράπευτα, κατὰ τὰ μεγέθη τῶν προσπεσόντων αἰτίων, καὶ τὰς προδιαθέσεις καὶ ἐπιτηδειότητας τῶν σωμάτων. εἰ δέ τινος αὐτῶν καταληφθέντος ἀφωνίαις ἢ παρανοίαις, ἢ ἄλλως διὰ τὸ μὴ βούλεσθαι ἐξαγγεῖλαι αὐτό, ἀσύμφανὲς ἡμῖν ποιοῦσι τὸ φάρμακον, τότε δεῖ ταχέως ἔρχεσθαι ἐπὶ τὰ κοινῶς ἁρμόττοντα τοῖς οἱονδήποτε φάρμακον πεπωκόσι. οὐδὲν δὲ δύναται κοινότερον βοήθημα διδο-

σθαι, τὰ τῶν δηλητηρίων φάρμακα πρὸ τοῦ ἐνισχῦσαι. διὰ τοῦ ἐμέτου τρόπου κενοῦσθαι ἐκ τῶν ἐκτός. ὅσοι μηδὲν ἀναβαλλομένους προσφέρειν δεῖ ἔλαιον θερμὸν ἢ καθ' ἑαυτὸ ἢ μεθ' ὕδατος ἐμεῖν ἀναγκάζοντας. εἰ δὲ μὴ παρείη ἔλαιον τῶν τόπων μὴ φερόντων, βούτυρον ἀντ' ἐλαίου μεθ' ὕδατος θερμοῦ ἢ μαλάχης ἢ λινοσπέρμου ἢ τράγου ἢ τήλεως ἢ κνίδης σπέρματος ἢ χόνδρου ἀφεψήματος. οὐ μόνον γὰρ κενώσει ταῦτα διὰ τῶν ἐμέτων εὐχερῶς χαλασμὸν καὶ ναυτίαν ἐμποιοῦντα, ἀλλὰ καὶ ὑπάξει τὴν κοιλίαν. καὶ ἐναντιωθήσεται τῇ κακώσει τῶν σωμάτων, ἀμβλυντικὰ τῶν δριμυτήτων καθεστῶτα. ἔστι δὲ ἐναργῶς καταλαβέσθαι τοῦτο. εἰ γάρ τις ἑλκῶσαι προαιρούμενος διὰ ἀσβέστου, ἢ πυρὸς ἢ κανθαρίδος ἢ τινος ἄλλου δριμέος, τὸ σῶμα ὑποχρίσειεν ἐλαίῳ, οὐχ ἑλκωθήσεται ὑπὸ τούτου. καὶ μὴν οὐδέ τις στύψαι θελήσει ἰσχυρῶς ἢ ψύξαι, δύναται προλιπεῖν. ἐπὶ μὲν ἐμέτου οὐ μόνον καθὸ κενοῖ καὶ ἀποκρίνει τὸ βλαπτικὸν ὠφελεῖ, ἀλλ' ὅτι καὶ διαγινώσκεται τὸ ληφθὲν ἐνίοτε, ἔκ τε ὀσμῆς ἢ θρόμβων ἢ χρώματός τινος. ἐκ μὲν γὰρ τῆς ὀσμῆς καὶ παρείας, μηκώνειον. ἐκ δὲ χρόας ψιμμύθιον ἢ γύψον, ἀπὸ δὲ θρόμβου, γάλα ἢ τὸ νεοσφαγὲς αἷμα. ἀπὸ δὲ βρώμου καὶ ποιότητος τοῦ ἐμουμένου καὶ ὀσμῆς, λαγωὸν θαλάττιον καὶ φρῦνον. ὡς διὰ τοῦτο ἢ δι' ἑτέρου μηνύματος δύνασθαι βοηθεῖν. ἐρχομένους ἐπὶ τὰ ἑκάστῳ ἁρμόζοντα βοηθήματα. μετὰ μέντοι γε τὸ ἔλαιον μαλάχης ἀφέψημα. ἢ γλαύκιον, ἢ στέαρ χήνειον, ἢ ζωμὸς ἐκ λιπαρῶν κρεῶν χοιρείων. ἢ κοιλία ἡ διὰ τῶν ξύλων. κομισάμενος δὲ διὰ τῶν ἐμέτων ἐπιμελῶς, διὰ τὸ μηδὲν ὑπολείπεσθαι ἐν τῇ κοιλίᾳ, τὸ ἐμμεῖναν ἐν τοῖς ἐντέροις κλύσματι δριμεῖ κομιούμεθα. ποιεῖ δὲ καὶ τὸ νίτρον λεῖον σὺν ὑδρομέλιτι παραλαμβανόμενον, καὶ οἶνοι πολλοὶ καὶ παλαιοὶ πινόμενοι. καὶ ζωμοὶ ὀρνίθειοι. ἰχθύες λιπαροί. καὶ κρέα παλαιὰ καὶ λιπαρά. καὶ τὰ διὰ στέατος ἢ βουτύρου προσφάτου. ὑπάγοντα γὰρ τὴν κοιλίαν ὡς ἐπὶ τὸ πολὺ καὶ τὸν στόμαχον ἀναλύοντα, ἑτοιμότερον κατασκευάζει τὸν στόμαχον πρὸς τὸν ἔμετον. ἀμβλύνει τε τὴν δριμύτητα αὐτῶν. καὶ παρεμπλασσόμενα τοῖς πόροις κωλύει τὴν ὀξύτητα τῶν φαρμάκων δυνάμεως. δίδονται δὲ καὶ ἁρμόζοντα φάρμακα κοινῶς. ὧν ἐστιν ἡ λημνία μίλτος. ἀγαρικόν. ἀβρότονον. ἐρύσιμον. ἠρυγγίου ῥίζα. σταφυλίνου σπέρμα καὶ καλαμίνθης. νάρδος κελτική. καστόριον. νάρθηκος χλωροῦ ἐντεριώνη. νηρίου τοῦ καλουμένου ῥοδοδένδρου ἄνθος. πρασίου χυλός. σίλφιον. ἢ ὁ ὀπὸς αὐτοῦ. σαγάπηνον. ὀποπάναξ. πευκεδάνου ὀπὸς καὶ ἡ ῥίζα ἣν καὶ μαγύδαριν ἐκάλεσαν. ἀριστολοχία μακρά. πηγάνου ἀγρίου σπέρμα. κίσσου τῆς βετονικῆς καλουμένης τὰ φύλλα. δίδοται δὲ ἕκαστον σὺν οἴνῳ < α΄ πλῆθος. ποιεῖ καὶ πολίου ἀφέψημα καὶ σέσελι καὶ πάντα ὑγρὰ λεῖα ἐκλειχόμενα. συντομώτατα δὲ βοηθοῦσι αἱ ἀντίδοτοι. ὧν τὰς σκευασίας περὶ τέλει ἀναγράψομεν. κοινῶς δὲ βοηθητέον τούτοις τὸν τρόπον τοῦτον. δυνατὸν δὲ καὶ ἐκ τῶν παρακολουθούντων συμπτωμάτων, κοινὰ καὶ τὰ βοηθήματα συμπαραλαμβάνεσθαι. σχεδὸν γὰρ αἱ τῶν πλείστων φαρμάκων δυνάμεις, εἰς ὁμοιοτρόπους περιάγουσι τὸ σῶμα διαθέσεις. διὰ τὴν αἰτίαν περὶ τῶν πλείστων τὰ κοινὰ βοηθήματα αὔξει. ποικίλα μὲν γὰρ τὰ δηλητήρια φάρμακα. κοιναὶ δὲ καὶ οὐ πολλαὶ αἱ ἐξ αὐτῶν γινόμεναι διαθέσεις. ἀδύνατον γὰρ πάντα τὰ συμπτώματα ἐν ἑνὶ παρακολουθῆσαι. εἰ γὰρ ἦν τοῦτο, παρέλκει ἂν ἡ καθ' ἕκαστον φαρμάκου διὰ τῶν βοηθημάτων παράδοσις. τό, τε γὰρ ἀλγεῖν στόμαχόν τε λίαν ἢ ἔντερα ἢ ἧπάρ τε ἢ νεφροὺς καὶ κύστιν, ἔτι δὲ λύζειν καὶ δάκνεσθαι ἢ τρέμειν, ἀφώνους τε εἶναι ἢ περιψύχεσθαι,

χεσθαι,

χεσθαι, σπᾶσθαί τε καὶ ἀσφυκτεῖν, καὶ δυσπνοεῖν. καὶ καταφέρεσθαι καὶ σκοτοῦσθαι καὶ πνίγεσθαι καὶ διψᾶν καὶ αἱμορραγεῖν, πυριάσειν τε καὶ δυσουρεῖν. καὶ στροφοῦσθαι. καὶ ἐμεῖν πυκνὰ ἢ ναυτιᾶν. ἐρυθραίνεσθαί τε καὶ πελιδνοῦσθαι καὶ ὠχριᾶν. παραφρονεῖν τε καὶ ῥέγχειν καὶ παρίεσθαι, καὶ ἄλλα πολλὰ ποιεῖν καὶ διάφορα πάσχειν, ἐν ἑνὶ μόνῳ δύσκολον εὑρεῖν περιπτόμενον, ἕκαστον μερισθὲν εἰς καθολικὰς διαθέσεις ὀλίγων ἀριθμὸν καὶ κοινῶν ὑποδεῖξαι συμπτωμάτων. διὸ καὶ ἐφ' ἑνὸς ἑκάστου τῶν προειρημένων οὐκ εὔκολον τὸ εἰλημμένον φάρμακον γνώσκεσθαι. τὸ γὰρ δάκνεσθαι τὸ στόμα καὶ γλῶτταν, καὶ φλεγμαίνειν στόμαχον καὶ κοιλίαν τε καὶ νεφροὺς καὶ κύστιν, δυσουρεῖν τε ἰσχυρῶς, ἐνίοτε δὲ καὶ αἷμα δι' οὔρων προΐεσθαι, καὶ λακιδοῦσθαι. διαπεπρῆσθαί τε πολλὰ μέρη τοῦ σώματος, οὐ μόνον ἐπὶ κανθαρίδων εὑρίσκεται παρακολουθοῦντα, ἀλλὰ καὶ ἐπὶ πιτυοκάμπης καὶ βουπρήστεως καὶ σαλαμάνδρας. τό, τε καταφέρεσθαι ἢ καροῦσθαι ἢ ῥέγχειν, πελιοῦσθαί τε καὶ ναθελᾶν καὶ καταψύχεσθαι καὶ ναρκᾶν, ἀναισθητεῖν τε καὶ ὀδαξᾶσθαι τὸ ὅλον σῶμα, οὐ μόνον τοῖς τὸ μηκώνειον πεπωκόσι παρέπεται, ἀλλὰ καὶ τοῖς μανδραγόραν ἢ κώνειον προσενηνεγμένοις. τό, τε παραφρονεῖν, οὐ μόνον ὑοσκύαμος ἐπιφέρει, ἀλλὰ καὶ τὰ τοξικὰ καλούμενα τῶν φαρμάκων. καὶ ἀκόνιτον δέ, καὶ τὸ μέλι τὸ γινόμενον ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ. καὶ τὸ πνίγεσθαι δὲ οὐ μόνον ἐπὶ μυκήτων ὁρᾶται, ἀλλὰ καὶ ἐπὶ αἵματος ταυρείου. καὶ γάλακτος καὶ ἀκονίτου καὶ γύψου καὶ ψιμμιθίου. καὶ καθόλου δύσκολον ἐπ' αἰσθητῶς εὑρεῖν σημεῖον δυνάμενόν τι τῶν πινομένων καὶ γινομένων φαρμάκων δηλῶσαι, καὶ μάλιστα ὅτι κοινὰ καὶ τοῖς ἄλλοις ἐπιπτομένοις πάθεσι παρακολουθεῖ ταῦτα. πλὴν ἐπὶ μὲν τῶν ἐξίσως ἀναιρούντων, ἔστι που καὶ σημειώσασθαι τὸ βλεπόμενον ὡς παραδώσομεν. ἐπὶ δὲ τῶν χρονίας διαθέσεις παρασκευαζόντων, δύσκολον οὐδὲν πρὸς τὴν θεραπείαν τὸ περὶ τὴν σημείωσιν δυσχεροῦς βλάπτοντος. ἐκφυγόντα γὰρ τὴν ὀξύτητα τῆς ἐνεργείας τὰ φάρμακα, καὶ μεταληφθέντα εἰς χρονίους, κοινῶς λαμβάνει τοῖς λοιποῖς πάθεσι τὰς κατασκευάς, καὶ τὰς βοηθείας, τῆς ἰδιότητος τῶν πινομένων φαρμάκων μηκέτι πινούσης. διαθέσεως δὲ χρονίας κατασκευασμένης ὑπ' αὐτῶν ἡ διάθεσις πάντων εἰς ἕν τι γένος τῶν χρονίων ἐμπίπτει παθῶν. ἐφ' ὧν εὐχερές ἐστι καὶ τὴν θεραπείαν ἀναλαμβάνειν. καὶ τὰ μὲν κοινῶς βοηθοῦντα τοῖς πᾶσιν. οἷς ἀκολούθως ἀναγράψομεν καὶ τὰ ἴδια ἑκάστοις ἁρμόζοντα. προσενθέμενοι ὑφ' ὧν ὅσα φθαρτικὴν ἢ κακωτικὴν ἔχει δύναμιν ἑκάστης τάξεως. καὶ ἵνα πεφυλαγμένως εἴς τινα τῶν πρὸς ὑγείαν ἀναγεγραμμένων φαρμάκων ἔχουσί τινα τούτων μεμιγμένα φάρμακα οἱ φιλιαζοῦντες οἷς χρῶνται. τὸ γὰρ ἀπερίσκεπτον μεγάλας ἐπιφέρει βλάβας. καὶ πολλάκις διὰ τὴν συνεχῆ χρῆσιν αὐτῶν, ἀπωλείας αἴτια γίνεται. ζῷα μὲν οὖν ἐστι φθαρτικὰ τάδε. κανθαρίδες. βούπρηστις. σαλαμάνδρα. πιτυοκάμπη. λαγωὸς θαλάσσιος. φρύνος ὁ λεῖος. βάτραχος ἔλειος ἄφωνος. βδέλλα καταποθεῖσα. σπερμάτων ὑοσκύαμος. κόριον. κώνειον. μελάνθιον. ψύλλιον. ὀπισμάτων δὲ μηκώνειον. ὀπὸς καρπάσου. θαψίας χυλός. ἐλατήριον. μανδραγόρας ῥιζῶν δὲ χαμαιλέων. ἀκόνιτον. θαψία. ἐλλέβορος. ἰξίας. ἀγαρικὸν τὸ μέλαν. ἐφήμερον ὃ ἔνιοι κολχικὸν καλοῦσι διὰ τὸ ἐν Κολχίδι γίνεσθαι. τῶν δὲ λαχάνων, σμίλαξ. ἣν ἔνιοι τιθύμαλον. ῥωμαῖοι δὲ τάξιον ἢ τάξον καλοῦσι. στρύχνον μανικὸν ὃ καὶ δορύκνι-

(ον καλοῦσιν. ἥ τε σαρπηδόνιος πα-

συβατραχίου εἶδος. μήκων. κεραστίτης. φθειρικόν. τοξικόν. πήγανον ἄγριον. μύκητες. ἀπὸ ζώων δὲ αἷμα ταύρειον νεαρόν. τὸ ἐμπυτιασθὲν γάλα. μέλι τε τὸ ἐν ἡρακλείᾳ τῇ ποντικῇ γινόμενον. μεταλλικὰ δὲ, γύψος. ψιμμύθιον. τίτανος. ἀρσενικόν. σανδαράχαι δύο. λιθάργυρος. ἀδάρκη. μόλιβδος. καὶ ἡ καλουμένη ὑδράργυρος. τῶν δὲ στεμφύλων, οἶνος ἄθρους ποθεὶς πολὺς ἀπὸ βαλανείου ἢ γλυκύς. ἢ ψυχρὸς ὁμοίως.

## Περὶ κανθαρίδων. κε. ϑμδ.

Τοῖς οὖν κανθαρίδας προσενηνεγμένοις, παρέπεται χαλεπώτατα συμπτώματα. σχεδὸν γὰρ ἀπὸ τοῦ στόματος μέχρι κύστεως πάντα δάκνεσθαι δοκεῖ αὐτοῖς. καὶ κατὰ τὴν γεῦσιν, πίσσῃ ἢ κεδρίᾳ ὁμοιόν τι ἐγγίνεσθαι. φλεγμαίνουσι δὲ τὸ δεξιὸν ὑποχόνδριον καὶ δυσουροῦσι. πολλάκις δὲ αἷμα προΐενται διούρων. φέρεται δὲ αὐτοῖς κατὰ κοιλίαν ὅμοια τοῖς ἐπὶ δυσεντερικῶν. λειποθυμίαις τε καὶ ἄσαις καὶ σκοτοδινίαις περιπίπτουσιν. ὕστερον δὲ παραφέρουσι τὴν διάνοιαν. δεῖ οὖν πρὸ τοῦ παρακολουθῆσαί τι τούτων, ἀναγκάζειν ἐμεῖν. διδόντας αὐτοῖς τὸ ἔλαιον. ἢ ἄλλο τι τῶν προειρημένων. καὶ μετὰ τὸ κομίσασθαι τὰ πλεῖστα διὰ τῶν ἐμέτων, ἐνιέναι διακλυστῆρος χυλὸν χόνδρου, ἢ ὀρύζης, ἢ τράγου. ἢ πτισάνης, ἢ μαλάχης ἀφέψημα, ἢ λινοσπέρμου, ἢ τήλεως. ἢ τῶν ῥιζῶν τῆς ἀλθαίας ἣν ἐβίσκον ὀνομάζουσι ῥωμαῖοι. ἐπιδιδόναι τε αὐτοῖς νίτρον. σὺν ὑδρομέλιτι πρὸς τὸ καταβιβάσαι καὶ ἐκλέξαι τὰ ἔτι περιεχόμενα τῷ στομάχῳ καὶ ἐντέροις. καὶ ἐὰν μὴ διακοπῇ, κἂν οὖν δεῖ μελίκρατον ἐγχέοντας μετὰ νίτρου καὶ ἐπιδιδόναι οἶνον ἢ γλυκύ. συντετριμμένων αὐτῷ στροβίλων καὶ σικύων σπέρματος. ἢ γάλακτος ἢ μελικράτου. ἢ στέαρ χήνειον συντετηκὸς ἐν γλυκεῖ. τὰ δὲ φλεγμαίνοντα μέρη καταπλάσσοντας κριθῶν ἀλεύρῳ ἑψημένῳ μετὰ μελικράτου. κατ᾽ ἀρχὰς μὲν οὖν παραλαμβανόμενα τὰ καταπλάσματα, βλάπτει διὰ τὸ ὑπὸ τῆς ἐγγινομένης θερμασίας καὶ πέττεσθαι τὸ διαφορητικόν στηρίζον ἐπὶ τοὺς τόπους ὄντας κυρίους. χρονισθέντων δὲ ὠφελεῖ τὰς χαλεπωτάτας φλεγμονάς. παρηγοροῦντα καὶ παραμυθούμενα τὰς ἀλγηδόνας. ἐν δὲ τούτῳ τῷ καιρῷ ἁρμόζει πρὸς λιπαρὰς, ἐλαίῳ θερμαντικῷ τὸ σῶμα λούειν, καθιέντας εἰς ἔμβασιν. ἑκάστω δὲ ἡ ἰατρεία, διὰ τῆς ἐπιφανείας τὰ ἐπιβλαβῆ παρατιθέντα τῷ σώματι ἐκκενοῦσθαι. ἐν καθόλου συνεχῶς δεῖ κινεῖν τὰς ἐκκρίσεις, πρὸς τὸ μὴ ἔμμονον κατασκευὴν λαμβάνειν τὴν διάθεσιν. διδόναι δὲ καὶ κρέα ὀρνίθεια καὶ δελφάκια καὶ ἐρίφεια. λιπαρὰ δὲ ταῦτα καὶ ἁπαλώτατα καὶ καθεψημένα σὺν λινοσπέρμῳ. εὐκοίλια γάρ ἐστι καὶ ἀμβλυντικὰ τῶν δριμέων καὶ οἶνον γλυκὺν καὶ πολύν. ἁρμόζει δὲ ποιοῦντα ὁ λιβάνου φλοιός. καὶ τῆς καλουμένης ἀστέρος· ἑκάστου ∠ δ΄. μετὰ γλυκέος ∠ ά λαμβανόμενα. γλήχων τε μεθ᾽ ὕδατος τριφθεὶς καὶ ἴρινον ἢ ῥόδινον μετὰ πηγάνου ἀφεψήματος. καὶ ἀμπέλου ἀκρέμονες ἁπαλοὶ λεῖοι μετὰ γλυκέος. δυνατώτατα δὲ πάντων βοηθοῦσιν αἱ ἀντίδοτοι πινόμεναι σὺν μελικράτῳ πλῆθος ∠ δ΄.

## Περὶ πιτυοκάμπης. κε. ϑμέ.

Τοῖς δὲ πιτυοκάμπην λαβοῦσιν εὐθέως πόνος περὶ τὸ στόμα καὶ τὸν οὐρανίσκον παρακολουθεῖ. φλεγμονή τε ἰσχυρὰ γλώσσης καὶ στομάχου καὶ κοιλίας. καὶ ἐντέρων πόνος ἰσχυρὸς μετὰ τοῦ δοκεῖν ὀδάξεσθαι τὰ ἐντός. πύρωσίς τε καθόλου τὸ σῶμα καὶ ἄση. τούτοις βοηθητέον ὁμοίως τοῖς τὰς κανθαρίδας πεπωκόσιν. ἰδίως δὲ ἐπὶ τούτων ἀρμόζει αντὶ ἐλαίου τοῦ λιτοῦ καὶ ἴρινον τὸ μήλινον. κατασκευαζόμενον ἐκ μήλων κυδωνίων καὶ ἐλαίου.

περὶ

### Περὶ βουπρήστεως.

Τοῖς δὲ βούπρηστιν πεπωκόσι, δοκεῖ κατὰ τὴν γεῦσιν ὁμοιόν τι βρωμώδει νίτρῳ. παρακολουθεῖ δὲ ἄλγημα στομάχου καὶ κοιλίας σφοδρόν, ὄγκος τε στομάχου καὶ κοιλίας σφοδρὸς ὁμοίως ὑδρωπικοῖς. καὶ περιτείνεται αὐτοῖς ἡ ἐπιφάνεια ὅλου τοῦ σώματος. τά τε οὖρα ἐπέχεται. βοηθεῖ δὲ αὐτοῖς ὅσα καὶ τοῖς κανθαρίδας πεπωκόσιν. ἰδίως δὲ ὠφελοῦνται μετὰ τὸ τῶν ἐμέτων καὶ τοῦ κλυστῆρος κενωθῆναι σῦκα ξηρὰ λαμβάνοντες. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν σὺν οἴνῳ. παρακμάζοντος δὲ τοῦ κατεπείγοντος κινδύνου, ὠφελοῦνται Θηβαϊκὰς βαλάνους ἐσθίοντες. ἢ λελεασμένας σὺν οἰνομέλιτι ἢ γάλακτι πίνοντες. ἢ καὶ ἀπίων ἅπαν τὸ γένος ἐσθίοντες καὶ γάλα γυναικεῖον πίνοντες.

### Περὶ σαλαμάνδρας.

Τοῖς δὲ σαλαμάνδραν λαβοῦσι, παρέπεται γλώσσης φλεγμονή. καὶ διανοίας ἐμποδισμὸς καὶ τρόμος μετὰ νάρκης ἢ φρίκης τινὸς καὶ ἐκλύσεως. πελιοῦται δέ τινα μέρη κυκλοτερῶς αὐτοῖς τοῦ σώματος. ὡς πολλάκις ἐμμείναντος τοῦ φαρμάκου, σηπόμενα ἀπορρεῖν, ἐφ' ὧν πάντα ποιησόμεθα ὅσα καὶ ἐπὶ κανθαρίδων. ἰδιαίτερον αὐτοῖς προσφέρομεν φάρμακον ῥητίνην τὴν πιτυΐνην. ἢ χαλβάνην σὺν μέλιτι ἀντὶ ἐκλεικτοῦ. καὶ χαμαιπίτυος ἀφέψημα. συνεψηθέντων αὐτῷ στροβίλων. ἢ κνίδης φύλλα συνεψηθέντα κρίνῳ μετ' ἐλαίου. ποιεῖ δὲ ἐπ' αὐτῶν καὶ θαλασσίας χελώνης ἢ χερσαίας ὠά, ὁποία ἂν ᾖ, ἑψημένα. καὶ βατράχων ζωμός. συγκαθεψηθείσης αὐτοῖς ἠρυγγίου ῥίζης.

### Περὶ ἐφημέρου.

Τοῖς δὲ τὸ ἐφήμερον λαβοῦσιν ὃ ἔνιοι καλοῦσι κολχικὸν ἢ βολβὸν ἄγριον, παρακολουθεῖ κνησμὸς καθόλου τὸ σῶμα. ὡς ὑπὸ σκίλλης ἢ κνίδης ἐρεθιζομένοις. τὰ δὲ ἐντὸς δάκνονται. καυσοῦνται δὲ τὸν στόμαχον μετὰ βάρους ἱκανοῦ. ἐπιχύοντος δὲ τοῦ πάθους, κατὰ κοιλίαν φέρεται αἱματώδη, ξύσμασι μεμιγμένα. οἷς βοηθητέον καθάπερ καὶ τοῖς σαλαμάνδραν πεπωκόσι διά τε ἐμέτων καὶ κλυσμάτων. πρὸ δὲ τοῦ ἐνισχῦσαι τὸ φάρμακον, μεταδοτέον αὐτοῖς δρυὸς τῶν φύλλων ἢ βαλάνων ἢ σιδίων ἀφέψημα, ἢ ἑρπύλλου σὺν γάλακτι πίνειν. ἢ πολυγόνου χυλὸν ἢ ἀμπέλου ἀκρεμόνων. ἢ βάτου ἢ νάρθηκος ἁπαλοῦ σὺν ἐντεριώνῃ. ἢ μύρτου μετ' οἴνου. αὐτὰ δὲ τὰ μύρτα λεῖα κοπέντα καὶ ἀποβραχέντα ἐν ὕδατι, βοηθεῖ τοῦ ἐξ αὐτῶν ὑγροῦ λαμβανομένου. ποιεῖ δὲ ὡσαύτως καὶ ὁ τῶν σαρδονίων βαλάνων ὑμὴν μέσος. ὠμὸς λαμβανόμενος μετά τινος τῶν προειρημένων χυλῶν. ὀρίγανός τε σὺν κονίᾳ ποθεῖσα. ἀκριβῶς δὲ βοηθοῦνται οἱ τὸ ὄνειον ἢ βόειον γάλα θερμὸν πίνοντες καὶ κατέχοντες ἐν τῷ στόματι. ὥστε γοῦν διαπρήσαντας τοῦτον, ἄλλου μηδενὸς χρῄζειν βοηθήματος.

### Περὶ δορυκνίου.

Δορυκνίου δὲ ποθέντος ὃ ἔνιοι στρύχνον μανικὸν ἐκάλεσαν, παρακολουθεῖ ὡς περὶ γάλακτος ποιότης ἐν τῇ γεύσει, καὶ λυγμοὶ συνεχεῖς. γλώττης τε ὑγρότης. καὶ αἵματος ἀναγωγὴ ἀθρόα. κατὰ κοιλίαν δὲ αὐτοῖς μυξώδη φέρεται ὡς ἐπὶ δυσεντερικῶν. οἷς βοηθεῖ πρὸ τοῦ ἴστων τι παρακολουθῆσαι ἃ καὶ τοῖς προειρημένοις. ὅ, τε ἔμετος καὶ τὸ κλύσμα. καὶ ὅσα δύναται τὸ ποθὲν ἐκκρίνειν φάρμακον. ἰδίως δὲ ἐπ' αὐτῶν βοηθεῖ τὸ μελίκρατον ἢ ὄνειον ἢ αἴγειον γάλα. καὶ γλυκὺς οἶνος χλιαρὸς μετ' ἀνίσου πινόμενος. καὶ ἀμύγδαλα πικρά. στήθη τε ὀρνίθεια καθεψημένα. καὶ πάντα τὰ κογχύλια ὠμὰ καὶ

ὀπτὰ ἐσθιόμενα. καὶ κάραβοι. καὶ ἀστακοί. καὶ ὁ ἐξ αὐτῶν ζωμὸς πινόμενος.

Περὶ ἀκονίτου. κεφ. ξι'.

Τὸ δ' ἀκόνιτον εὐθέως ἅμα τῷ ποθῆναι γλυκαίνει τὴν γλῶσσαν μετά τινος στύψεως. καὶ ἀπὸ τοῦ γλυκασμοῦ σκοτοδινίαν, καὶ μάλιστα ἐν τῷ ἐξανίστασθαι, καὶ ὑγρότητας ὀφθαλμῶν ἐπιφέρει. βάρος τε θώρακος. καὶ ὑποχονδρίου μετὰ τοῦ πολλὰ πνεύματα ἀποδιδόναι. ἐφ' ὧν δι' ἐμέτων ἐκκομισθῆναι δεῖ τὸ φάρμακον. ἢ καὶ διὰ κλυστῆρος ὑποβιβασθῆναι ὑπὸ κοιλίαν, χρησόμεθα προποτισμῷ ὀριγάνῳ. ἢ πηγάνῳ. ἢ πρασίῳ. ἢ ἀψινθίου ζέματι μετ' οἴνου ἀψινθίτου, ἢ ἀξζώου, ἢ ἀβροτόνου, ἢ χαμελαίας, ἢ χαμαιπίτυος. ἁρμόζει δὲ αὐτοῖς καὶ ὀποβαλσάμου ὁλκὴ L' α σὺν μέλιτι ἢ γάλακτι μετὰ καστορίου καὶ πεπέρεως καὶ πηγάνου ἴσης ὁλκῆς σὺν οἴνῳ. καὶ πυτία ἐρίφου. καὶ λαγωοῦ ἢ νέβρου σὺν ὄξει. καὶ σιδήρου σκωρία, ἢ αὐτὸς ὁ σίδηρος, ἢ χρυσὸς, ἢ ἄργυρος διάπυρος ἐν οἴνῳ σβεσθέντα. τοῦ ὑγροῦ λαμβανομένου. κονία τε σὺν οἴνῳ καὶ ὄρνιθι καθεψηθείσῃ. ἢ κρεῶν λιπαρῶν βοείων ζωμὸς, λαμβανόμενος σὺν οἴνῳ. λέγεται δὲ καὶ ἡ χαμαιπίτυς ἰδίως ἐπὶ τούτων ἁρμόζειν.

Περὶ τοῦ ἐν ἡρακλείᾳ μέλιτος. κεφ. ξια'.

Μέλι τὸ ἐν ἡρακλείᾳ τῇ ποντικῇ, ἐν ᾗ καὶ τὸ ἀκόνιτον γεννᾶται. ἀθήνησι δ' ἰωνία καλεῖται. ἐν εὐβοίᾳ σιδηρῖτις. ὁμοίως δὲ πάσχουσιν οἱ ἐν ἡρακλείᾳ τῇ ποντικῇ τὸ μέλι γινόμενον φαγόντες, ἢ πιόντες, ἐφ' ὧν ἁρμόζει τὰ αὐτὰ τῷ ἀκονίτῳ. εἰσὶ δὲ εὐβοήθητοι μάλιστα ὠφελούμενοι ὑπὸ οἰνομέλιτος συνεχῶς αὐτὸ πίνοντες. μισγομένων αὐτῷ πηγάνου φύλλων.

Περὶ κορίου. κεφ. ξιβ'.

Τὸ δὲ κόριον, λαβεῖν μὲν οὐ δύναται διὰ τὴν ὀσμὴν, ποθὲν δὲ τὴν φωνὴν δασύνει καὶ μανίαν ἐπιφέρει ὁμοίαν τοῖς διὰ μέθην λαβοῦσι μετ' αἰσχρολογίας. καθόλου δὲ τοῦ σώματος αὐτῶν, ἡ ὀσμὴ διαφαίνεται τοῦ κορίου. βοηθεῖ δὲ αὐτοῖς μετὰ τὸ ἐξαιρεθῆναι διὰ τοῦ ἰρίνου ἐλαίου ὡς προείρηται, ἄκρατος σὺν ἀψινθίῳ πινόμενος. καὶ καθ' ἑαυτὸν ἢ ἔλαιον ὥστε κενωθέντα ἐπὶ τὸ αὐτὸ καὶ διενεχθέντα σὺν ἅλμῃ ῥοφούμενα. καὶ ἅλμη δὲ πινομένη καὶ ζωμὸς ἁλμυρὸς ἔκ τε ὄρνιθος καὶ χηνός. γλυκύς τε σὺν κονίᾳ παραλαμβανόμενος.

Περὶ ψυλλίου. κεφ. ξιγ'.

Καὶ τὸ ψύλλιον δὲ καλούμενον ποθὲν, ἐπιφέρει ψύξιν ὅλου τοῦ σώματος. καὶ νάρκην μετ' ἐκλύσεως καὶ ἀθυμίας. οἷς βοηθεῖ πάντα ὅσα τοῖς κόριον πεπωκόσι.

Περὶ κωνείου. κεφ. ξιδ'.

Κώνειον δὲ ποθὲν ἐπιφέρει σκοτώματα καὶ ἀχλύν. ὥστε μὴ διαβλέπειν. λυγμόν τε καὶ διανοίας παραφοράν. καὶ ψύξιν ἄκρων. ἐπὶ τέλει δὲ σπώμενοι πνίγονται. στάσιν λαμβάνοντος τοῦ κατὰ τὴν ἀρτηρίαν πνεύματος. κατ' ἀρχὰς μὲν οὖν ὡς καὶ ἐπὶ τῶν ἄλλων διὰ τῶν ἐμέτων αὐτὸ κομιούμεθα. ἔπειτα κλύσματι χρησάμενοι, τὸ εἰς τοὔντερα παρολισθῆσαν ἐκκρινοῦμεν. καὶ τό τε ὡς τῶν μέγιστον βοήθημα τὴν ἀκρατοποσίαν παραληψόμεθα. διδόντες μεταξὺ διαστήματα ἐν οἷς πιεῖν διδόμενον βοηθεῖ γάλα ὄνειον ἢ βόειον ἢ ἀψίνθιον μετὰ πεπέρεως καὶ οἴνου, καὶ καστορίου καὶ πηγάνου καὶ ἡδυόσμου σὺν οἴνῳ. ἢ ἀμώμου ἢ καρδαμώμου ἢ στύρακος δραχμὴ α. ἢ πεπέρεως μετὰ κνίδης σπέρματος σὺν οἴνῳ. ἢ δάφνης τὰ φύλλα. ὁμοίως τε σιλφίου ὀπὸς σὺν ἐλαίῳ καὶ γλυκεῖ. καὶ ὁ γλυκὺς δὲ καθ' ἑαυτὸν πολὺς πινόμενος, ἱκανῶς ἁρμόζει.

Περὶ σμίλακος. κεφ. ξιε'.

Η δὲ καλουμένη σμίλαξ, ὑπὸ τινῶν δὲ θύμιον καὶ παρὰ ῥωμαίοις τάξος ποθεῖσα ἐπιφέρει ψύξιν καθόλου τοῦ σώματος. καὶ πνιγμόν. ὀξύν τε τὸν θάνατον. οἷς βοηθεῖ πάν-

τι δὲ καὶ τοῖς τὸ κώνειον πεπωκόσι.

Περὶ ὀποῦ καρπάσου. κεφ. νς'.

Καὶ ὁ τῆς καρπάσου ὀπὸς, ποθεὶς κάρον ἐπιφέρει καὶ πνιγμὸν ὀξύν. βοηθοῦνται δὲ καὶ οὗτοι ὑφ' ὧν καὶ οἱ τὸ κώνειον πεπωκότες.

Περὶ σαρδονίας πόας. κεφ. νζ'.

Ἡ δὲ σαρδόνιος λεγομένη πόα, βατράχου εἶδος οὖσα, ποθεῖσα ἢ βρωθεῖσα, παραφθορὰν διανοίας ἐπιφέρει καὶ σπάσματα μετὰ συνολκῆς χειλέων. ὥστε γέλωτος φαντασίαν παρέχειν. ὑφ' ἧς διαθέσεως καὶ ὁ σαρδόνιος γέλως οὐκ εὐφήμως ἐν τῷ βίῳ καθωμίληται. ἐφ' ὧν ἰδίως καὶ μετὰ τὸν ἔμετον, ἁρμόζει μελίκρατον πολὺ διδόμενον καὶ γάλα. ἐμβροχή τε καὶ λιπασμὸς ὅλου τοῦ σώματος διὰ θερμαντικῶν φαρμάκων. καὶ ἐμβάσεις δι' ὑδρελαίου θερμοῦ. ὑπαλείφειν μέντοι ἑκάστοτε δεῖ καὶ ἀνατρίβειν μετὰ τὴν ἔμβασιν αὐτούς. καθόλου δὲ ὡς πρὸς σπασμὸν, ὅλην τὴν θεραπείαν δεῖ ποιεῖσθαι.

Περὶ ὑοσκυάμου. κεφ. νη'.

Ὑοσκύαμος δὲ ποθεὶς ἢ βρωθεὶς παρακοπὴν τοῖς μεθύουσιν ὁμοίαν ἐπιφέρει. ἔστι δ' εὐίατος. βοηθούμενος μελικράτῳ πολλῷ ποτιζομένῳ. καὶ γάλακτι μάλιστα ὀνείῳ. εἰ δὲ μή γε αἰγείῳ ἢ βοείῳ, ἢ σύκων ξηρῶν ἀφεψήματι. ποιοῦσι δὲ ἐπ' αὐτῶν καὶ στρόβιλοι. καὶ τὸ σικύων σπέρμα σὺν γλυκεῖ λαμβανόμενον. καὶ ἁλμυρὸς οἶνος σὺν στέατι ὑείῳ νεαρῷ καὶ γλυκεῖ. καὶ κνίδης σπέρμα ὁμοίως. ἢ νίτρον σὺν ὕδατι ἁρμόζει καὶ κιχώριον. καὶ νᾶπυ. καὶ κάρδαμον καὶ ῥάφανοι καὶ κρόμμυα. καὶ σκόροδα. ἕκαστον τούτων σὺν οἴνῳ λαμβανόμενον. ἡσυχάζειν δὲ αὐτοὺς ἀναγκάζειν δεῖ ὅπως τὸν οἶνον ἐκπεπωκότες ἐκπέψωσι.

Περὶ μανδραγόρου. κεφ. νθ'.

Μανδραγόρου δὲ ποθέντος, εὐθέως κάρος ἐπακολουθεῖ καὶ ἔκλυσις. καταφορά τε ἰσχυρὰ κατὰ μηδὲν διαφέρουσα πάθους τοῦ λεγομένου ληθάργου, ὧ πρὸ τοῦ τι τούτων συμβῆναι, ἁρμόζει ὅ, τε ἔμετος καὶ μελίκρατον. καὶ μετὰ τούτου καὶ νίτρον. καὶ ἀψίνθιον σὺν γλυκεῖ ἢ οἴνῳ γλυκάζοντι λαμβανόμενον. καὶ ἡ τῆς κεφαλῆς ἐμβροχὴ διὰ ῥοδίνου καὶ ὄξους. καὶ διέγερσις δὲ καὶ κίνησις τοῦ σώματος. καὶ ἡ δι' ὀσφραντῶν καὶ εὐπταρμίου καὶ πεπέρεως καὶ νάπυος καὶ καστορίου καὶ πηγάνου ὄξει τετριμμένων, καὶ πίσσης ὑγρᾶς καὶ τῶν κεκαυμένων καὶ ἐσβεσμένων ἐλλυχνίων. δυσανακλήτως δὲ αὐτῶν ἐχόντων, καὶ πταρμικὰ ἐπάγειν. καὶ τοῖς ἄλλοις κοινοῖς βοηθήμασι συγχρῆσθαι ἐπὶ τούτων.

Περὶ μήκωνος. κεφ. ξ'.

Μήκωνος δὲ ὀποῦ ποθέντος, παρακολουθεῖ καταφορὰ μετὰ καταψύξεως καὶ κνησμοῦ ἐπιτεταμένου. ὡς πολλάκις ἐνισχύοντος τοῦ φαρμάκου, ἐπιγίνεσθαι τοσοῦτον κνησμὸν, ὥστε διεγείρεσθαι ὑπ' αὐτοῦ. ὀσμή τε τοῦ φαρμάκου δι' ὅλου τοῦ σώματος ἐκδίδοται. οἷς βοηθεῖ μετὰ τὸν τοῦ ἐλαίου ἔμετον, καὶ κλυστηριασμὸς δριμεῖ κλύσματι, ὀξύμελι ἁλσὶ πινόμενον ἢ μέλι σὺν ῥοδίνῳ θερμῷ. καὶ ἄκρατος πολὺς σὺν ἀψινθίῳ ἢ κινναμώμῳ. ἢ ὄξος θερμὸν καθ' αὑτό. νίτρον τε σὺν ὕδατι, καὶ ὀρίγανον σὺν κονίᾳ ἢ γλυκεῖ. πηγάνου τε ἀγρίου σπέρμα σὺν πεπέρει καὶ οἴνῳ καὶ σινάπει. πέπερί τε μετὰ καστορίου ὀξυμέλιτος. ἢ μετὰ θύμβρας ἢ ὀριγάνου ἀφεψήματος σὺν οἴνῳ. δεῖ δὲ καὶ αὐτοὺς διεγείρειν ταῖς ὀσφρανταῖς ταῖς καλουμέναις καὶ ἐμβιβάζειν εἰς θερμὸν καὶ πυριᾶν διὰ τὸν ἐπιπονώμενον κνησμόν. ὀνήσει αὐτοὺς καὶ μετὰ τὸ λουτρὸν χρῆσθαι ζωμοῖς λιπαροῖς μετὰ οἴνου ἢ γλυκέως καὶ μυελὸς δὲ μετὰ ἐλαίου πινόμενος.

Περὶ μήκωνος κερατίτιδος. κεφ. ξα'.

Ἡ δὲ λεγομένη κερατῖτις μήκων, ἐν τῷ βρωθῆναι ἢ ποθῆναι τὰ αὐτὰ ἐπιφέρουσα τῷ ὀπῷ τῆς μήκωνος συμπτώματα, τοῖς αὐτοῖς βοηθήμασιν ὑποπίπτει.

Περὶ φρύνου. κεφ. ξβ'.

Τὸ δὲ καλούμενον φρύνιον, τὴν μὲν γεῦσιν πᾶσαν καρδιαλγίαν ἔοικεν. ἐπιφέρει δὲ παράλυσιν

ποθεῖν μετὰ παρακοπῆς καὶ σπασμοῦ. δεῖ δὲ μετὰ τὸ ἐξεμέσαι αὐτούς, ποτίζειν οἶνον ἀψινθίτην, σὺν κινναμώμῳ ἢ σμύρνῃ ἢ νάρδῳ κελτικῇ, ἣν ἔνιοι σερίνην ἐκάλεσαν. ἢ νάρδου στάχυος ὁλκὰς β' καὶ σμύρνης β' ὀβολοὺς μεμιγμένους σὺν γλυκεῖ. ἰδίᾳ τε καὶ ῥοδίνῳ ἀλείφειν σὺν οἴνῳ, καταπλάσσειν δὲ τὴν κεφαλὴν αὐτῶν ξυρήσαντας, κριθίνῳ ἀλεύρῳ σὺν πηγάνῳ λείῳ καὶ ὄξει.

## Περὶ τοξικοῦ. ξγ'.

Τὸ δὲ τοξικὸν, δοκεῖ μὲν ὠνομάσθαι, ἐκ τοῦ τὰ τόξα τῶν βαρβάρων ὑπ' αὐτοῦ χρίεσθαι. παρακολουθεῖ δὲ τοῖς πεπωκόσι χειλῶν καὶ γλώττης φλεγμονή. μανία τε ἀκατάσχετος. ποικίλαις περιβάλλουσα φαντασίαις. ὡς καὶ διὰ τοῦτο δυσιάτους εἶναι ἐν ταῖς θεραπείαις. σπανίως δὲ καὶ σώζεσθαί τινας τῶν πεπωκότων. δεῖ μέντοι συνέχειν αὐτοὺς δεσμοῖς ἀναγκάζοντας καὶ βιαζομένους γλυκὺν οἶνον σὺν ῥοδίνῳ πίνειν καὶ ἐξεμεῖν. ποτέ τε τὸ γογγυλίδος σπέρμα πινόμενον. ἰδίως δὲ πᾶσι τούτων ἁρμόζει καὶ ἡ τῆς πενταφύλλου ῥίζα. αἷμά τε τράγου ἢ αἰγὸς ὁμοίως λαμβανόμενα, δρυός τε φλοιὸς ἢ φηγοῦ ἢ πρίνου γάλακτι συνεκλεανθείς. καὶ μῆλα κυδώνια ἐσθιόμενα λεῖα. ἢ σὺν γλίχωνι καὶ ὕδατι πινόμενα. ἄμωμόν τε καὶ βαλσάμου καρπὸς σὺν οἴνῳ. εἴτινες αὐτοῦ φύγοιεν τὸν κίνδυνον, πολὺν χρόνον κλινοπετεῖς διαμένουσι. καὶ ἀναστάντες ἐπισημείοι τὸν λοιπὸν χρόνον διάγουσι.

## Περὶ ἰξίου. ξδ'.

Ἰξίας δὲ ὃς καὶ οὐλόφονον καλεῖται ἐν τῷ πίνεσθαι, οἷόν τι ὠκίμου κατὰ τὴν ὀσμὴν καὶ κατὰ τὴν γεῦσιν ἐμφαίνει. ἐπιφέρει δὲ γλώσσης φλεγμονὴν ἰσχυράν. καὶ παρακοπήν. καὶ τὰς ἐκκρίσεις ἐπέχει πάσας. βορβορυγμούς τε καὶ ψόφους μετὰ λειποθυμίας ἐπιφέρει δίχα τοῦ προχωρεῖν τι. βοηθεῖ δὲ αὐτοῖς μετὰ τὸ ἐξεμέσαι τὸ πλεῖον ἢ μετὰ τὸ τὴν κοιλίαν λυθῆναι, πινόμενον ἀψινθίου ἀπόβρεγμα σὺν οἴνῳ πολλῷ, ἢ ὀξυμέλιτι. πηγάνου τε ἀγρίου σπέρμα ἢ σιλφίου ῥίζα. ὁμοίως τε τραγοριγάνου ἀφέψημα σὺν τινὶ τῶν προειρημένων. ἢ γάλακτι. ἢ ῥητίνη τερεβινθίνη, ἢ νάρδου, ἢ καστορίου, ἢ σιλφίου, ἑκάστου ὀβολὸς ἁρμόζουσι σὺν οἴνῳ. καὶ οἱ τῆς βασιλικῆς καρύας καρποὶ λεῖοι σὺν ῥητίνῃ καὶ καστορίῳ καὶ πηγάνῳ. ἑκάστου ∠ α'. ὁμοίως χαμελαίας ∠ β'. ἢ θαψίας ἢ ἀψινθίου χυλὸς ∠ β' σὺν μελικράτῳ, ὄξος θερμὸν πινόμενον.

## Περὶ ψιμμυθίου. ξε'.

Τὸ δὲ ψιμμύθιον λαβεῖν οὐ δύναται διὰ τὸ χρῶμα ἀκουσίως. ὁ ληφθεὶν λευκαίνει τὸν οὐρανίσκον καὶ τὰ οὖλα καὶ τὴν γλῶτταν καὶ τὸ μεταξὺ τῶν ὀδόντων. ἐπιφέρει δὲ λυγμὸν καὶ βῆχα καὶ γλώττης ξηρότητα καὶ ψύξιν ἀκρωτηρίων μετὰ παρακοπῆς καὶ δυσκινησίας. οἷς ἁρμόζει μελίκρατον διδόναι ἢ σύκων ἢ μαλάχης ἀφέψημα. ἢ γάλα θερμὸν ἢ σήσαμον λεῖον μετὰ οἴνου. ἢ κονίας κληματίνης. ἢ ἀμαράκινον ἔλαιον ἢ ἴρινον. ἢ περσικῶν τὰ ὀστᾶ σὺν κρίνου ἀφεψήματι. περιστερῶν δὲ ᾠὰ σὺν λιβάνῳ ἢ ἰρίνῳ ἀφεψήματι. ἢ κοκκυμήλοις. ἢ κόμμει τῆς ἐλαίας. ἢ τὸ ἐν τοῖς φύλλοις τῆς ἐλαίας ὑγρὸν μετὰ χλιαροῦ ὕδατος. ἐμείτωσαν δέ. ἁρμόζει δὲ πᾶσι τούτοις καὶ θαψίας χυλὸς, ἢ σκαμμωνίας ὀπὸς σὺν μελικράτῳ πινόμενα.

## Περὶ μυκήτων. ξς'.

Μυκήτων δὲ οἱ μὲν, τῷ γένει βλάπτουσιν. οἱ δὲ τῷ πλήθει. ἐπιφέρουσι δὲ πάντες πνιγμοὺς ἐοικότας ἀγχόναις. οἷς εὐθέως βοηθεῖν δεῖ κοινῶς, ἀναγκάζοντας ἐμεῖν δι' ἐλαίου. θαυμαστῶς δὲ ὠφελοῦνται πίνοντες κονίαν κληματίνην, ἢ ἐξ ἀχράδων ξύλων, μετὰ ὀξυκράτου καὶ ἁλῶν ἢ νίτρου. καὶ συνεψόμεναι δὲ αἱ ἀχράδες ἢ τὰ φύλλα τοῖς μύκησιν ἀφαιροῦνται

φθειροῦνται τὸ πνιγῶδες αὐτῶν. ἐσθιόμεναι δὲ ὠφελοῦσι. βοηθεῖ δὲ αὐτοῖς ἀλεκτορίδων ᾠὰ σὺν ὀξυκράτῳ πινόμενα μετὰ ἀριστολοχίας ὁλκῆς α. καὶ ἀψίνθιον σὺν οἴνῳ καὶ μέλιτι ἐσθιόμενον καὶ πινόμενον σὺν ὕδατι, μελισσόφυλλόν τε σὺν νίτρῳ, πολλάκις τε ῥίζα σὺν οἴνῳ τρυγός τε οἴνου κεκαυμένη μεθ' ὕδατος, καὶ χαλκοῦ ἄνθος σὺν ὄξει. ῥάφανός τε ἢ νάπυ ἢ καρδάμωμον ἐσθιόμενα.

## Περὶ γύψου. κεφ. ξζ.

Καὶ ἡ γύψος πνιγμὸν ἐπιφέρει λιθουμένη. ὅθεν καὶ τούτοις ἁρμόζει διδόναι τὰ πρὸς τοὺς μύκητας βοηθήματα καὶ ἐπὶ τούτων τὸ τῆς μαλάχης ἀφέψημα. ὃ παραληπτέον ἀντὶ τοῦ ἐλαίου. λιπαρὸν γὰρ ὂν καὶ ἐν τῷ ἐξεμεῖσθαι ὄλισθον ἐμποιοῦν, οὐκ ἐᾷ καταξύεσθαι τὰ σώματα. λιθουμένη γὰρ ἡ γύψος ἐργάζεται τοῦτο. ἁρμόζει δὲ καὶ τὸ ἔλαιον σὺν μελικράτῳ ἢ σύκων ἀφεψήματι, καὶ κονία συκίνη ἢ κληματίνη σὺν οἴνῳ πολλῷ πινομένη, καὶ ὀρίγανος ἢ θύμος σὺν κονίᾳ, ἢ ὄξει ἢ γλυκεῖ. δεῖ δὲ καὶ τοὺς τόπους ἀποκλύζειν τῷ τῆς μαλάχης ἀφεψήματι.

## Περὶ αἵματος ταυρείου. κεφ. ξη.

Αἷμα δὲ ταύρειον νεοσφαγὲς ποθὲν, δύσπνοιαν ἐπιφέρει καὶ πνιγμόν. ἐμφράττον τοὺς περὶ τὰ παρίσθμια καὶ τὴν κατάποσιν πόρους μετὰ σπασμοῦ ἰσχυροῦ. εὑρίσκεται δὲ ἐπὶ τούτων ἡ γλῶττα ἐρυθρά, καὶ ὀδόντες βεβαμμένοι, καὶ θρομβία μεταξὺ αὐτῶν. ἐφ' ὧν τὸν ἔμετον παραιτούμεθα. τὸ γὰρ θρόμβον μᾶλλον ἐν τῷ στομάχῳ συσφιγγόμενον διὰ τὸ μὴ πιέζεσθαι αὐτοὺς κατὰ τὴν ἔλκυσιν. δίδονται δὲ ὅσα δύναται τὴν πῆξιν διαλῦσαι τοῦ αἵματος καὶ τὴν κοιλίαν ὑπάγειν. σῦκά τε ὀλύνθους πλήρεις ὄντας τοῦ ὀποῦ σὺν ὀξυκράτῳ. καὶ νίτρον δὲ καθ' ἑαυτὸ ὠφελεῖ. καὶ πυτία ἅπασα σὺν ὄξει καὶ σιλφίου ῥίζα ἢ τοῦ ὀποῦ. ὁμοίως καὶ κράμβης σπέρμα. κονία τε συκίνη. καὶ κονύζης φύλλα σὺν πεπέρει. καὶ βάτου χυλὸς σὺν ὄξει. δεῖ δὲ τὴν κοιλίαν ὑπάγειν. ἔξωθεν δὲ τοῖς σωζομένοις ἀποδίδοσθαι διὰ τῆς ἕδρας καὶ ῥινῶν. καταπλάσσειν δὲ καὶ στόμαχον καὶ τὴν κοιλίαν, ἀλεύρῳ κριθίνῳ μετὰ μελικράτου.

## Περὶ γάλακτος ἐμπυτιασθέντος. κεφ. ξθ.

Καὶ τοῖς λαβοῦσιν ἐμπυτιασθὲν γάλα, ἀθρόως πολὺς πνιγμὸς γίνεται διὰ τὸ θρομβοῦσθαι. οἷς βοηθοῦντας, προσφέρειν δεῖ ὥσπερ ἀντίδοτον πυτίαν σὺν ὄξει. πολλάκις ἀναγκάζοντας πίνειν. καὶ καλαμίνθης τὰ φύλλα ξηρὰ ἢ τὸν χυλὸν ὁμοίως. ἢ σιλφίου ῥίζαν ἢ τὸν ὀπὸν σὺν ὀξυκράτῳ. θύμον τε σὺν οἴνῳ. καὶ τὴν πηλοποιητικὴν κονίαν. ἁλυκὸν δὲ μηδὲν προσφερέσθω. μᾶλλον γὰρ πήγνυται καὶ τυροῦται τὸ γάλα. ἀλλ' οὐδὲ τούτοις ἐμεῖν δεῖ. ἐνιστάμενον γὰρ ἐπὶ τὰ τοῦ στομάχου στενὰ τεθρομβωμένον πνίγει.

## Περὶ λιθαργύρου. κεφ. ο.

Λιθάργυρος δὲ ποθεῖσα βάρος ἐπιφέρει στομάχῳ καὶ κοιλίᾳ καὶ ἐντέροις μετὰ στρόφων ἐπιτεταμένων. ἐνίοτε δὲ καὶ τιτρώσκει τὰ ἔντερα διὰ τὸ βάρος καὶ ἐπέχει τὰ οὖρα. παροιδεῖ δὲ αὐτῶν τὸ σῶμα καὶ μολιβδώδη ἀπρέπειαν λαμβάνει. ἐφ' ὧν ἁρμόζει μετὰ τὸν ἔμετον πινόμενα σὺν οἴνῳ ὁρμίνου ἀγρίου σπέρμα. σμύρνης < η. ἀψίνθιον. ὑσσώπου σελίνου σπέρμα. ἢ πέπερι. ἢ κύπρου ἄνθος σὺν οἴνῳ. περιστερῶν τε ἀγρίων ἄφοδος ξηρὰ μετὰ νάρδου καὶ οἴνου.

## Περὶ ὑδραργύρου. κεφ. οα.

Ὑδράργυρος δὲ ποθεῖσα, τὰ αὐτὰ ἐπιφέρει τῇ λιθαργύρῳ καὶ ἐπὶ τούτων δεῖ τοῖς αὐτοῖς βοηθήμασι χρῆσθαι. δοκεῖ δὲ αὐτοὺς ὠφελεῖν γάλα πολὺ πινόμενον. ἐμείτωσαν δ' ἐπ' αὐτῷ.

### Περὶ τιτάνου. κεφ. οβ.

Τίτανος σὺν σανδαράχῃ καὶ ἀρσενικῷ ποθέντα, τὰ αὐτὰ ἀλγήματα κοιλίας καὶ ἐντέρων ἐπιφέρει μετὰ δίψης σφοδροῦ. ὅθεν προσφέρειν δεῖ ἅπαντα ὅσα μετὰ τὸ κιρνάναι, δύναται τὸ σύμμιγές τε πρὸς τὴν κοιλίαν ὀλισθηρὸν παρέχειν. οἷός ἐστιν ὁ τοῦ ἰβίσκου καὶ τῆς μαλάχης χυλός. λίαν ὀλισθηρὸς ὑπάρχων. παρέχειν δὲ δεῖ καὶ ἀφέψημα λινοσπέρμου. καὶ ὁ τῆς ζάγου καλουμένης βοτάνης καρπὸς ἢ ὀρύζης. καὶ γάλα πολὺ σὺν μελικράτῳ. καὶ ζωμοὶ λιπαροὶ καὶ εὔχυμοι.

### Περὶ λαγωοῦ θαλασσίου. κεφ. ογ.

Λαγωοῦ δὲ θαλασσίου ποθέντος παρακολουθεῖ γεῦσις ὁμοία ἰχθύσι βρωμώδεσιν. ἐν δὲ τῷ χρόνῳ, κοιλία πάλιν ἀλγεῖ. καὶ οὖρα ἐπέχεται. εἴποτε δὲ ἐκκριθείη, πορφυρίζοντα τῇ χρόᾳ ὁρᾶται. ἀποστροφή τε καὶ μῖσος πρὸς πάντας ἰχθύας. καὶ ἱδροῦσι δυσώδη. παρέπεται δὲ αὐτοῖς καὶ ἔμετος χολώδης, ἐνίοτε αἵματι μεμιγμένος. οἷς δοτέον γάλα ὄνειον ἢ γλυκὺ συνεχῶς. καὶ μαλάχης ῥίζης καὶ τῶν φύλλων τὸ ἀφέψημα. ἢ κυκλαμίνου ῥίζαν λείαν σὺν οἴνῳ. ἢ ἐλλεβόρου μέλανος ἢ σκαμμωνίας ὀβολὸν ∠ α μετὰ μελικράτου. ῥόων τε πυρήνων. ἢ κεδρίας λείας μετ' οἴνου. ποιεῖ καὶ χηνὸς αἷμα ποθὲν θερμόν. μὴ δυνάμενοι δὲ οὗτοι ἰχθύας προσενέγκασθαι, μόνους τοὺς ποταμίους καρκίνους ἑφθοὺς ἐσθίουσι. καὶ πίνουσιν οἴνῳ μεμιγμένῳ ἐπ' αὐτῶν καὶ πέπονσιν ὠφελούμενοι. τεκμήριον δὲ ἐστὶν ἐπ' αὐτῶν τῆς σωτηρίας ὅταν ἄρξωνται ἰχθύας προσφέρεσθαι.

### Περὶ φρύνου. κεφ. οδ.

Φρῦνος ἢ βάτραχος ἕλειος προσενεχθείς, ἐπιφέρει οἰδήματα σώματος μετὰ ὠχρότητος ἐπιπεπτωμένης, ὡς δοκεῖν πύξῳ ἐοικέναι. δυσπνοοῦσί τε καὶ δυσωδίαν ἀποδιδόναι τὸ στόμα. καὶ λυγμὸς αὐτοῖς ἕπεται. ἐνίοτε δὲ καὶ σπέρματος ἀπροαίρετος ἔκκρισις. εὐβοήθητοί τε τυγχάνουσι μετὰ τὸν ἔμετον λαμβάνοντες ἄκρατον πολύν. καὶ καλάμου ῥίζης ∠ β. ἢ κυπείρου τὸ αὐτό. δεῖ δὲ αὐτοὺς καὶ ἀναγκάζειν συντόμως περιπατεῖν καὶ τρέχειν διὰ τὸ ἐν αὐτοῖς ναρκῶδες. λούειν τε καθ' ἑκάστην ἡμέραν.

### Περὶ βδέλλας. κεφ. οε.

Βδέλλας τὰς καταπινομένας σὺν τῷ ὕδατι καὶ προσφυομένας τῇ καταπόσει τῷ σώματι τῆς κοιλίας, ἑλκούσας τὰ μέρη, καὶ φαντασίαν ἐκμυζήσεως παρεχούσας, ὅπερ καὶ σημεῖόν ἐστι τοῦ βδέλλας καταπεπόσθαι, ἀποβάλλει ἅλμη καταρροφουμένη. καὶ ὀπὸς κυρηναϊκὸς ἢ φύλλα σιλφίου. ἢ τεύτλου σὺν ὄξει. ἢ χιὼν σὺν ὀξυκράτῳ πινομένη. ἀναγαργαρίζεσθαί τε νίτρον σὺν ὕδατι. καὶ χάλκανθον σὺν ὄξει λυθέντι. τὰς δὲ ἐν τῷ βρόγχῳ προσφυείσας, ἐμβιβάσας εἰς ἔμβασιν θερμήν, δίδου ψυχρὸν ὕδωρ ἐν τῷ στόματι διακρατεῖν. καὶ ἐξελκύσονται. προνοητέον δὲ καὶ τῆς ἐπωφελείας διδομένων, ἐπιφερόντων δὲ πολλάκις κίνδυνον οὐχ ἥττονα τῶν ἄλλων φαρμάκων ὡς ἐλλεβόρου λευκοῦ καὶ θαψίας καὶ ἐλατηρίου καὶ ἀγαρικοῦ τοῦ μέλανος. τινὶ μὲν γὰρ ὑπερφέρει ταῦτα ἢ ὑπερκάθαρσιν, θεραπευόμενοι δὲ ὡς προείρηται ἐπὶ μυκήτων καὶ τῶν ὁμοίων. τὰς δὲ ὑπερκαθάρσεις τοῖς διδωμένοις ἐπέχειν τὰς ἐκκρίσεις στελοῦμεν καὶ τῶν μὲν δοκούντων ἐπ' ὀλίγον βλάπτειν, ἐνίοτε δὲ κινδύνους ἐπιφερόντων, οὐκ ἀμελητέον. ὧν ἐστι τὸ ἄγριον πήγανον καὶ τὸ μελάνθιον καὶ οἱ νεαροὶ πεπτοί.

### Περὶ ἄξους. κεφ. ος.

Ἄξες αὐθέος ἐστὶν ἀκανθώδης τῆς καλουμένης ἄξου. ἐφ' ὧν ἔμετος μόνος παραληφθεὶς ἀποκαθίστησι τοὺς λαμβάνοντας.

Περὶ

## ἕΒΔΟΜΟΝ

### Περὶ ὕδατος ψυχροῦ.

Καὶ τὸ ψυχρὸν ὕδωρ ἀθρόον ποθὲν ἢ ἄκρατος πολὺς ἢ γλυκὺς οἶνος ποθείς, μάλιστα ἀπὸ βαλανείου ἢ δρόμου ἢ τῶν συντόνων γυμνασίων, πνιγμοὺς καὶ θαλπήματα ἐπιφέρει. ἐφ' ὧν φλεβοτομία ταχέως παραληφθεῖσα καὶ κινοῦσα λύει τὸν ἐπηρτημένον κίνδυνον. Καὶ περὶ μὲν τῶν σημείων τοῖς λαβοῦσι τὰ θανάσιμα τῶν φαρμάκων, καὶ τῆς ἁρμοζούσης αὐτοῖς θεραπείας, ἔτι δὲ προφυλακτικῆς ἀγωγῆς, ἐπὶ τοσοῦτον ἡμῖν εἰρήσθω. ὑπογράψομεν δὲ καὶ τὰς ἀντιδότους ἀναγκαιότατα καὶ γνησιώτατα βοηθούσας, αἷς ἐχρήσαντο. τήν τε μιθριδάτειον. καὶ τὴν δι' αἱμάτων καὶ τὴν διὰ σκίγκων. ἃς διὰ τὸ ἐν τοῖς ἀντιδότοις ἀκριβέστατα ἀναγεγράφθαι, παρῃτησάμην ἀναγράφειν ἐνταῦθα.

## ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ ΒΙΒΛΙΟΝ Ζ΄.

### Περὶ ἰοβόλων. ἐν ᾧ καὶ περὶ λυσσῶντος κυνός

Τὸ μὲν περὶ τῶν ἰοβόλων ζώων καὶ θανασίμων φαρμάκων λόγον προτιθέμεθα διελθεῖν, εἰς συμπλήρωσιν τοῦ περὶ ἰολυτικῆς ἔργου. καὶ οὐδενὸς τῶν ἄλλων ἧττον ἀναγκαῖον ὄντος τοῖς ἰατρεύουσιν. ἐπειδὴ περὶ κινδύνων καὶ περιωδυνιῶν καὶ ἀλγηδόνων καὶ πλείστων ἄλλων κακῶν ἀπαλλάττεσθαι τοὺς αὐτοὺς συμβαίνει διὰ τῶν ἐν αὐτῷ παραδιδομένων. καὶ δὴ δὲ τῶν αὐτῶν τούτων μερίζεται δὲ χρῆ καθάπερ ἐν ἀρχῇ προαναπεφώνηται. καὶ ὁ μὲν περὶ τῶν ἰοβόλων, προσαγορεύεται θηριακός. ὁ δὲ περὶ τῶν θανασίμων ἀλεξιφάρμακος. ἐντάξαντες δὲ, προδείξομεν τὰ ἑπόμενα παρακολουθεῖν. τά τε δυνάμενα βοηθεῖν πρὸς ἕκαστον αὐτῶν. δεῖ δὲ πάντα πρόχειρα τὸν τεχνίτην ἔχειν. διὰ τὸ κατεπείγειν πολλάκις τὴν χρείαν. ὀλίγα μὲν γὰρ καὶ τῶν ἰοβόλων καὶ τῶν θανασίμων χολαίους καὶ ἀναβολὰς φέρει τοὺς κινδύνους. τὰ πολλὰ δὲ εὐθέως. καὶ οἱ διὰ ἔμφυτον πονηρίαν ἐπιβουλεύοντες ἑτέροις, ἀνυπέρθετον τὸ κακὸν ἀπεργάζεσθαι βούλονται. καὶ οἱ διὰ μοχθηρὰν συνείδησιν ἢ χαλεπὴν περίστασιν ἑκουσίως προσενεγκάμενοι θανάσιμα, εἶτα φωραθέντες ἢ μετανοήσαντες, ὀξυτάτης δέονται βοηθείας. καὶ πολέμιοι δὲ τοξῶν χρίοντες βέλη καὶ φρέατα καὶ πηγὰς δηλητηρίοις διαφθείροντες φαρμάκοις, ἀνυπέρθετον μηχανῶνται τοῖς ἐναντίοις τὸν θάνατον. ἐφ' ὧν οὐκ εὐθὺς ἀλλ' ἐς ὕστερον ἀπαντᾶν τὸ κακὸν πέφυκεν, εἰ μὴ παραχρῆμα παραληφθείη τοῖς βοηθήμασιν, ἀδύνατος ἡ ἐσομένη ἐπικουρία, καὶ φθορὰν τὴν δυναμένως κατεσφραγισμένης τῶν σωμάτων. διόπερ οὐ χρὴ πάσας ἐν τύχῃ τὴν ἐν τούτοις ἐπιτήδειον ἐμπειρίαν. ἵνα ὅπερ ἐν ἑτέροις ἄλλοις, τοῦτο καὶ ἐνταῦθα ἡ τέχνη παρέχῃ τοῖς ἀνθρώποις τὴν σωτηρίαν. παρὰ μὲν οὖν τοῖς ἀρχαίοις τοῦ θεραπευτικοῦ μέρους ὑπελαμβάνετο ἕτερος ὁ τρόπος. οἱ δὲ νεώτεροι αὐτὸν ἐχώρισαν. προφυλακτικὸν καὶ προφυλακτικὴν ὀνομάζοντες. τοῦ δὲ ὑγιεινοῦ καὶ τοῦ θεραπευτικοῦ μέσον τάξαντες. μικρᾷ καὶ παντάπασιν ὡς ἐπὶ πλεῖον πλανηθέντες πιθανότητι. φασὶ γὰρ γίνεσθαι τρεῖς καταστάσεις τοῖς ἀνθρωπίνοις σώμασι. μίαν μὲν, καθ' ἣν ὑγιαίνομεν, ἑτέραν δὲ καθ' ἣν νοσοῦσι. τρίτην δὲ μέσην ἑκατέρων. καθ' ἣν δοκοῦσι μὲν ὑγιαίνειν, εὐεμπτώτως δὲ εἰς τὰ πάθη καὶ τοὺς κινδύνους ἔχουσι, διά τινα φθοροποιὸν ἐγκειμένην τοῖς σώμασι δύναμιν. ὡς ἐπὶ τῶν ὑπὸ κυνὸς λυσσῶντος δεδηγμένων θεωρεῖται καὶ μήπω πεπτωκότων ὑδροφόβων. καὶ τῶν κανθαρίδας εἰληφότων μηδέπω ὀδυνωμένων ἢ δυσουρούντων. ἀναλόγως οὖν ταύταις ταῖς τρισὶ καταστάσεσιν, εἰς τρία διῃρῆσθαι τὴν τέχνην. εἴς τε τὸ ὑγιεινὸν ὃ διατηρητικόν ἐστι καὶ ὑγείας. καὶ εἰς τὸ προφυλακτικόν. ὅπερ κωλυτικόν ἐστι καὶ εἰς τὰς νόσους ἐμπτώσεως καὶ εἰς θε-

ραπευτικόν. διορθοῦται γὰρ τὰ πάθη. ῥητέον δὲ πρὸς αὐτοὺς, ὅτι πρῶτον μὲν κατὰ τὴν ὑπερβολὴν ταύτην, οὐχὶ τρεῖς καταστάσεις περὶ τὸ σῶμα, ἀλλὰ τέσσαρες εἶναι λέγονται. ὡς γὰρ εἰσί τινες οἱ μήπω μὲν νοσοῦντες, ἐπιτηδείως δὲ πρὸς τοῦτο διακείμενοι διὰ τὴν ὑποκειμένην αἰτίαν, οὕτως εἰσί τινες οἱ μηκέτι νοσοῦντες, μήπω δὲ τὴν ὑγείαν ἀνειληφότες, ὅπερ ἰδεῖν ἐστιν ἐπὶ τῶν ὑπογύως ἀπηλλαγμένων τῆς νόσου. ἀναλήψεως δὲ ἢ ῥώσεως δεομένων. ἀλλ' ὅνπερ τρόπον ἡ ἐπιμέλεια τοῦ θεραπευτικοῦ μέρους τῆς τέχνης ἐστὶ, τὸν αὐτὸν τρόπον τὸ προφυλακτικὸν ὑπὲρ τούτου τετάχθαι προσήκει. βοηθήμασι χρώμεθα καὶ τοῖς σφοδροτάτοις ἐν τῇ προφυλακῇ, κατασχάσματι βαθυτέρῳ. καὶ καύσεσι καὶ περικοπαῖς καὶ δηκτικοῖς ἐπιθέμασι καὶ προποτισμοῖς. καὶ ἄλλοις πλείοσιν. ἀλλὰ γὰρ οὕτως εἰσί τινες ἀγνώμονες, ὥστε μηδὲ βοηθήματα καλεῖν τὰ προφυλακτικά. οὐ ῥᾴδιον εἰπεῖν καθ' ὅντινα λόγον. καὶ τὸ ὄνομα μὲν γὰρ προφυλακή. καὶ ὅτι τῆς ἐνεργείας δὲ χρείας τοῦτο αὐτὸ πάντως βοήθημα ἀποδείκνυσι. πῶς δὲ οὐχ ὑποτάσσουσι τῇ διαιρέσει καὶ τοὺς ἐν ταῖς λοιμικαῖς περιστάσεσιν, οὔπω μὲν ἑαλωκότας πάθει. διακειμένους δὲ πρὸς τοῦτο ἐπιτηδείως πως διὰ τὴν ἐκ τοῦ περιέχοντος ἀφορμήν. εἴποι δ' ἄν τις καὶ τὴν τῶν ὑγιεινῶν παραγγελιῶν ἀγωγὴν, οὐδὲν ἕτερον ἢ προφυλακτικὸν ὑπάρχειν. δυσπαθῆ γὰρ τὰ σώματα καὶ στερεὰ παρασκευάζειν πειρώμεθα χάριν τοῦ δυσάλωτα γενέσθαι ταῖς νόσοις. τὸ δὲ κυριώτατον ῥητέον ἐστί. τὰ μέρη τῆς ἰατρικῆς, οὐχὶ ταῖς καταστάσεσι τοῦ σώματος ἀναλόγως δεῖν εὑρῆσθαι. ἀλλὰ φυσιολογεῖν διὰ τὸ συμφυτικὸν ἴδια ἕκαστον τῶν ἔργων. ὡς ἐν τοῖς οἰκείοις τόποις ὑποδείκνυμεν. πρὸς τούτοις μὲν οὖν οὐ πλέονα ῥητέον. ἐκεῖνο δὲ μᾶλλον παρασημειωτέον. ὅτι καλεῖται μὲν ἀναπολόγητα τὰ ἀπὸ τῶν ἰοβόλων ζώων. καὶ τὰ ἀπὸ τῶν θανασίμων συμβαίνοντα φαρμάκων, πρὸς ταῦτα βοηθεῖ. διὰ τοῦτο γὰρ καὶ παρατηρητικῶς τυγχάνει ἀναλογιστικῆς τε τέχνης προσπεσόντος ἀπόρημα. ἣν δὴ ὁ λόγος πεπίστευται. οὐδὲ γὰρ ἐν τῷ καθόλου πᾶς τοῦτο ἦν ἀληθές. ἀλλ' ἀεὶ τὸ περιέλκον ἢ μηδεμίαν χρείαν ἐπί τινα τῶν ἀναγκαίων περιεχόμενοι δυσόχλασι. ἐπειδὴ τελέως ἀναπολόγητοι ὑπάρχει κατὰ τὰς ἰδιότητας. τοῦτο δὲ ἐπὶ τῶν θανασίμων φαρμάκων καὶ τῶν ἰοβόλων ζώων εὐθὺς ἀποδείκνυσι. τὸ μέντοι ἀρχῆθεν εἰς τὰ ἔργα, ἢ τὸ περιέχοντας τοῦ θεραπεύειν ἀφορμὰς, οὔτε καταληπτόν ἐστιν, οὔτε εἶναι ἀπολόγητον. ἢ μάθοι τις ὁρμώμενος ἀπὸ τούτου, πίστιν καὶ παρρησίαν ἔχειν διαβεβαιώσασθαι περὶ τῆς καταλήψεως τῶν ἀδήλων. διαφέρουσι μὲν γὰρ ταῖς αἰσθήσεσιν ἀπὸ τῶν ἰδίων διὰ σμικρότητα. καταλήψεως δὲ ἐναργοῦς ἐξ ἀλλήλων τυγχάνουσι. ἱκανῶς δὲ ἐφανέρωσε τοὺς τρόπους Διοκλῆς ἐν τῷ πρὸς Πλείσταρχον ὑπομνήματι. γράφων ταῦτα κατὰ λέξιν. γνοίη δ' ἄν τις τοῦτο καὶ ἐπὶ πολλῶν οὐκ ὀλίγων, καὶ ἐπὶ τῶν ἐχιδνῶν ἢ σκορπίων ἢ ἑτέρων τοιούτων ἀτενίσας, ὡς ἄδηλα καὶ μικρὰ τὸ γένος ὄντα, μεγάλων αἴτια κινδύνων καὶ πόνων γίνεται. ὧν οὐδὲ ἰδεῖν ἐστι ῥᾴδιον παρὰ τὴν σμικρότητα ἢ ἰσχὺν ἀπολειπομένην αὐτοῖς ἀπὸ τῶν ἄλλων θηρίων. ὁπηλίκον γάρ τι νομίζειν τὸ μέγεθος, ἐστὶ ἀπὸ τῆς πληγῆς τοῦ σκορπίου καὶ τῶν ἄλλων τῶν τοιούτων τῇ σαρκὶ λυμαινομένων. ὧν τὰ μὲν ἐστὶ ποιοῦντα πόνον ἰσχυρόν. τὰ δὲ, σήποντα. τὰ δὲ, κτείνοντα συντόμως. ἢ τὸ διὰ τοῦ φαλαγγίου δήγματος ἐνιέμενον, καὶ ὅλον τὸ σῶμα διαποιούμενον. τόδε γὰρ αὖ διαγνῶναι τὸ μέγεθος αὐτῶν δυνάμεως, διὰ τὸ παντάπασιν εἶναι μικρόν. ὅτι μὲν οὖν πρὸς τὰς διαθέσεις ταῦτά ἐστιν, ὁμολογεῖται παρὰ πάντων. ὅτι δὲ καὶ ἀκριβῶς κατείληπται τὸ τὴν δύνα-

μὲν αὐτῶν γίνεσθαί τινα φθοροποιὸν, ἥτις κατὰ μίξιν γινομένη τοῖς σώμασιν αἰτία τῶν
συμβαινόντων κακῶν γίνεσθαι συγκεχώρηται, καὶ τοῦτο πεπίστευται. καὶ οὐδεὶς ἂν οὕ-
τως εὑρεθείη φιλόνεικος, ὡς ἄλλοθεν φῆσαι τὰς ὀχλήσεις καὶ οὐχὶ δι' ὕλης φθοροποιοῦ
καθαπτομένης τῶν σωμάτων μόνον ἀπὸ μέρους συμπίπτειν. τοῦτο γὰρ ἦν τὸ πρὸς τὰ ἔρ-
γα τῆς τέχνης χρησιμεύοντα, κατὰ τὸ πάρεργον, τὸ ἔργον τοῦτο ποιουμένων ὑπαγορεύειν
ὥστε ἡμᾶς μηδὲ βλάπτεσθαί τι κατὰ πάντα ταῦτα τῆς κατὰ τὴν ἰδιότητα ἀκαταλη-
ψίας τῆς κοινῆς αἰτίας. καὶ τότε ἐνδείκνυσθαι δυναμένης βεβαίως κατειλημμένης.
διὸ καὶ ὁ Ἐρασίστρατος περισκέπτων τὴν αὐθάδειαν τῶν ἐμπειρικῶν, αἰτίαν τῆς ἀδια-
πολοίτοις ἀνῆκεν. οὐ συγχωρῶν αὐτοῖς τὴν αἰτίαν τὴν ὑπεραναβεβηκυῖαν καὶ καθο-
λικὴν, ἄληπτον ἐπὶ τῇ νόσῳ ὑπάρχειν. τῇ τε περὶ αἰτιῶν γραφῇ ταύτην διαλυομένων,
τῷ ταῦτα μὴ λέγειν ἐπὶ τίνων ἀρκούμεθα τῇ περιγεγραμμένῃ θεραπείᾳ. οἷον ἐπὶ τῶν θηριοδήκτων
καὶ θανασίμων καὶ ἐπὶ τῶν λοιπῶν, ἀρκεσθησόμεθα τῇ παρατηρήσει τῆς τῶν αἰτιῶν προσ-
λήψεως χωριζόμενοι τελείως. πρῶτον μὲν γὰρ κατὰ γένος οὐκ ἀκατάληπτά εἰσιν. ὅτι μὲν
γὰρ δύναμις ὑπάρχει φθαρτικὴ, καὶ τῶν ὑποκειμένων ἀγνωστικὴ ὥστε ἀναιρεῖν ἐκ τῶν
κατὰ γένος οὐ μὴν κατ' εἶδος, ὑπογράφει θεραπείαν. δέον ταῦτα ἀμβλυντέον καὶ κα-
τεργαστέον. ὅτι δὲ φησὶν ἢ λαβέτω ἐφ' ὕδωρ γλυκὺ καὶ ἄτιμον, καὶ πρὸ τῆς παρατηρή-
σεως ἐπέμετον διὰ τάσιν τοῦ πεπληκότος, ἢ δεδηγμένου μέρους ἀποβλασμὸν, σικύας
προσβολὴν, ἐκτομὴν καυτηρίων, φαρμάκων τὸ αὐτὸ δυναμένων ἐπίθεσιν, τὸ πλεῖ-
στον ἀποκοπὴν τοῦ μέρους, ἀναλογισάμενοι τῶν πεφυκότων φαρμάκων εἰς τὴν ἐπιφά-
νειαν φέρεσθαί τινα, τῇ ἐγκειμένῃ εἰς τὸ κατὰ βάθος ἐναντιοῦσθαι φθορᾷ. ταῦτα μὲν
οὖν δι' ὧν εἴρηκεν Ἐρασίστρατος πάντα εἴρηκε καλῶς καὶ τοῖς ἔργοις ἀκολούθως. θαυ-
μάζειν δὲ ἔστιν ἐπὶ τῶν μεθοδικῶν, οἵτινες οὐ συγχωροῦσιν αἰτίαν εἶναι τὴν φθοροποιὸν
ἐγκειμένην δύναμιν ἐκ τῶν ἀπαύστως γινομένων ὀχληρῶν. ἀλλὰ τρόπον μὲν ἀνοήτως οὕ-
τω τῷ ὀνόματι προσέχουσι φθοροποιὸς γὰρ καὶ παρ' αὐτοῖς ἄντικρυς ἡ ἐγκειμένη δύνα-
μις προσαγορεύεται. τὸ δὲ φθοροποιὸν εἶναί τι, αἰτίας οὐκ ἄλλου τινὸς ἔργον ἐστί. φα-
σὶ δὲ τὸ μὲν ὄνομα τὸ μαρσιπποις καὶ τὸ ἀνακαλύπτειν, τοῖς λοιποῖς πᾶσι παραπλή-
σιον ὑπάρχειν ἐφ' ὧν μέρη τινὰ τῶν λέξεων, οὐχ ὅτι κατὰ δύναμιν, ἀλλὰ κατὰ ψιλὴν
περιείληπται τὴν ἐκφοράν. ὥσπερ γὰρ τὸ μαρσίπποις καὶ τῷ ἀνακαλύπτειν, ὥστε τὰς καιρίας
καὶ προηγουμένας οὐκ ἔχει σημασίας, οὕτω καὶ ἐν τῷ φθοροποιεῖν παρελκόντως καὶ οὐ
κατὰ δύναμιν ἐντέτακται. μεταβαίνουσι δὲ ἐνταῦθα ἐπὶ τὰς τῶν αἰτίων διαφοράς.
καὶ λέγουσιν ὅτι τῶν αἰτίων, τινὰ μέν ἐστι τὰ προκατάρξαντα. ἃ ποιήσαντα πάθος χωρί-
ζεται. οἷον, κόπος. καὶ ψύξις. ἔγκαυσις, καὶ τὰ παραπλήσια. τὰ δὲ, συνεκτικὰ δι' ἃ τὸ γι-
ὲν τὸ πάθος καὶ παραμένει. τουτέστιν ὧν μὲν παρόντων τὰ ἀποτελέσματα πάρεστιν.
αὐξανομένων δὲ αὔξεται καὶ μειουμένων μειοῦται. καὶ παυσαμένων παύεται. καὶ αὐτοτε-
λῆ δύναται εἶναι καθ' ἑαυτὰ παραγινόμενα τῶν ἀποτελεσμάτων. καὶ τοιαῦται μὲν τῶν
αἰτίων αἱ δοκιμώταται διαφοραί. τὸ δὲ φθοροποιὸν οὐδεμιᾷ τούτων ὑποτάσσεσθαι πέ-
φυκε. προκαταρκτικὸν μὲν γὰρ οὐκ ἔστιν. ἐπειδὴ παρὸν τὸ πάθος αὐτὸ παραμένει καὶ τοῦ σώ-
ματος οὐ χωρίζεται. συνεκτικὸν δὲ οὐκ ἂν λέγοιτο. πλεῖστον μὲν γὰρ τοῦτο περίεσι. καὶ
καθάπερ ὑπολυσσῶντος κυνὸς δεδηγμένου γίνεται. εἰ δὲ μὴ προκαταρκτικὸν γίνεται

μὴ δὲ συνεκτικὸν, οὐδὲ αὐτοτελὲς, οὐδὲ συναίτιον ἂν εἴη. εἰ δὲ ἐκ μηδεμίας διαφθορᾶς τῶν αἰτίων ἄγεσθαι δυνησόμεθα τὸ φθοροποιὸν, συγχωροῦμεν αὐτὸ μὴ δὲ αἴτιον ὑπάρχειν. τοιούτων δὲ λεγομένων καὶ ὄντων, τὸ μὲν παρὰ τῶν ὀνομάτων ἐν αὐτοῖς μὴ ἔχειν μέρη σημαντικὰ τῶν πραγμάτων, ἀλλὰ κατὰ ψιλὴν τὴν ἐκφορὰν πεποιημένα, συγχωρητέον. ὅτι δὲ μὴ πάντα ὑποληπτέον τοιαῦτα ὑπάρχειν, ἀλλὰ παντελῶς ὀλίγα, οὐδὲ τὸ ποιεῖν ἐν τῷ φθοροποιῷ παραπλησίως τοῖς παραληφθεῖσιν ἐξενήνεκται. κυριωτάτην δὲ ἔχει τὴν σημείωσιν. ὡς γὰρ τὸ τῆς φθορᾶς ὄνομα τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς σημαντικόν ἐστιν, οὕτω καὶ τὸ ποιεῖν παραληπτέον, μηδὲν ἐν τῷ φθορὰν ἔχειν δηλοῦν. τοῦτο δ' εἰ μὴ ἐξακούουσι πάντες, τελέως ἄσημον γίνεται τοὔνομα. καὶ παραπλήσιον τῷ παιδὶ ἔχει δ' ἴσος. εἰ δὲ δώσουσιν ἀπὸ τῆς φθορᾶς ὑπὸ γίνεσθαι τὴν νόσον, συγχωροῦσι δηλονότι καὶ ἐπὶ τοῦ ποιεῖν, εἴ μή τι φθορᾶς ἀπεργαστικόν ἐστι. πᾶν δὲ τὸ ποιοῦν καὶ ἀπεργαζόμενόν τι, καθ' ἣν αἴτιον δείκνυται τῶν ὑποκειμένων ἐν τοῖς σώμασιν. ἐπί τε τῶν ἐνιεμένων καὶ θανασίμων φαρμάκων. ἀλλὰ ὑποπτεύσειεν ἄν τι φασὶ ταῖς τῶν αἰτίων διαφοραῖς. πεπλάνηνται δὲ καὶ ταύτῃ διαίρεσιν ἀκριβῆ οὐκ εἰληφότες. λέγεται δὲ καὶ παρὰ τοῖς δογματικοῖς αἴτιον ὑπάρχειν τὸ αὐτὸ, κατὰ μέν τι παρασκευαστικόν, κατὰ δέ τι συνεκτικόν. ὡς βουβώνων ἕλκος τῶν βουβώνων πυρετός. καὶ τὸ συνεθισμένον τῷ ἀποτελεσματικῷ, χωριζόμενόν τε ὡς πῶμα καὶ τάγματος. τὸ καθόλου δὲ ὅταν τι κατὰ τὴν ἑαυτοῦ φύσιν αἴτιον ὑπάρχῃ μὴ περιέχηται δὲ ἔν τινι διαιρέσει μοχθηρὸν μὲν οὐχὶ δὲ καὶ αἴτιον τῆς τῶν ὁμολογουμένων περιγίνεται φύσεως. ἔτι δὲ τὸ φθοροποιόν ἐστιν αἴτιον, ἐλέγχεται μὲν καὶ ἀπὸ τοῦ ὀνόματος, δείκνυται δὲ ἐναργέστερον ἐπὶ τῶν συμβαινόντων. τί γὰρ αἴτιον ὑπέλαβον εἶναι μετὰ τὴν ἐκ τοῦ δακέτου πληγὴν, ἢ τὴν ἐπιγινομένην ὑπὸ τοῦ ζώου δύναμιν, καὶ τὸν εἰς τὰ σώματα βαλλόμενον ἰὸν, μήτε ψύξιν, μήτε ἔγκαυσιν, μήτε ἔκκοπήν, μήτε ἀπεψίαν, μήτε ἄλλο τι παραπλήσιον ἔχοντες αἰτιᾶσθαι. ἐπεὶ δὲ καὶ ταῖς διαφοραῖς χαίρουσι τῶν αἰτίων, τὰ μὲν καλοῦντες συνεκτικὰ, τὰ δὲ, προκαταρκτικὰ, λεκτέον αὐτοῖς ὅτι καθάπερ ἐκ τούτων αἴτιόν ἐστι τὸ προκαταρκτικόν. ῥηθήσεται δὲ ἀπὸ τοῦ προάγειν τοῦ ἀποτελέσματος τὴν προϋπόστασιν λαμβάνον τοῦ σώματος. συνεκτικὸν δὲ ἐπειδὴ τῶν παθῶν παρόντων καὶ αὐτὸ πάρεστι. καὶ χωρισθέντος αὐτοῦ, χωρίζεται καὶ τὰ συμβαίνοντα περὶ αὐτό. περὶ τούτων μὲν οὖν οὐ πλείω ῥητέον. θετέον δὲ ἔσωθεν ἐναργεστάτην φθοροποιὸν δύναμιν αἰτίαν εἶναι. καὶ τὸν προηγούμενον σκοπὸν τούτου ποιητέον. καὶ πρὸ μὲν τῆς κατασκέψεως τῶν παθῶν, ποικίλως διαγωνιστέον μέχρι τοῦ παντελῶς αὐτὴν ἀποσκεδασθῆναι τῶν σωμάτων, τοῦτο μὲν ὑπεξαιρουμένην δι' ὧν εἰσῆλθε μερῶν, τοῦτο δὲ κρατουμένην περὶ αὐτὴν καὶ μάλιστα οὐκ ὑγρῷ τόπῳ, πρὶν εἰς τὸ βάθος ἀπελθεῖν τῶν σπλάγχνων ἅψασθαι. τοῦτο δὲ ἀποπλυνομένην ἢ ἐκκρινομένην, ἐπειδὰν φθάσῃ χωρεῖν διὰ τῶν σωμάτων. ὅτε μὲν οὖν ὑπεξαίρεσις αὐτοῖς κομιδῆ ἐπὶ τῶν θανασίμων φαρμάκων δι' ἐμέτων γίνεται. ἐπὶ δὲ τῶν ἰοβόλων διὰ τοῦ κατασχασμοῦ, καὶ σικυῶν περιβολῆς. ἐκμυζήσεως καὶ περισκαρισμοῦ. ὅτε δὲ διὰ ἀκροθηριασμοῦ. ἡ δὲ κατοχὴ καὶ διακράτησις, διὰ κλύσεων καὶ διὰ δριμέων ἐπιθέσεως φαρμάκων. ταῦτα δὴ κρατεῖν ὁμοῦ καὶ ἀποπλύνειν δύναται τὸν ἰόν. ἡ σβέσις δὲ καὶ ἡ ὑποκράτησις διὰ ἀκρατοποσίας ἀκρά-

τοῦ τε γλυκέως, ἢ καὶ ἐκ τῶν ἐναντίων δριμυφαγίας. ἐπὶ τέλει δὲ συνεργεῖ τούτοις ἡ κάθαρσις κοιλίας, καὶ ἱδρωτοποιΐα. καὶ τινα ἄλλα κοινῶς, καθὼς κατὰ μέρος ἐπιδείξομεν. δεῖ δὲ οὐ μόνον τὴν φθοροποιὸν ὕλην πειρᾶσθαι σκοπεῖν, ἀλλὰ καὶ τὸ μέγεθος αὐτῆς καὶ τὸν χρόνον. καὶ γὰρ παρὰ ταῦτα πλείστην ὅσην διαφορὰν τὰ βοηθήματα λαμβάνει. παρὰ μὲν τὸ μέγεθος, ἐπειδὴ ἀπὸ τῶν δηλητηρίων καὶ τῶν ἰοβόλων, τὰ μὲν, [illegible]τικὰ κινδυνώδη γίνεται. τὰ δὲ, σηπεδόνων βαθυτέρων ἢ ἐπιπολαιοτέρων. τὰ δὲ, περιωδυνίων σφοδροτέρων ἢ ἀμυδροτέρων. τὰ δὲ, ἄλλων δυσχερημάτων ἧττον ἢ μᾶλλον ἐνοχλούντων. δεῖ δὲ πρὸς τὰ κίνδυνον ἔχοντα, διὰ τῶν ἀγωνιστικωτέρων ἀγωνίζεσθαι βοηθημάτων. πρὸς δὲ, τὰ ἥσσονα χαλεπὰ διὰ τῶν ἐπιεικεστέρων. ἄτοπον γὰρ ἐπὶ μὲν τῶν μειζόνων μακροτέροις ἂν οὕτω τυχεῖν χρώμενον τοῖς βοηθήμασι, κινδύνῳ τὸν θεραπευόμενον περιβάλλει. ἐπὶ δὲ τῶν μικροτέρων διὰ ἀποτόμου τῆς βοηθείας μάτην αἰκίσασθαι τὸ σῶμα. πρόχειρος δὲ καὶ ὁ ἀπὸ τῶν χρόνων ἐστὶν ὁρισμός. ὁ μὲν γὰρ ὀξέως καὶ παραχρῆμα καὶ τὰς ὀχλήσεις καὶ τοὺς κινδύνους ἐπιφέρει. ὁ δὲ ἐξ ἀναβολῆς καὶ χρόνου πλείονος ἢ ἐλάττονος. προσήκει τοίνυν τοῖς μὲν ὀξέσι, κατεπειγομένως βοηθεῖν καὶ διὰ πλειόνων ὁμοῦ. τοῖς δὲ, σχολαιοτέρως. ταῦτα μὲν οὖν ὡς ἐν τεχνολογίᾳ μετρίως ὥρισται. προϊὼν μὲν δὲ ἑξῆς ὡς ἐπὶ κατὰ μέρος.

Σημεῖα κυνὸς λυττῶντος καὶ τῶν ὑπ' αὐτοῦ δεδηγμένων. κεφ. σοθ.

Τὸν περὶ τῶν λυσσοδήκτων λόγον προετάξαμεν τῶν ἄλλων. ἐπεὶ καὶ τὸ ζῶον πολύ τε καὶ συνηθές ἐστι. καὶ συνεχῶς ἁλίσκεται τῇ λύσσῃ ὁ κύων καὶ ἀπόλλυται. καὶ δυσφύλακτον καθέστηκε. καὶ ὁ ἀπ' αὐτοῦ κίνδυνος ἀπαραίτητός ἐστιν, εἰ μὴ πολλοῖς χρήσαιτο τοῖς βοηθήμασι. λυσσᾷ δὲ ὁ κύων ὡς τὸ πολὺ μὲν ἐν τοῖς σφοδροτάτοις καύμασιν. ἐνίοτε δὲ καὶ ἐν τοῖς ἐσχάτοις κρύεσι. λυσσήσας δὲ ἀποτρέπεται καὶ βρῶσιν καὶ πόσιν. καὶ φλέγμα πολὺ ἀφρῶδες ἐκ τοῦ στόματος καὶ τῶν ῥινῶν προβάλλει. καὶ πονηρὸν βλέπει καὶ στυγνότερον τοῦ συνήθους. ἐφορμᾷ δὲ χωρὶς ὑλαγμοῦ πᾶσιν ὁμοίως καὶ θηρίοις καὶ ἀνθρώποις πᾶσι τοῖς τε συνήθεσι καὶ ἀσυνήθεσι δάκνων. καὶ παραχρῆμα μὲν οὐδὲν σκληρὸν ἐπιφέρει πλὴν ὅσον ὀδύνην τὴν ἐκ τοῦ τραύματος. ὕστερον δὲ ἐμποιεῖ πάθος τὸ καλούμενον ὑδροφοβικόν. συμπίπτει δὲ μετὰ σπασμῶν καὶ ἐρυθήματα τοῦ ὅλου τοῦ σώματος. μάλιστα δὲ ὅλου τοῦ προσώπου. καὶ μάλιστα ἀπὸ ἱδρώσεως καὶ ἀπυρίας. καὶ τινὲς μὲν φεύγουσι τὴν αὐγήν. τινὲς δὲ τρύχονται συνεχῶς. ἔνιοι δὲ ὑλακτοῦσιν ὥσπερ κύνες. καὶ δάκνουσιν ἐπιόντες. καὶ δάκνοντες, αἴτιοι τοῦ αὐτοῦ πάθους καθίστανται. εἰ μὴ καθ' ἱστορίας παρειλήφαμεν περιγενέσθαι ἕνα ἢ δεύτερον. ὁ γὰρ Εὔδημος περιγεγονότας τινά φησι. καὶ Θεμίσωνα οἱ μὲν, λέγουσι τῷ πάθει συνεχόμενον περιπεσεῖν καὶ σωθῆναι. οἱ δὲ, φίλῳ ὑδροφοβιῶντί τινι προσκαρτερήσαντα προθύμως καὶ συμπαθῶς, εἰς τὴν ὁμοίαν ἐμπεσεῖν διάθεσιν. καὶ πολλὰ κακοπαθήσαντα σωθῆναι. τὸ μὲν οὖν πάθος ἐστὶν ἀργαλέον. πρὸ δὲ τῆς πείρας αὐτοῦ, πολλοὺς καὶ αὐτοὶ περιεσώσαμεν. καὶ ὑπὸ ἄλλων ἰατρῶν σωθέντας ἔγνωμεν.

Θεραπεία τοπικὴ τῶν ὑπὸ λυσσῶντος κυνὸς δηγμάτων. κεφ. σπ.

Τῆς θεραπείας ἡ μὲν ἐστι κοινὴ καὶ χρηστέον αὐτῇ ἐπὶ πάντων τῶν ὑπό τινος ἰοβόλου ζώου δεδηγμένων. ἡ δέ τις ἰδία τῶν λυσσοδήκτων. τοῖς μὲν γὰρ ἄκρως ὠφελεῖν ἐθισμένη. τοῖς δὲ ἀπὸ πολλοῦ διεχέσιν ἂν ἁρμόσουσα. καὶ πρῶτόν γε αὐτὴν ἐκθήσομαι, μετὰ τοῦτο καὶ

τὴν κοιλίαν ἐκταράσσομεν. δεῖ τοίνυν καρκίνους ποταμίους ὑπὸ κλήματος λευκῆς ἀμπέλου καῦσαι. καὶ τὴν τέφραν αὐτῶν λειοτριβήσαντα ἔχειν ἀποκειμένην. ὁμοίως δὲ καὶ ῥίζας γεντιανῆς ἀποτίθεσθαι κεκομμένην καὶ σεσησμένην. ὁπότε δέ τις δηχθείη ὑπὸ λυσσῶντος κυνός, εἰς οἴνου ἀκράτου κυάθους δ΄ ἐμβάλλειν δύο μὲν κοχλιάρια τῶν καρκίνων τέφρας. ἓν δὲ κοχλιάριον τῆς γεντιανῆς. καὶ ἐγκινήσαντας ὡς ἐν ἀλφίτῳ διδομένῳ, πίνειν ἀπὸ τῆς α΄ ἡμέρας μέχρι τεσσάρων ἡμερῶν. ἀπαρχῆς μὲν οὖν διδόμενον τὸ φάρμακον, τοῦτον προσφερέσθω τὸν τρόπον. εἰ δὲ ἡμέραι παρεληλύθασι δύο ἢ τρεῖς ἀπὸ τῆς δήξεως, ἐγχειροῦντας τῇ θεραπείᾳ, διπλάσιον δεῖ διδόναι ὅσον ἐξαρχῆς εἰρήκαμεν. τὸ μὲν ἄριστον τῶν τῶν λυσσοδήκτων βοηθημάτων ὃ δὴ καὶ μόνον ἐνίοις ἤρκεσε τοῦτό ἐστι. καὶ χρηστέον αὐτῷ μετὰ πεποιθήσεως. ἕνεκα δὲ τοῦ καὶ δι᾽ ἄλλων ἀσφαλισθῆναι πρὸς ἄφυκτον δοκοῦντα κίνδυνον, οὐδὲν τὸ κωλῦόν ἐστι καὶ ἑτέροις λοιποῖς χρήσασθαι. αἱρετώτερον δὲ διακενῆς αὖ οὕτω τυχεῖν τῶν βοηθημάτων, τὸ ἀπάνθρωπον ὑπομεῖναι, ἢ διὰ τὴν ὀλιγωρίαν κινδύνῳ περιπεσεῖν. οὐχ οὕτω δὲ εὐλαβητέον τὰ μεγάλα τραύματα τῶν τῶν λυσσοδήκτων, ὥστε τὰ μικρὰ καὶ ταῖς ἀμυχαῖς ἐμφερῆ. διὰ γὰρ τῶν μειζόνων ἀθρόως τὸ πολὺ αἷμα προχεόμενον, δύναταί τι καὶ τοῦ ἰοῦ συναποκλύζειν. διὰ δὲ τῶν μικροτέρων οὐδαμῶς. καὶ ἐκ μὲν τῶν μειζόνων τὰς ἀφεσταμένας σάρκας αὐτόθεν ἀφαιρετέον. καὶ τὰ χείλη περιλυπτέον διὰ τῆς ἀκμῆς. ἀνατεθείσης δὲ τῆς σαρκὸς ἀγκίστρῳ ἢ μυδίῳ, τὴν ἐκτομὴν ἀποτελεστέον. ἐπὶ ἀμφοτέρων δὲ τὰ ἐν κύκλῳ βαθυτέραις ἀμυχαῖς καταχαρακτέον. εἰ πῶς ἡ τοῦ αἵματος παραπλησιωτέρα γένοιτο μὲν ἡ κένωσις, ἐναντιωθήσεται τὰ σώματα τῇ τοῦ ἰοῦ διαδόσει. πολλὴν δὲ καὶ ἡ σικύα κολληθεῖσα μετὰ πολλῆς φλογὸς παράσχοι ὠφέλειαν, ὥστε λῦσαι τοῦ ἰοῦ τὴν δύναμιν.

## Περὶ καύσεως.

Ἡ δὲ καῦσις ἀσφαλεστάτη τῶν τῶν ἰοβόλων ἐστὶ βοηθημάτων. τὸ γὰρ πυρῶδες δυνάμεως ἰσχυρότερον ὑπάρχον, ὁμοῦ μὲν κρατεῖ καὶ κωλύει φέρεσθαι τὸν ἰὸν ἐσωτέρω. ὁμοῦ δὲ τὸ κρατηθὲν αὐτοῦ μέρος τῆς ἐφεξῆς θεραπείας, καταβολὴν οὐ τὴν τυχοῦσαν ἐργάζεται. παραμενούσης τῆς ἑλκώσεως ἐπιπλεῖον. τὴν μὲν γὰρ ἔκπτωσιν τῆς ἐσχάρας μάλιστα ἐκ τούτου φροντιστέον, ὅπως μὴ ταχέως τὰ μέρη συγκλεισθείη. ἀλλ᾽ εἰ δυνατόν ἐστι πολὺ τῆς προθεσμίας τὰς ἑλκώσεις τηρητέον. καὶ ἐπὶ φλεγμαινούσας καὶ ἐπὶ ῥυπαινομένας. παρέξει δὲ αὐταῖς τὸ τοιοῦτον τάριχος ἐπιτιθέμενον. καὶ σκόροδον ἄγριον λελειοτριβημένον. κρόμμυά τε ὡσαύτως. ἐπεὶ μὲν οὖν μάλιστα ὁ κυρηναϊκὸς ὁ καλούμενος μηδικὸς ἢ παρθικός. κόκκοι δὲ πυρῶν ἐπιτιθέσθωσαν καὶ μεμασημένοι καὶ ἀμάσητοι. διαφυρόμενοι μὲν γὰρ ἀπὸ τῆς ἐμβροχῆς ἀναρρωννύουσι τὰ τραύματα. τινὲς δὲ οἴονται τοὺς μεμασημένους ἀντιπαθές τι ἔχειν ἀπὸ τῶν μεμασηκότων νηστείας. οὐ μὴν τοῦτο βέβαιόν ἐστιν. ἀλλὰ δὴ καιρῶς αὐτοῖς χρηστέον. εἰ δὲ ὅπερ γίνεται πολλάκις, καὶ οὐλαὶ συνεχόμεναι φθάνουσι πρὸ τῶν ἡμερῶν, διὰ χειρὸς ἀναξαίνειν προσήκει. περισαρκίζοντας καὶ τέμνοντας. ἢ καὶ ἐπικαίοντας πάλιν ἐὰν οὕτω τύχῃ. παρελθούσης δὲ τῆς προκειμένης προθεσμίας, ἀφετέον μὲν ἀπουλωθῆναι τοῖς ἕλκεσιν. ἐμπλάστρῳ δὲ τῇ διὰ τῶν ἁλῶν ὅλον τὸν τόπον καταλειπτέον. μετὰ ὀλίγας δὲ ἡμέρας καὶ σιναπιστέον,

# ΕΒΔΟΜΟΝ.

## Περὶ διαίτης τῶν ὑπὸ κυνὸς λυσσῶντος δηχθέντων. κεʹ.

Ἡ μὲν οὖν γενικὴ θεραπεία τῶν λυσσοδήκτων, τοιαύτη τίς ἐστι. δεῖ δὲ καὶ τὴν δίαιταν αὐτῶν ἐσχηματίσθαι πρὸς τὴν τοῦ ἰοῦ ἐναντίωσιν. ἵνα ὁμοῦ μὲν ἀμβλύνῃ καὶ σβεννύῃ τὴν δύναμιν. ὁμοῦ δὲ κωλύῃ τὴν εἰς βάθος φοράν. καταλαμβανόμενα γὰρ ἀντιπάσχει τῇ παρεισδύσει τῆς φθοροποιοῦ δυνάμεως. δύναται δὲ τούτων ἑκάτερον παρέχειν ἥ τε τοῦ οἴνου ἀκράτου ζωροτέρου πόσις καὶ γλυκέος καὶ γάλακτος. οἱ γὰρ ταῦτα πάντα λαμβάνοντες πρὸς τὴν ἐπιμέλειαν, ἐνίστανταί τι τῷ ἰῷ. καὶ παύσειεν αὐτοῦ τὴν δριμύτητα ἐκλυθείσης. ὡσαύτως δὲ καὶ σκόροδον καὶ πράσον καὶ κρόμμυον ἐδωδή. καὶ ταῦτα γὰρ τὸ ὅλον δυσμετάβλητα καὶ δυσεξίτηλα. παραμένουσι γὰρ αὐτῶν αἱ ποιότητες ἐπὶ πλείους ἡμέρας ὁπόταν οὐ νικᾶται οὐδὲ τρέπεται ὑπὸ τῆς φθοροποιοῦ δυνάμεως. ἐκ δὲ τῶν ἐναντίων κρατεῖν αὐτῆς πέφυκεν. εἰς τοῦτο δὲ καὶ τῶν ἀντιδότων ἐστὶ χρεία. καὶ τῆς θηριακῆς. καὶ τῆς διὰ ... λεγομένης. καὶ τῆς μιθριδατείου καὶ πάσης ἄλλης ἥτις ἐκ πλειόνων ἀρωμάτων ἔλαχε τὴν σύστασιν. δυσμετάβλητα γὰρ τῇ συστάσει πάντα τὰ ἀρώματα ταῖς δυνάμεσι καὶ ταῖς οὐσίαις. διὸ περικρατεῖται τοῖς σώμασι. τοιοῦτος μὲν οὖν καὶ ὁ τῆς διαίτης τρόπος. δεῖ δὲ γινώσκειν ὅτι ἡ τοῦ ὑδροφοβικοῦ πάθους ἐγκατάσκηψις, οὐδὲ ὡρισμένην ἔχει προθεσμίαν. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἕως τεσσαρακοστῆς ἡμέρας ἐλθὸν, τοῖς ἀμεληθεῖσι καὶ δι᾽ ἑξαμήνου ἐνίοις ἀπήντησε. καὶ δι᾽ ἐνιαυτοῦ. καὶ ταῦτα ἡμῖν ἑώραται. ἱστοροῦσι δέ τινες μετὰ ἑπταετίαν ἐνίοις ἐνδεδωκέναι τὸ πάθος. καὶ κατὰ μὲν τὰς ἀρχὰς τῶν λυσσοδήκτων ἡ θεραπεία, τοιαύτη ἐστίν. ἐὰν δὲ ὅπως δήποτε οὖν ἐν ταῖς πρώταις ἡμέραις μὴ προληφθῇ τὰ προειρημένα βοηθήματα, τὸ μὲν περισχαρίζειν καὶ καίειν, παραλειπτέον. καὶ γὰρ ἱκανῶς εἰς τὸ παρεληλυθὸς μετὰ γένους δύναται. οὐδεμία γὰρ ὄνησις τῆς ἐπιβολῆς. ἀλλὰ διακενῆς τὰ σώματα ταῖς ὀδύναις ὑποβληθήσεται. τρόπος δὲ τῆς θεραπείας ἕτερος ἀπ᾽ αὐτῶν. κάθαρσις. ἡ καὶ μέγα ὄφελος ἐμπαρέχειν δυναμένη συμμέτρως. ποιεῖ γὰρ τὴν ἕξιν κινεῖσθαι. ἥ τε διὰ τῆς κολοκυνθίδος ἱερὰ δόσις. καὶ δὴ καὶ τὸ γάλα τὸ σχιστὸν, ὁμοῦ κάθαρσιν καὶ ἐπικράτησιν παρέχειν δυνάμενον. αἵ τε δριμυφαγίαι καὶ ἡ τοῦ ἀκράτου πόσις, παραλαμβανέσθωσαν καθημέραν. ἀμβλύνειν δυνάμεναι τὸν ἰόν. καὶ πρὸς τούτοις ἱδρωτοποιία. καὶ πρὸ τροφῆς καὶ μετὰ τροφήν. δρωπακισμός τε καὶ σιναπισμὸς κατὰ μέρος ἐφ᾽ ὅλου τοῦ σώματος. πάντων δὲ ἀνισμώτατον αὐτῶν ὁ ἐλλεβορισμὸς ἐγνώσθη. καὶ χρηστέον τεθαρρηκότως τῷ βοηθήματι. οὐχ ἅπαξ. οὐδὲ δίς. ἀλλὰ καὶ πλειστάκις πρὸ τῆς τεσσαρακοστῆς ἢ καὶ μετὰ ταῦτα. τοσαύτην γὰρ τὴν ἰσχὺν προσφέρεται τὸ βοήθημα, ὥστε τῶν ἤδη σημειουμένων τοῦ ὑδροφόβου, περισωθῆναι τινὰς λαβόντας ἐλλέβορον εὐθὺς ἐν τῷ πρώτῳ καταπειρασμῷ τοῦ συμπτώματος. τοὺς γὰρ ἤδη κατεχομένους, οὐδὲ αὐτός τι περιποιῆσαι δύναται. τὴν μὲν οὖν τῶν λυσσοδήκτων ἐπιμέλειαν περὶ τὴν ἐξεθέμεθα, δι᾽ ὃ ἔμπροσθεν εἰρήκαμεν ἐπὶ λεπτόν. μεταβαίνοντες δὲ ἐπὶ τὰ λοιπὰ τῶν ἰοβόλων, πρῶτον μὲν τὰς σημειώσεις αὐτῶν, ὑπὸ μίαν ἐκθησόμεθα πρόφασιν. μετὰ δὲ τοῦτο, κοινὴν τὴν θεραπείαν πᾶσι ἁρμόσαι δυναμένην. ὑποδραμόντες δὲ ἑξῆς ὑποδείξομεν, ἐπεὶ κατὰ τὴν ἰδιότητα ἐνίοις προσωφελεῖν πέφυκεν, ὁμοίως καὶ τὰ τελείως ἀβοήθητα παρασημειωσόμεθα.

## Περὶ σημειώσεων τῶν ὑπὸ ἰοβόλων δεδηγμένων. ΒΙΒΛΙΟΝ. Η.

### Περὶ φαλαγγίων. πγ.

Οἷς μὲν ὑπὸ φαλαγγίων δεδηγμένοις, αὐτὸς μὲν ὁ τόπος ἐνερευθὴς ἐστὶ καὶ ὅμοιος κεντήμασιν ἐπιδιαδήλως οὔτε περίθερμος. ἀλλὰ μετρίως μὲν ὑπέρυθρος. ἐκ δὲ τῶν ἐναντίων κατεψυγμένος. παρακολουθεῖ δὲ τρόμος δι' ὅλου τοῦ σώματος. καὶ ἐντάσεις περὶ τοὺς βουβῶνας. καὶ τὰς ἰγνύας προσποιητικὰς σπασμοῦ. περὶ τὴν ὀσφὺν σύλλημα καὶ συνεχὴς πρὸς οὔρησιν ἐρεθισμός. δυσκολία πολλὴ περὶ τὴν ἔκκρισιν τοῦ περιττώματος. ὁμοίως δὲ καὶ ἱδρὼς ψυχρὸς καθόλου τὴν ἐπιφάνειαν ἐκκρίνεται. τά τε ὄμματα δακρύει καὶ πως ἀμαυροῦται.

### Περὶ σκολοπένδρας. πδ.

Τοῖς δὲ ὑπὸ τῆς καλουμένης σκολοπένδρας ἢ ὀφιοκτόνης δεδηγμένοις, ὁ μὲν ἐγκύκλῳ τόπος τοῦ δήγματος, πελιοῦται καὶ περισήπεται. καὶ ποτὲ τρυγώδης κατὰ τὸ σπάνιον καὶ ἐνερευθὴς φαίνεται. ἑλκοῦται δὲ ἀπ' αὐτοῦ τοῦ δήγματος λαμβάνων τὴν ἀρχὴν, ἕλκωσίν τινα ἐπίπονον καὶ δυσαλθῆ. πρὸς δὲ τούτοις περὶ ὅλον τὸ σῶμα συναίσθησις γίνεται κνησμώδης.

### Περὶ σκορπίου. πε.

Τοῖς δὲ ὑπὸ σκορπίου δηχθεῖσιν, ὁ μὲν τόπος εὐθέως ἄρχεται φλεγμαίνειν. σκληρὸς καὶ ἐνερευθὴς καὶ περιπλής. σὺν ὀδύνῃ γινόμενος ἐναγαξ. ὁτὲ μὲν γὰρ πύρωσις. αὖθις δὲ ψῦξις ἐπιλαμβάνεται. καὶ πόνος ὀξυτίνης. καὶ ποτὲ μὲν ῥαΐζει. ποτὲ δὲ ἐπιτείνεται. περιπίπτει δ' αὐτοῖς ἱδρὼς καὶ φρικώδης αἴσθησις. καὶ τρόμος καὶ περίψυξις ἀκρωτηρίων. καὶ βουβώνων ἐπάρσεις. φύσαι τὰ διὰ τῆς ἕδρας. ὀρθοτριχία τε καὶ δυσχροια. ἐπαλγὴς περὶ τὴν ἐπιφάνειαν τῆς αἰσθήσεως καθάπερ ἀπὸ βελόνης κεντημάτων ὀδυνωμένη.

### Περὶ τρυγόνος θαλασσίας, πϛ.

Τοῖς δὲ ὑπὸ τρυγόνος θαλασσίας δηχθεῖσι, παραυτίκα μὲν περιωδυνίαι συμβαίνουσι δυσκατέργαστοι. σπασμοί τε συνεχεῖς καὶ πόνος. καὶ ἀτονία καὶ διανοίας παραφορά. μετὰ δὲ ταῦτα ἀφωνία καὶ σκοτασμὸς ὀφθαλμῶν. αὐτὸς δὲ ὁ πληγεὶς τόπος, μέλας γίνεται κύκλῳ καὶ τὰ πλησίον αὐτοῦ μέρη. καὶ πρὸς τὴν ἀφὴν ἀναισθητεῖ. ἐπὰν δέ τις αὐτὴν ἀποψήσῃ, ἰχὼρ ἐξ αὐτοῦ μέλας. παχὺς. δυσώδης ἐκκρίνεται.

### Περὶ μυγαλῆς. πζ.

Τοῖς δὲ ὑπὸ μυγαλῆς δηχθεῖσι, κύκλῳ μὲν περὶ τὸν τόπον τοῦ δήγματος γίνεται φλεγμονή. φλυκτὶς δὲ ἐπανίσταται μέλαινα. μεστὴ ἰχῶρος ὑδατώδους. καὶ τὰ πλησίον πάντα πελιοῦται. ῥαγείσης τε τῆς φλυκταίνης, νομὴ περιλαμβάνει παραπλησία τῇ ἀπὸ τῶν ἑρπυστικῶν. σὺν τούτοις δὲ παρέπεται καὶ στρόφος περὶ τὰ ἔντερα. καὶ δυσουρία. καὶ ψυχρᾶς τοπίοις περίχυσις.

### Περὶ ἐχίδνης. πη.

Τοῖς δὲ ὑπὸ ἐχίδνης δηχθεῖσιν, οἰδεῖ καὶ ἐφ' ἱκανὸν τὸ σῶμα ξηραίνεται. τὴν χροιὰν δὲ ὑπόλευκον ἔχει. ἰχὼρ δὲ ἀπὸ τοῦ τραύματος προχεῖται. τὸ μὲν πρῶτον ὑπολίπαρος. μετὰ ταῦτα δὲ αἱματώδης. φλυκταινῶν τε ἐπαναστάσεις καθάπερ ἐπὶ τῶν πυρικαύστων ἕπεται. καὶ νομὴ προκαταλαμβάνει προχωροῦσα ἐπὶ τὰ παρακείμενα πάντα πλησίον. οὐ μόνον ἐπιπόλαιος ἀλλὰ καὶ διὰ βάθους. αἱμάσσεται δὲ αὐτοῖς καὶ τὰ οὖλα. καὶ περὶ τὸ ἧπαρ συνίσταται φλεγμονή. στρόφοι τε καὶ χολώδεις ἐπισυμβαίνουσιν ἔμετοι. προσγίνεται δὲ αὐτοῖς ἔμετος καὶ κάρος. καὶ δυσουρία καὶ ψυχρὰ περίδρωσις.

### Περὶ ἀμφισβαίνης. πθ.

Παραπλήσια δὲ συμβαίνει καὶ τοῖς ὑπὸ τῆς προσαγορευομένης σκυτάλης ἢ ἀμφισβαίνης

ὌΓΔΟΟΝ

δηχθεῖσι. βοηθεῖ δὲ σχεδὸν ἤδη τὰ αὐτά. διὸ τῆς ἰδίας ἀναγραφῆς οὐ τετύχηκεν. οὔτι ἐξ ἰδίου θηρίου εἶδος τοῦτο.

Περὶ δρυΐνου. κεφ. σλδ'.

Τοῖς δὲ ὑπὸ δρυΐνου δηχθεῖσιν, ἰσχυραὶ περιωδυνίαι ἐμπίπτουσι, καὶ φλυκταινώσεις ἐν τῷ οἰκείῳ μέρει. ὅπου δὲ καὶ ὑδατώδης ἰχῶρος ἔκχυσις. ἐπακολουθεῖ δὲ καὶ δηγμὸς καὶ στρόφος.

Περὶ αἱμορρόου. κεφ. σλε'.

Τοῖς δὲ ὑπὸ αἱμόρρου δηχθεῖσιν, ἰσχυραὶ περιωδυνίαι ἐμπίπτουσι. βραχέα δὲ καὶ στενὰ παντελῶς περιέχουσι τὰ σώματα ὑπὸ συντυχίας τῶν ἀλγημάτων. ἐκ δὲ τοῦ δήγματος ἐκκρίνεται πολλή. καὶ ὅλον καθ' ἕτερον μέρος τοῦ σώματος ὑπάρχει, περιέχει αἱμορροεῖν. τὰ δὲ διαχωρήματα αἱματώδη ἐκκρίνεται. τὸ ἀπερρευμένον ἀπὸ τοῦ αἵματος θρομβώμενόν ἐστι. βήσσοντές τε ἀπὸ πνεύμονος, αἷμα ἀνάγουσι. καὶ ἐξεμοῦσιν ἀβοηθήτως.

Περὶ διψάδος. κεφ. σλς'.

Τοῖς δὲ δηχθεῖσιν ὑπὸ διψάδος, ἀσθενὴς ὄγκος ἐγγίνεται. ἡ δὲ δίψα ἐπιπίπτει ἰσχυρῶς ὥστε ἀπλήρωτον καὶ ἀδιάλειπτον εἶναι. ἢ τὸ ποτὸν χανδὸν ἕλκουσι. κἂν δὲ αὐτῷ καθίσωσι. τῷ δὲ μὴ τὴν ἀρχὴν ἀληφότι τὸ ποτόν, παραπλήσιον τῇ ὅλου τοῦ συγκρίματος ἀκολουθεῖ. διὰ τὴν συνοχὴν τοῦ σώματος εἰς φθοράν. ὅπερ πυρετικὴν καὶ καῦσον προσαγορεύεται ἡ δίψα.

Περὶ ὕδρου. κεφ. σλζ'.

Τοῖς δὲ ὑπὸ ὕδρου δηχθεῖσι, τὸ ἕλκος πλατύνεται καὶ μέγα γίνεται πελιούμενον. ἰχώρ τε ἐξ αὐτοῦ μέλας καὶ πολὺς καὶ δυσώδης οἷον ἀπὸ νομῆς ἐκκρίνεται.

Περὶ κέγχρου. κεφ. σλη'.

Τοῖς δὲ ὑπὸ κέγχρου δηχθεῖσι, τὸ μὲν δῆγμα ὅμοιον τοῖς ἀπὸ τῆς ἐχίδνης. σηπεδὼν δὲ παρακολουθεῖ. καὶ περιρρέουσι σάρκες ἐξοιδήσασαι πρότερον ὡς ἐπὶ ὑδρωπικῶν. ληθαργώδεις τε γίνονται καὶ κατὰ φορᾶς αἴτιοι. Ἐρασίστρατος δέ φησιν αὐτοὺς ἐπιτιθέναι τὸ ἧπαρ καὶ τὴν κύστιν καὶ τὸ κῶλον ἀνατμηθέντων ἐξ αὐτῶν, διεφθαρμένα πως εὑρίσκεται πάντα τὰ μέρη.

Περὶ κεράστου. κεφ. σλθ'.

Τοῖς δὲ ὑπὸ κεράστου δηχθεῖσιν, ὁ μὲν τόπος ἐπαίρεται μετὰ σκληρίας καὶ φλυκταινώσεως. ῥεῖ δὲ ἀπὸ τοῦ δήγματος ἰχὼρ ποτὲ μὲν μέλας, ποτὲ δὲ ὕπωχρος. κιρρὸς δὲ καὶ γίνεται περὶ τὸ σύγκριμα ὅλον. καὶ τὸ μὲν αἰδοῖον τείνεται. ἡ δὲ διάνοια ἐξίσταται. ὀφθαλμῶν τε ἀμαύρωσις ἐπιγίνεται. τέλος δὲ ἀπόλλυνται σπώμενοι τεταρταῖοι.

Περὶ ἀσπίδος. κεφ. σμ'.

Τοῖς δὲ ὑπὸ ἀσπίδος δηχθεῖσι, τὸ μὲν δῆγμα ὅμοιον τοῖς ὑπὸ βελόνης κεντήμασι μικρὸν παντελῶς φαίνεται χωρὶς τῆς ἐπάρσεως. καὶ αἱμάτιον δὲ οὐ πολύ, ἀλλὰ βραχὺ καὶ μέλαν ἀποστάζει. ταχεῖα δὲ ἀμαύρωσις ὀμμάτων καταλαμβάνεται. πόνος τε ὅλου τοῦ σώματος κελυφώδης· παντὰ πᾶσι ἐλαφρὸς ἢ ὥσπερ ἡδονῆς παρακολουθεῖ. διὸ καλῶς ὁ Νίκανδρος ἐπιφωνήσει, καμάτου ἄτερ ὄλλυται ἀνήρ. χρόαν ἀπόπληκτος καὶ χλοανθής. καρδιωγμὸς ὀλίγος. μέτωπον δὲ συνεχῶς ἀνασπᾶται. βλέφαρα κινοῦνται μετὰ ἀναισθησίας ὁμοίως ὕπνῳ. καὶ τούτοις θάνατος συναίρει μὴ ἢ τρίτην ἡμέρας διαλιπών. Ἐρασίστρατος ἐν τῷ καλουμένῳ περὶ δυνάμεων καὶ θανασίμων καὶ περὶ τοῦ καλουμένου βασιλίσκου ἑρπετοῦ οὕτω φησίν· ὅταν ὁ βασιλίσκος δάκῃ, πληγὴ ὑπόχρυσος γίνεται. τὰ μὲν οὖν ἐν τοῖς πλείοσι τῶν ἰοβόλων παρακολουθοῦντα σημεῖα, τοιαῦτά ἐστι. μεταβαίνοντες δὲ ἐπὶ τὴν θεραπείαν, πρῶτον τὰ κοινὰ τῆς θεραπείας ὡς δυνατὸν παραδώσομεν.

Τίς κοινὴ τῶν ἰοβόλων θεραπεία. κεφ. σμα'.

Πρὸς πᾶσαν πληγὴν ἰοβόλου ἁρμόζει ἡ διὰ τοῦ στόματος ἐκμύζησις. δεῖ δὲ μὲν ἄσιτον εἶναι

τὸν ἐκμυζῶντα· ἀλλὰ καὶ ἐλαιόμελι ῥοφεῖν. καὶ διακλύζεσθαι οἴνῳ. ἔπειτα δὲ καὶ βραχύ τι ἐν τῷ στόματι ἐλαίου κατέχων, οὕτω τὴν ἐκμύζησιν ἐπιτελείτω. καὶ αὐτὸς δὲ ὁ τόπος σπόγγῳ πυριάσθω. ἔπειτα δὲ ἐγκαταχαραττέσθω. βαθύτερον δὲ ἐμβαλεῖν τὰς ἀμυχὰς προσήκει, ὅπως τὴν ὕλην ἐκ βάθους ἀναλαμβάνῃ. ὁ περισκαρισμὸς δὲ καὶ ἐκτομή, πλεονεκτικώτερον κατὰ πολλοῦ βοηθοῦσιν. ἰδίᾳ γὰρ ἑκατέρου τὰ χρησιμεύοντα γίνεται. ἐν μὲν ὅτι ἀφαιρεῖται ὁ ἰὸς ἐκ τοῦ τόπου. δεύτερον δὲ ὅτι τῷ αἵματι συνεκκρίνεται πολλῷ καὶ ἀθρόῳ τὸ φθάσαν ἔσω παρελθεῖν. εἰ δὲ ὁ τόπος τὸν περισκαρισμὸν οὐ προσδέχοιτο, σικύας χρὴ προσβάλλειν μετὰ φλογὸς πλείονος. περὶ δὲ καύσεως ἤδη τῶν ἀναστομωτικῶν προειρήκαμεν. εἰ δὲ εὐφυῶς ἔχει πρὸς ἀποκοπὴν τὸ μέρος τὸ δεδηγμένον, μάλιστα ἐπὶ τῶν πάντων θηρίων ἀνενδοιάστως τὸν ἀκρωτηριασμὸν ποιητέον. ὡς ἀσπίδος καὶ κεράστου καὶ τῶν ὁμοίων. ὡς ἐπιτηδειότερα τῶν προειρημένων βοηθημάτων, ἄξια ἐπιθέματά ἐστιν. ἐπιτιθέσθω δὲ τέφρα κληματίνη ἢ συκίνη, μετὰ κονίας στακτῆς πεφυραμένης. γάρος δριμέος. τρίχου. πράσα τε καὶ κρόμμυα. καὶ σκόροδα ποτὲ μὲν ὡς ἐκθλιβέντα καταπλάττεται. ποτὲ δὲ καέντα προσβάλλεται τοῖς δήγμασι. καὶ οἱ τῶν ὀρνίθων νεοσσοὶ διαχισθέντες καὶ θερμότατοι περιτιθέμενοι τῷ πεπληγότι τόπῳ, τινὲς μὲν ὡς ἀντιπαθέσιν αὐτοῖς ἐχρήσαντο. πρόχειρον δὲ ἔχει τὸν λόγον· φύσει γὰρ οἱ ὄρνιθες εἰσὶ θερμοί. διὸ καὶ ἐπίσημον τὸν ἰὸν καταπέσσουσι, ἔχουσι καὶ τὰ ξηρότατα δαπανῶσι τῶν σπερμάτων. ἐνίοτε καὶ ψάμμους καὶ λίθους διαλύουσιν ἐμφαγόμενα. τοιγαροῦν πρὸς τὴν τοῦ ζώου θερμασίαν, τὸ πνεῦμα τὸ ἐκ τοῦ δεδηγμένου μέρους ὁρμὴν λαμβάνει, συνεξάγει τὸν ἰόν. ἔγνωμεν δὲ τῶν ἐν Αἰγύπτῳ τοιοῦτόν τι γινόμενον. ὁπόταν οἱ Αἰγύπτιοι θερίσωσι τὸν στάχυν, χύτραν ἔχουσι κατεσκευασμένην πίσσης. καὶ σφήκωμα προσηρτημένον τῇ χύτρᾳ. τότε γὰρ μάλιστα δάκνουσι τὰ θηρία. καὶ διὰ τὴν ὥραν, καὶ τῷ λανθάνειν αὐτὰ κεκρυμμένα κατὰ τῶν ὀπῶν τῶν ἐν ταῖς ἀρούραις ἐπισκοτούμενα ὁμοῦ καὶ ὑπὸ τῆς δασύτητος τῶν χόρτων. πολλὰ δὲ καὶ τὰ πεδία χαλεπώτερα τῶν ἰοβόλων ζώων ἡ Αἴγυπτος φέρει. ἐπειδὰν οὖν δηχθῇ τις πόδα ἢ ἄλλο τι μέρος, ταχέως οἱ παρατυχόντες τὸ σφήκωμα βάλλουσιν εἰς τὴν κύθραν τῆς πίσσης. καὶ περιελοῦσιν ἄνωθεν ἢ διὰ περὶ τὸν πῆχυν ἢ τὴν κνήμην, μικρὸν ἐπάνω τοῦ δήγματος. καὶ περισφίγγουσι δύο παρεστῶτες ἰσχυρῶς. καὶ ἐντέμνοντες τὸν τόπον διὰ τῆς περιθέσεως τοῦ βρόχου, ἐπιχέουσι καὶ πίσσαν. ὅταν δὲ αὐτάρκως ἔχειν δοκῇ, τὸν βρόχον ἀφαιροῦσι καὶ καταπλάττουσι κρομμύοις. καὶ ἐκ διαγωγῶν τῶν προειρημένων. καὶ τούτων δὲ χωρὶς ὑγρὰ πίσσα μετ᾽ ἄλλων λείων θερμοτέρων καταπλαττομένη, σπουδαίως βοηθεῖ. αὐτὴ καινοτέρα ἐστὶ συνεχέστερον ὡσαύτως ἁρμόζει καὶ κέδρος. τά τε σπέρματα τῶν ἄλλων ἐν οἴνῳ καθεψόμενα. ἀρήγει δὲ αὐτοῖς καὶ κατάντλησις δι᾽ ὄξους θερμοῦ. καὶ καλαμίνθη ἑψομένη δι᾽ οὔρου καὶ θαλάσσης ἢ ὀξάλμης. εἶτα δὲ καὶ ἐμπλαστροειδῆ ἐμμυτεύεται καὶ θερμότατα καὶ δυνάμενα τὸν ἰὸν ἐπισπᾶσθαι. καὶ διακρατεῖν καὶ διαφορεῖν. ὡς δι᾽ ἄλλων ἢ νίτρου καὶ σινάπεως καὶ κάγχρυος προσφερόμενα. ἅσπερ ἑξῆς ῥητέον. οὐκ ἀλόγως δὲ ὁ Ἐρασίστρατος ἐπιμέμφεται τοῖς ἀγνώστους δυνάμεις πρὸς τὴν χρείαν ἀναγράφουσιν. ὡς χολὴν ἐλέφαντος καὶ αἷμα χελώνης ἢ κροκοδείλου. καὶ ὠὰ καὶ τὰ παραπλήσια. δοκοῦσι μὲν γάρ τινα πεπιστεῦσθαι παραδόσει ὠφελούντων ἐξηπατήκασι δὲ αὐτὰ μόνα τοὺς ἐντυγχάνοντας. ὅθεν τὰ μὲν τοιαῦτα παραιτητέον μήτε ῥᾳδίως εὑρεθῆναι δυνάμενα εἰμὴ ὑπ᾽ ἐξουσίας βασιλικῆς, μήτε διὰ τῆς πλείστης τηρήσεως οἷαν εἰς τὸ πιστευθῆναι τὴν πεῖραν παρεσχημένα. τὰ δὲ κοινωφελῆ καὶ εὔπο-

ρίσαι, ὑποδεικτέον. τὰ καὶ εἰς πάντα τε ἐν πᾶσι τοῖς θηριοδήκτοις δυνάμενα τὴν χρῆσιν παρέχειν. σέρις τοίνυν καὶ ἐρύκη καὶ ἀστράγαλος πινόμενα μετ᾽ ὄξους, πᾶσι τοῖς θηριοδήκτοις βοηθεῖ. ὡσαύτως τε ἄσφαλτος καὶ πλατάνου χλωρὰ σφαιρία καθεψηθέντα ἐν κράματι. καὶ παλιούρου ἀφέψημα. καὶ ῥίζα ἀριστολοχίας καὶ ἠρύγγιον. καὶ δαφνίδες ἑφθαὶ καταπινόμεναι καὶ πιτυίδες μάλιστα βρωθεῖσαι καὶ πήγανον τε αὐτὸ καὶ κυκλάμινον. πράσων τε κόμη ἰδίᾳ συνάρτυτος ἢ σκόροδα ἐκρόμμυα. καὶ τὰ ῥίζα δριμύτατος. τε ὀριγάνου ἀφέψημα σὺν οἴνῳ πινόμενον. καὶ μαράθρου καὶ γλήχωνος τε καλαμίνθης τε πράσων χυλὸς σὺν μέλιτι καταρροφούμενος. ταῦτα μὲν ἐκ τῶν φυομένων. ἀπὸ ζῴων δὲ λαμβάνεται τινὰ ὠφελίμως, ἐγκέφαλοι μὲν ἀλεκτρυόνων ἐσθιόμενοι. πυτία ἢ λαγωοῦ σὺν οἴνῳ πινομένη καὶ καστορίου δραχμαὶ β΄ τὸν αὐτὸν τρόπον. λέγεται δὲ καὶ ὅτι χελώνης θαλασσίας οἱ ὄρχεις λαμβανόμενοι βοηθοῦσι. ἔστι δὲ καὶ ἡ γαλῆ ἡ σκυλευτευθεῖσα τῶν βεβοηθημένων. εὑρίσκεται δὲ πρότερον ἢ πάντη χλωθεῖσα τῶν ἐντὸς ἐκκριθέντων. σκελετεύεται δὲ ξηραινόμενον. καὶ ἀπ᾽ αὐτῆς δύο δραχμαὶ σὺν οἴνῳ πινόμεναι. τοσαῦτα δὴ καὶ τὰ ἁπλᾶ τῶν προσφερομένων. ἁρμόζει δὲ τοῖς θηριοδήκτοις καὶ κάθαρσις διὰ κοιλίας. καὶ ἱδρωτοποιΐα. καὶ οὔρων πολλῶν ἔκκρισις. σκευαστὰ δὲ πόματα παραδέδοται κοινότερον ὑπισχνούμενα βοηθεῖν. ὡς ὀποῦ καὶ σμύρνης ἀνὰ ὀβολοὺς καὶ πεπέρεως δραχμαὶ ε΄. ταῦτα δὲ δεῖ μέλιτι ἀναλαμβάνειν. καὶ δίδοσθαι κυάμου μέγεθος αἰγυπτίου μετὰ οἴνου. ὁμοίως πηγάνου ἀγρίου σπέρματος, μελανθίου. κυμίνου αἰθιοπικοῦ. χαλβάνης. ἀριστολοχίας. τούτων τὰ πάντα λεανθέντα καὶ φυραθέντα χυλῷ σιζύμου, ἀναπλάσσονται τροχίσκοι δραχμιαῖοι. δίδοται δὲ ἐξ αὐτῶν μετὰ οἴνου ἡμικοτύλιον. ταῦτα μὲν περὶ τῶν κοινῇ βοηθούντων. τὰ δὲ ἴδια πρὸς ἕκαστον τῶν ἰοβόλων ἑξῆς εἴπωμεν.

# ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ. ΒΙΒΛΙΟΝ. Θ΄.

## Περὶ θεραπείας τῶν ὑπὸ ἰοβόλων δεδηγμένων.

[ε]Ν τῇ συμφώσει περὶ σφηκῶν καὶ μελισσῶν οὐδὲν διηρθρώσαμεν. οὐδὲ ἄλλα γὰρ πᾶσιν ἰὼ καὶ παράσημον ἔχει ἐξαίρετον οὐδὲ ποῦν φυλασσόμενον. ἐν δὲ τῇ θεραπείᾳ καὶ τούτων οὐκ ἄτοπον μνημονεῦσαι.

### Περὶ θεραπείας τῶν ὑπὸ σφηκῶν τε μελισσῶν δεδηγμένων. κε΄. ζλη΄.

Πρὸς τὰς πληγὰς τῶν σφηκῶν τε μελισσῶν, ἁρμόζει μαλάχη καταπλασσομένη καὶ κρίθινον ἄλευρον σὺν ὄξει. καὶ συκῆς ὀπὸς ἐνσταζόμενος τοῖς δήγμασι. καὶ πυρία δι᾽ ἅλμης ἢ θαλάσσης.

### Περὶ τῶν ὑπὸ φαλαγγίων δεδηγμένων. κε΄. ζλθ΄.

Τοῖς δὲ ὑπὸ φαλαγγίων δεδηγμένοις, ταῦτα ἐπιτηδεύειν δεῖ. τέφραν συκίνην σὺν ἁλσὶ λε

οις μετ' οἴνου ἀναφυραμένων. ἢ ῥίζαν ἀγρίας ῥόας λελειοτριβημένην. ἢ ἀριστολοχίαν σὺν κριθίνῳ ἀλεύρῳ καὶ ὄξει δεδευμένων. καταντλεῖν δὲ θαλάσσῃ τὰ ἕλκη, ἢ μελισσοφύλλου ἀφεψήματι. ταύτης δὲ τὰ φύλλα ἐπιπλάσσειν. λουτρῷ δὲ λίαν συνεχέστερον, καὶ προποπισμοῖς χρηστέον διὰ τούτων τῶν φαρμάκων. ἀβροτόνου τὸ σπέρμα. ἀνίσον. ἀριστολοχία. τερέβινθος ἄγριος. κύμινον αἰθιοπικόν. κεδρίδες λεῖαι. πλατάνου φλοιός. καὶ τὸ σπέρμα τῆς τριφυλλίας πόας. τούτων δὲ ἑκάστου δίδοται κατὰ δόσιν < β μετ' οἴνου κοτύλης α΄. δίδοται δὲ καὶ μυρίκης ὁ καρπὸς ὡσαύτως, καὶ χαμαιπίτυος. καὶ τῶν χλωρῶν κυπαρίσσου σφαιρίων τὸ ἀφέψημα κιρνάμενον μετ' οἴνου. φασὶ δέ τινες καρκίνους ποταμίους χυλισθέντας μεθ' ὕδατος, ἢ γάλακτος καὶ προσλαβόντας σελίνου σπέρμα, παραχρῆμα τῶν σκληρῶν ἀπαλλάσσειν.

## Περὶ τῶν ὑπὸ σκολοπένδρας δεδηγμένων.

Τοῖς δὲ ὑπὸ σκολοπένδρας δεδηγμένοις, κατὰ μὲν τὴν πληγὴν ἐπιθετέον δεῖ λελειοτριβημένον μετ' ὄξους ἅλας. ἢ πήγανον ἄγριον. καταντλεῖν δὲ ἐξάλμῃ τὸν τόπον. πότιμα δὲ προσφέρειν ἀριστολοχίαν μετ' οἴνου. ἢ ἕρπυλλον ἢ καλαμίνθην. ἢ ἄγριον πήγανον.

## Περὶ τῶν ὑπὸ σκορπίου δεδηγμένων.

Τοῖς δὲ ὑπὸ σκορπίου πληγεῖσι παραχρῆμα μὲν ἀκριβῶς βοηθεῖ συκῆς ὀπὸς εἰς τὰ τραύματα ἐνσταχθείς. αὐτός τε ὁ πλήξας σκορπίος λελειοτριβηθεὶς καὶ ἐπιτεθεὶς τῷ πληγέντι τόπῳ, τῆς ἰδίας πληγῆς γίνεται βοηθὸς κατά τινα ἀντιπάθειαν ὡς ἔοικε. μετὰ δὲ τοῦτο ἁρμόζει λεῖος ἐπιτιθέμενος ὁ σκορπίος σὺν ἅλατι καὶ λινοσπέρμῳ καὶ τῇ ἀλθαίᾳ βοτάνῃ. βοηθεῖ δὲ καὶ θεῖον ἄπυρον ἀναληφθὲν ῥητίνῃ τερμινθίνῃ καὶ ὡς ἔμπλαστρον ἐπιτεθέν. ὁμοίως δὲ καὶ χαλβάνη πλατυνθεῖσα σπληνίου τύπῳ, καὶ καλαμίνθη λεία καταπλασσομένη καὶ ὠμήλυσις ἐν οἴνῳ σκευασθεῖσα. ἐν ἀφεψήματι πηγάνου. βοηθεῖ δὲ καὶ τὸ σπέρμα τῆς τριφυλλίας πόας λειανόμενον καὶ ἐπιρριπτόμενον. τοπικὰ μὲν οὖν ταῦτα. μετὰ δὲ τούτων καὶ πόμασι χρηστέον ὡς ἀντισωματικοῖς. ἔστι δὲ ἀριστολοχίας δίδραχμον μάλιστα τοῦ φλοιοῦ σὺν οἴνῳ. γεντιανὴ κεκομμένη καὶ γλήχων ἐπικαθημένη καὶ δαφνίδες ἀριθμῷ βραχεῖ λελειοτριβημέναι. καὶ καλαμίνθη μετὰ ὀξυκράτου. δεῖ δὲ αὐτὴν ἐπὶ πλεῖον ἑψῆσαι ἐν τῷ ὀξυκράτῳ. καὶ κυπαρίσσου μετ' οἴνου ἢ πηγάνου. ὡσαύτως καὶ συκῆς ὀπὸς καὶ σίλφιον εἰ παρείη. μὴ παρόντος δέ, τῷ πευκεδάνου χρηστέον ὀπῷ. ποιεῖ δὲ καὶ ὁ τοῦ τριφύλλου καρπὸς πινόμενος. καὶ τὸ τοῦ ὠκίμου σπέρμα. τούτοις δὲ πᾶσιν ἀντιπαρατίθεται λουτροῦ συνεχὴς χρῆσις μετὰ πολλῆς ἱδρώσεως. καὶ οἰνοποσία μετὰ κράματος.

## Περὶ τῶν ὑπὸ τρυγόνος θαλασσίας δεδηγμένων.

Τοῖς δὲ ὑπὸ τρυγόνος θαλασσίας πληγεῖσιν ἁρμόζει πάντα τὸν αὐτὸν τρόπον ὅσον μικρὸν ὕστερον ἐπὶ τῶν ἐχεοδήκτων ἐροῦμεν. γίνονται δὲ ἰδίως αἱ πληγαὶ καὶ ὑπὸ δρακόντων καὶ σκορπίων τῶν ἐκ θαλάσσης. καὶ περιωδυνίας χαλεπὰς φέρουσι. σπανίως δέ ποτε καὶ νομάς. ἁρμόζει δὲ πρὸς τὰς πληγὰς αὐτῶν ποτισμὸς ἀψινθίου. ἢ ἐλελισφάκου. ἢ θείου σὺν ὄξει τετριμμένος. καὶ αὐτὴ δὲ ἀναπτυχθεῖσα καὶ ἐπιτεθεῖσα τοῖς τραύμασι, τῆς ἰδίας ἴαμα πληγῆς γίνεται.

## Περὶ τῶν ὑπὸ μυγαλῆς δεδηγμένων

Τοῖς δὲ ὑπὸ μυγαλῆς δηχθεῖσι, βοηθεῖ χαλβάνη σπληνίον ἐπιτεθεῖσα κατὰ τοῦ δήγματος ὡς φάρμακον μετ' ὄξους λελειοτριβημένον. καὶ κρίθινον ἄλευρον μετ' ὄξους μέλιτος καὶ

πλασθέν. καὶ ἡ αὐτὴ ἡ δακοῦσα μυγαλή, ἀνατεμνομένη καὶ ἐπιτιθεμένη, τῆς ἰδίας πληγῆς αὐτῇ φάρμακόν ἐστι. καὶ γλυκείας ῥοιᾶς ἑφθὰ καταπλασθέντα κοκκία. καὶ πράσα ἑφθὰ καταπλασθέντα. καὶ σκόροδα συντετριμμένα. καὶ ἡ διὰ τῆς θέρμης κατάπλασις. τοπικὰ μὲν ταῦτα. ποτιζόμενον δὲ ἀρήγει ἀβρότονον καθεψηθέν, ἐν τῷ οἴνου προσφερόμενον. ἕρπυλλος δὲ καὶ χαλβάνη καὶ ὀλίζωμον διεθέντα οἴνῳ. καὶ κυπαρίσσου τὰ ἁπαλὰ σφαιρία μετ᾽ ὄξους. καὶ κυκλάμινον μετ᾽ ὀξυμέλιτος. καὶ πύρεθρον σὺν οἴνῳ. καὶ χαμαιλέοντος τῆς βοτάνης ἡ ῥίζα. τινὲς δὲ ἀναγράφουσιν ὅτι καὶ αὐτὴ λειοτριβηθεῖσα ἡ μυγαλή, πρὸς τὸ ἴδιον πλῆγμα ποτίζεται. τὴν δὲ ἱστορίαν ταύτην ἐν ἄλλοις κειμένην εὑρόντες, παρασημειώσεως μόνον ἠξιώσαμεν. ἔνιοι δέ φασι μὴ ἄλλως ἑλκοῦσθαι τὸν δηχθέντα, εἰ μὴ ἔγκυος ἡ μυγαλὴ τυγχάνοι. τότε οὖν φασὶ βοηθεῖν.

Περὶ τῶν ὑπὸ ἐχίδνης δεδηγμένων. κεφ. ιδ.

Τοῖς δὲ ὑπὸ ἐχίδνης δηχθεῖσι βοηθοῦσι τῶν αἰγῶν αἱ σπύραθοι μετ᾽ οἴνου ἀνατιθέμεναι σπουδαίως. καὶ δάφνη ὡσαύτως καὶ ἀβρότονον καὶ χαλβάνη ἀσπληνίου ἐπιρριπτούμενα. καὶ ὀρίγανος χλωρὰ ἀνεψηθεῖσα. καὶ τῶν ὀρνίθων οἱ νεοσσοὶ ἀναπτυχθέντες καὶ παραχρῆμα προστιθέμενοι. ὀρόβινόν τε ἄλευρον μετ᾽ οἴνου πεφυραμένον. καὶ ῥαφάνου φλοιὸς ἰσχυρῶς κοπείς, ὥστε λειότατος γενέσθαι. καὶ σκίλλα ὀπτὴ καὶ χαμαίμηλον λελειωμένα. καὶ ὑμήλυσις δι᾽ ὀξυμέλιτος ἐσκευασμένη. προκατηντλημένου θερμοῦ. ταῦτα μὲν τοπικῶς ἐπιτιθέμενα. ὠφελεῖ δὲ τοὺς ἐχιοδήκτους καὶ βάλσαμος μετ᾽ οἴνου. ἔνιοι δὲ ἄγχουσαν τὴν λεπτόφυλλον βοηθεῖν ἀφηγοῦνται. πίνεται δὲ καὶ λαγωοῦ τῆς πυτίας ὅσον 𐅻 ἐν οἴνῳ καὶ πράσου χύλισμα ὅσον κοτύλιον ἐν ἀκράτῳ. καὶ μελισσοφύλλου τῶν φύλλων ὁ χυλός. καὶ πήγανον ἄγριον. ταῦτα δὲ ἐν οἴνῳ δεῖ ποτίζειν. καὶ αὐτὴ ἡ οἰνοποσία συνεχῶς παραλαμβανομένη. σκόροδά τε ἐσθιόμενα καὶ κρόμμυα. καὶ πράσα ἁπαλὰ καὶ πέριχος δριμύτατος καὶ πολυτελέστατος. καὶ τὰ μὲν ἁπλᾶ ταῦτα. καὶ αὐτὸ δὲ τὸ φάρμακον εὐδοκιμοῦν ἐπὶ τῶν ἐχιοδήκτων, ὅπερ ἐστὶ σμύρνης. κασσίας. πεπέρεως. ἀνδράχνης αἴθουσα καὶ σπέρματος ὀξυβάφου τὸ ἥμισυ. ταῦτα πάντα λεῖα τε ἐν γλυκεῖ κρητικῷ, ἢ ἑτέρῳ τινὶ τῶν σπουδαίων. Ἐρασίστρατος δὲ ἐν τῷ περὶ δυνάμεων ἀναγράφει καὶ ἄλλα τινὰ πλεῖστα βοηθεῖν δυνάμενα τοῖς ἐχιοδήκτοις. τὰ δοκιμώτατα δὲ τοιαῦτα. τοὺς τῶν ὀρνίθων ἐγκεφάλους σὺν οἴνῳ πινομένους καὶ κράμβης ἡμέρου τοῦ σπέρματος, ὀξύβαφον λεῖον πινόμενον μετ᾽ οἴνου. ἀγαθὸν δὲ καὶ τὸν δάκτυλον καταβάπτειν εἰς τοὺς σαῦρας ὑγράν. ἔπειτα εἰς οἶνον ἀποκλύζοντα πίνειν. τοιαῦτα μὲν καὶ πρὸς τοὺς ἐχιοδήκτους.

Περὶ τῶν ὑπὸ ἀμφισβαίνης δεδηγμένων. κεφ. ιε.

Περὶ ἀμφισβαίνης τοπικῶς ἐπεμνήσθημεν ὅτι πῶς ταῖς πρὸς τὰς ἐχίδνας ἀναγεγραμμέναις βοηθείαις, πέφυκε βοηθεῖσθαι ὁ δηχθεὶς αὐτῆς πληγαῖς.

Περὶ τῶν ὑπὸ δρυίνου δεδηγμένων. κεφ. ις.

Τοῖς δὲ ὑπὸ δρυίνου πληγεῖσιν, ἁρμόζει ἀριστολοχία σὺν οἴνῳ πινομένη. καὶ ἡ τρίφυλλος πόα. ῥίζα δὲ ἀσφοδέλου παραπλησίως λαμβανομένη, καὶ δρυὸς πάσης ἐκ τῶν ῥιζῶν πινόμενος καὶ τῆς πρίνου αἱ ῥίζαι κοπτόμεναι καὶ καταπλασσόμεναι, τοπικῶς παρηγοροῦσιν.

Περὶ τῶν ὑφ᾽ αἱμόρρου καὶ διψάδος δεδηγμένων. κεφ. ιζ.

Αἱμόρρου δὲ καὶ διψάδος πρὸς τὰς πλήξεις τῶν προειρημένων ἀπηγορεύθησαν, ὡς ἀβοήθητοι λέξεις. διὸ καὶ πᾶν καταπλεόντι πρὸς τὸ θηρίον τὴν διψάδα ὠφελοῦν-

των ἀπορούσι. δεῖ μὲν οὖν ἀποπειρᾶσθαι τῶν κοινῶν βοηθημάτων. παραχρῆμα δὲ πρὸς καταχασμοὺς παραλαμβάνειν. τήν τε καῦσιν ποιεῖν καὶ εἰ ὁ τόπος ἐγχωροίη τὸν ἀκρωτηριασμόν. ἐφεξῆς δὲ τὰς τῶν δριμέων καταπλασμάτων ἐπιθέσεις. ὑπὲρ ὧν εἴρηκα μὲν πολλάκις. χρησιμεύειν οἶδα καὶ δριμυφαγίας μάλιστα τὰς ἀπὸ τῶν ταριχηρῶν. ἀκρατοποσία τε καὶ λουτρὸν ὠφελεῖ. ταῦτα συνεχῶς ἐκ μικρῶν διαστημάτων, πλεονάκις καταληπτέον. πρὶν κατασκήψῃ τὸ τῶν νοσημάτων εἶδος. ἐκείνων δὲ ἅπαξ ἐπιφανέντων, οὐδὲ τιοῦν παρὰ τῶν ἰατρῶν ἐπικουρίας ὄφελος γίνεται. ἐπὶ δὲ τοῦ αἱμόρρου τὰ αὐτά. καὶ πρὸς τούτοις τὰ ἐν τῷ κοινῷ τῶν βοηθημάτων. οἷον τοὺς καταχασμοὺς καὶ τὰς ἐκλύσεις καὶ δριμυφαγίας καὶ ἀκρατοποσίας. καὶ ὅσα ὠφελεῖ μὲν ἐπὶ τῆς διψάδος. ἔτι δὲ καὶ ἀμπέλου φύλλα ἑφθὰ σὺν μέλιτι λελειωμένα.

Περὶ τῶν ὑφ' ὕδρου δηχθέντων. κεφ. α,ζ.

Τοῖς δὲ ὑφ' ὕδρου δηχθεῖσιν ἁρμόζει ὀρίγανος λεία φυραθεῖσα ὕδατι. κονία τε ἐνεθεῖσα ἐλαίῳ ἢ ἀριστολοχία ὠφελοῖ. ἡ ῥίζα δρυὸς λεοτριβηθεῖσα καὶ κρίθινον ἄλευρον σὺν ὕδατι μετὰ μέλιτος συντετηκός. πίνειν δὲ τῆς ἀριστολοχίας δίδραχμον ἐν κράματι ὀξυκράτου κυάθων ἕξ. ἢ πρασίου χυλός. ἢ ἀφέψημα ὁποτέρου σὺν οἴνῳ. πρόσφατόν τε κηρίον προσφερόμενον μετρίως.

Περὶ τῶν ὑπὸ κεγχρίδος δηχθέντων. κεφ. α,η.

Τοῖς δὲ ὑπὸ κεγχρίδου δηχθεῖσι, θριδακίνης ὁ καρπὸς μετὰ λινοσπέρμου καταπλασσόμενος βοηθεῖ καὶ θύμβρα καὶ ἄγριον πήγανον. καὶ ἕρπυλλος σὺν ἀσφοδέλου ∠ ιβ καὶ σὺν οἴνου κυάθοις γ. ἢ ἀριστολοχίας ῥίζα. ὡσαύτως καὶ καρδάμωμον. καὶ αἰγυπτιακὴ παραπλησίως.

Περὶ τῶν ὑπὸ κεράστου δηχθέντων. κεφ. α,θ.

Τοῖς δὲ ὑπὸ κεράστου δηχθεῖσι καὶ ἀσπίδος, σύντομος ὁ ἀκρωτηριασμὸς ἐπαμύνει. διόπερ αὐτοπροθέτως ἀποκόπτειν δεῖ, ὅσον τὸ δηχθὲν μέρος. ἢ περισχαρίζειν τὰ δηχθέντα μέρη παραχρῆμα καὶ τὰ τούτοις παραπλήσια. ἔστι δὲ τὰ ὑπολειπόμενα τοῖς καυστηρίοις ἐπικαυτέον. καὶ γὰρ καὶ τούτοις ὁ ἰὸς οἷος ὁ τοῦ βασιλίσκου.

Περὶ τῶν ὑπὸ ἀσπίδος δηχθέντων. κεφ. α,ι.

Τοῖς δὲ ὑπὸ ἀσπίδος δηχθεῖσιν, ὅσα καὶ τοῖς ὑπὸ κεράστου ὡς προγέγραπται προσοιστέον βοηθήματα. ὃν τρόπον γὰρ βόος αἷμα ὀξύτατα πήγνυσι τὸ ἐν ταῖς ἀρτηρίαις αἷμα καταπήγνυται πρὸς τοῦτον ὁ ἰός, ὥσπερ καὶ ὁ τοῦ βασιλίσκου.

Περὶ τῶν ὑπὸ βασιλίσκου δηχθέντων. κεφ. α,ια.

Τοῖς δὲ ὑπὸ βασιλίσκου δηχθεῖσι, ὡς Ἐρασίστρατος φησὶ βοηθεῖ καστορίου ∠ α πινόμενον σὺν οἴνῳ. ὡσαύτως δὲ καὶ ὁ τῆς μήκωνος ὀπός. τοιοῦτος μὲν καὶ ὁ θηριακὸς τρόπος.

Περὶ χαμαιμήλου. σκεπτέον ἢ εἰ ταῦτα μέχρι τέλους ἐστὶ γνήσια. κεφ. α,ιβ.

Τοὺς πυρέσσοντας τὸ χαμαίμηλον θεραπεύει σὺν ῥοδίνῳ λεῖον τετριμμένον. ὠφέλιμον δὲ τοῖς μεσάζουσι τὸ φυτόν. φύεται δὲ ἐπὶ θινοῖς τὸ βραχὺ καὶ κάλλιστον. ὃ βαστάζουσιν ἰατροὶ ἀρχομένου θέρους.

Περὶ ῥάμνου. κεφ. α,ιγ.

Τὴν ῥάμνον ἥντις ἄρῃ ἐν λειψοσελήνῳ καὶ βαστάζῃ, ὠφελεῖ πρὸς φάρμακα καὶ πρὸς ἀνθρώπους φαύλους. ἁρμόζει δὲ φορεῖν αὐτὴν θρέμματα. καὶ πλοίοις περιτιθέναι. ὠφελεῖ δὲ καὶ πρὸς πόνον κεφαλῆς καὶ δαίμονας. καὶ ἐπιπομπάς.

Περὶ ἀρτεμισίας. κεφ. α,ιδ.

Ἀρτεμισίαν τὴν βοτάνην ἐάν τις ἔχῃ ἐν ὁδῷ, λύει τὸν κάματον. καὶ ἐν τοῖς ποσὶν ἐὰν φορῇ, θηρία

διώκει

διώκει καὶ δαίμονας. αἷμα ἢ ἐὰν περὶ τὰ ἄρθρα σκιρρωθῇ, κλωνία λαβὼν μείζονα μετὰ ῥοδίνου, καὶ ποιήσας ζέσαι εἰς χύτραν, σύγχριε τὸν ποιοῦντα ὅλον ὡς ὑπάγῃ καὶ ἱδρῶσαι. καὶ ὑστερικαῖς γυναιξὶ πάνυ βοηθεῖ. στραγγουρίαν παύει. καὶ ὀπισθοτόνου ῥῆγμα.

Περὶ πενταδακτύλου. κε. α, ιε.

Τὴν πεντάδακτυλον ἐάν τις φορῇ περὶ τὸ σῶμα, ἄπονος μένει καὶ ὀφθαλμοὺς ὠφελεῖ. χοιράδας. αὐτιάδας. σταφυλήν. καὶ τὰ ὑπὸ τὴν γλῶσσαν ἄρθρα τε καὶ νεῦρα, ὀδύνας καὶ ὀδόντας. ψώρας ἰκλιμακτηρίας. λοχίοι ἔμμηνα καταπαύεται. ἐν ὕδατι δὲ χλιαρῷ προσκλυζομένη εἰς τὰς χεῖρας πρὸς φόβους καὶ βασκοσύνας καὶ δαίμονας ἐστὶ πάνυ καλή. δεῖ δὲ λαμβάνειν τὴν βοτάνην ὅτε αὔξει ἡ σελήνη, ἡλίου ἀνατέλλοντος.

Περὶ περιστερεῶνος. κε. α, ιϛ.

Περιστερεών. ὁ μὲν ὀρθὸς τείνει τὸ αἰδοῖον. ὁ δὲ ὕπτιος ξηραίνει τινὰς ἐστίν. ὠφελεῖ δὲ ὁ ὀρθὸς περιαφθεὶς πρὸς πόνους ὀφθαλμῶν. ποιεῖ πρὸς ἀμβλυωπίαν καὶ κεφαλῆς πόνον. καὶ καῦμα τὸ παύει τριφθεῖσα μετὰ ὄξους. χοιράδας. αὐτιάδας παραχρῆμα παύει. ἐπειδὰν τις φρικιᾷ, ἀπὸ ταύτης κλωνία λαβὼν, κατέναντι στήτω τοῦ φρικιῶντος μόνον. καὶ εὐθὺς θεραπεύεται.

Περὶ δικτάμνου. κε. α, ιζ.

Τὴν δίκταμνον ξηράνας, σίφον ἐν ταῖς χερσί σου. καὶ ὡς ἄλφιτον ποιήσας, καὶ βαλὼν σταλαγμὸν οἴνου, θὲς ἐπὶ τοῦ σώματος. πρὸς πάντα γὰρ τὰ ἑρπετὰ ἁρμόζει. ἕλκη δὲ καὶ τὰς ἐκπεράσεις νομὰς πληροῖ προσκαθαῖρον. καὶ σκόλοψ ἢ εἴ τις προσκατέπλασεν, καὶ εὐθέως ὠφελήσει. πρὸς σπλῆνα ἢ καὶ τὰ ἐξανθήματα ὅπως τὰ πάθη φλεγμαίνοντα, καταπλασσόμενον ὡς ἄλειμμα ποιήσας. αἴρε δὲ τὴν βοτάνην ἔαρι καὶ ἐν τοῖς καύμασι καὶ ἐν τῷ φθινοπώρῳ.

Περὶ ἐλελισφάκου. κε. α, ιη.

Ἐλελίσφακον, λύει ψυγμόν. βῆχα. πρὸς πάντα δὲ τὰ κακὰ ἕλκη σὺν ῥοδίνῳ καὶ κηρῷ ληφθὲν ὠφελεῖ. σπληνὸς πόνον καὶ δυσεντερίαν θεραπεύει πινόμενον μετὰ οἴνου λευκοῦ ὀξίσου. τοὺς αἱμοπτυϊκοὺς προσποτιζόμενον θεραπεύει. καὶ πρὸς πάντα ποιεῖ λόχια γυναικός. αἱ κάκισται δὲ γυναῖκες πιοῦσαι ἐξ αὐτῆς ποιήσασαι, προστιθέασι καὶ ἐκβάλλουσιν ἔμβρυα.

Περὶ κυπαρίσσου. κε.

Κυπάρισσος βοτάνη, ὠφελεῖ πρὸς βράγχους καὶ ὦτα. καὶ αὐτιάδας. καὶ ὕδρωπα καὶ ἰσχιάδας θεραπεύει.

Περὶ κενταυρείου. κε. α, ιθ.

Κενταύρειον ὠφελεῖ πρὸς φλεγμαίνοντα πάθη. καὶ κρούσματα πληγῶν. ὑστερικαῖς γυναιξὶ βοηθεῖ. στραγγουριῶντάς τε παύει καὶ λιθιῶντας. αἴρει δὲ τὴν βοτάνην ἐν ἔαρι ἡλίου ἀνατέλλοντος.

Περὶ βουφθάλμου. κε. α, κ.

Τὴν βούφθαλμον σελήνης αὐξανούσης λαμβάνειν δεῖ. ποιεῖ δὲ πρὸς φόβους καὶ δαίμονας καὶ βασκοσύνας. καὶ φάρμακα κακὰ ταῦτα ἀποστρέφουσι. καὶ ὀδόντα ἐάν τις πονῇ τὴν ῥίζαν μασησάμενος ἀποπτύσει, εὐθὺς τὸ ῥεῦμα στέλλεσθαι ὠφελεῖ. λύει δὲ καὶ γαστέρα.

Περὶ παιονίας. κε. α, κα.

Παιονία βοτάνη αἴρεται ἐν τοῖς κυνοκαύμασι πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι. καὶ κρεμᾶται. καὶ ὠφελεῖ πρὸς φάρμακα καὶ βασκοσύνας καὶ φόβους καὶ δαίμονας. καὶ ἐπιπομπάς. καὶ εἰς πυρετὸν ἐκ φρικιάσεως νυκτερινόν τε καὶ ἡμερινόν. καὶ τεταρταῖον. λέγεται δὲ ὅτι ποτὲ ἐν τῷ ὄρει ἐλθοῦσαι δαίμονες φυγεῖν αὐτοὺς ἀπεδίωκεν.

Περὶ πολίου. κεφ. ακβ.

Πόλιον ἡ βοτάνη φορουμένη περὶ τὸ σῶμα, ὠφελεῖ πρὸς σεληνιασμὸν καὶ κόπον. διώκεται δὲ ζεσθεῖσα μετὰ ὄξους ἡ βοτάνη καὶ καταχεομένη πόδας ἀκροπορουμένους ὠφελεῖν.

Περὶ μώλεως. κεφ. ακγ.

Μῶλυ βοτάνη ῥιζοτομηθεῖσα καὶ πρὸς τὸ σῶμα φορουμένη, ὠφελεῖ πρὸς φάρμακα καὶ βασκανίας.

Περὶ ἐναλίας δρυός. κεφ. ακδ.

Τὴν ἐναλίαν δρῦν, ὅταν ἡ σελήνη λήγῃ, μίξον μετὰ ῥοδίνου ἐλαίου, καὶ χρίσον σου τὸ πρόσωπον ὅταν ἐν πράγματι ἀπέλθῃς. ζωογονεῖ δὲ καὶ παιδία ὑπὸ τὴν κοιλίαν φορουμένη. καὶ πρὸς τοὺς φόβους τοὺς γινομένους ἐκ κατὰ νύκτα. καὶ πρὸς βασκανίαν τε καὶ πάντα τὰ κακὰ ὠφελεῖ. εἰς τὸ σῶμα φυλάσσεσθω. ὅσοι γὰρ οἱ βάσκανοι ἀφεστήκασι, μέμυκασι. ἐρχομένων δὲ αὐτῶν ἐπ' ὑς, ἀνοίγεται τὸ κάρφος.

Περὶ χρυσανθέμου. κεφ. ακε.

Τὸ χρυσάνθεμον ἐὰν ἀρθῇ ἐκ τῆς γῆς, πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι καὶ περιαφθῇ τῷ σώματι, ἢ ἐκ τοῦ τραχήλου ἀποκρεμνᾷς, ὠφελεῖ ἀποστρέφον τὰς φαρμακίδας γυναῖκας καὶ πάντας τοὺς βασκάνους.

Περὶ ἐρυσίμου. κεφ. ακς.

Ἐρύσιμον λεῖον μετ' οἴνου πρὸς κοιλίας πόνον πινέσθω. ἐὰν δὲ κόκκους ζ' εἰς οἰκίαν βάλῃς, ἀψιμαχία ἔσται.

Περὶ ἐλλεβορίνης. κεφ. ακζ.

Ἐλλεβορίνη. οἱ δὲ ἐπιπακτίς. οἱ δὲ βόρβορον. θαμνίσκος ἐστὶ μικρὸς ἐλάχιστα φύλλα ἔχων. πίνεται πρὸς τὰ θανάσιμα. καὶ πρὸς τὰ ἐν ἥπατι πάθη.

## ΤΕΛΟΣ.

α. β. γ. δ. ε. ζ. η. θ. ι. κ. λ. μ. ν. ξ. ο. π.

Ἅπαντά ἐστι τετράδια πλὴν τοῦ τελευταίου. τοῦτο γὰρ πεντάδιον.

Omnes sunt quaterni. præter nouissimum .is.n.quinternus.

ἔλαιον σχίνινον. μη
ἔλαιον μαστίχινον. μθ.
ἔλαιον ῥόδινον να.
ἔλαιον ἐλάτινον νβ
ἔλαιον μήλινον. νγ.
ἔλαιον οἰνάνθινον. νδ.
ἔλαιον τήλινον. νε.
ἔλαιον σαμψύχινον νς.
ἔλαιον ὠκίμινον. νζ
ἔλαιον ἀνήθινον. μθ
ἔλαιον σούσινον. ξ.
ἔλαιον ναρκίσσινον ξα.
ἔλαιον κρόκινον ξβ.
ἔλαιον κύπρινον ξγ.
ἔλαιον ἴρινον ξδ.
ἔλαιον γλεύκινον. ξε
ἐλαία κελυμβάδες ρμ.
ἔβενος. ρλ.
ἐλέφας σμς.
ἐλάφου κέρας σμη
ἔλαιον ἀμαράκινον ξς.
ἔλαιον μεγάλινον. ξζ
ἐρείκη. ριη
ἐχῖνος θαλάσσιος. ρϟ.
ἐχῖνος χερσαῖος ρϟα.
ἔρια σοδ.
ἔρια κεκαυμένα σοε
ἔλυμος σϟς.
ἐρέβινθος τβ
εὔζωμον τμε
ἐρύσιμον τξγ.
ἐλελίσφακον υλδ.
ἕρπυλλον υμ.
ἐλειοσέλινον υξθ
ἐλαφόβοσκον υοδ.
εὐφόρβιον υϟ.
ἐρυθρόδανον φϟη
ἐπιμήδιον. φϟε.
ἔχιον χγ
ἔλινος χε.
ἐλξίνη. χιε
ἐλατίνη χις.
εὐπατόριον χιζ.
ἐλίχρυσον χλγ
ἐφήμερον χξ.
ἐλξίνη χξα.
ἐπιπακτίς. χπδ
ἐλλέβορος λευκός ψιε
ἐλλέβορος μέλας ψκς.
ἐλατήριον. ψλ.
ἐπίθυμον ψνδ.
ἔμπετρον ψνς.
ἐφήμερον ϡμη.

Z

Ζώπισσα ϟε.
ζωμὸς ταρίχων ἰχθύων. σκγ.
ζῦθος σπζ.
ζειὰ σπη.
ζιγγίβερι τξε

H

Ηδύχροιον ξη.
ἧπαρ ὄνειον σκθ.
ἧπαρ αἰγός. σλγ.
ἧπαρ κάπρου σλδ
ἧπαρ αἰθυίας. σλζ
ἠρύγγιον υιθ.
ἡδύοσμος ἥμερος υλε
ἡδύοσμος ἄγριος. υλς.
ἡμεροκαλλίς. φλδ
ἡδύσαρον φμγ.
ἡμιονῖτις φμθ.
ἠριγέρων χοβ
ἡλιοτρόπιον τὸ μέγα ψξη
ἡλιοτρόπιον τὸ μικρόν. ψξθ.

Θ

Θέρμος ἥμερος καὶ ἄγριος τη
θρίδαξ ἥμερος τμ
θρίδαξ ἄγριος τμα
θλάσπι τξα
θύμος υλη
θύμβρα υλθ
θαλίκτρον χογ
θαψία. ψλγ
θυμελαία ψμθ
θηλυπτερίς. ψξβ.
θαλασσόμελι ψπγ
θυμοξάλμη ψπζ.
θεῖον ωπγ

I

Ἶρις. ς
ἰτέα. ρλη
ἰβηρίς. ρπη.
ἱππόκαμπος. ρϟβ
ἴονια ρϟε
ἱπποποτάμου ὄρχις σιδ.
ἱππάκη σοβ
ἱππολάπαθος τις.
ἰσάτις ἥμερος τϟγ.
ἰσάτις ἀγρία. τϟδ
ἱεράκιον τὸ μέγα υξς
ἱεράκιον τὸ μικρόν. υξζ.
ἱπποσέλινον υοβ.
ἱππομάραθρον υος
ἰχθυοκόλλα υϟς.
ἰξός. υϟζ
ἰδαία ῥίζα χκ
ἵππουρις χκβ.
ἵππουρις ἑτέρα χκγ
ἰσόπυρον. χϟς
ἴον χϟζ
ἱππόγλωσσον ψζ.
ἱππόφαες. ψμ
ἱππόφαιστον ψμα.
ἰὸς ξυστοῦ. ων.
ἰὸς σκώληκος. ωνα
ἰὸς σιδήρου ωνβ
ἰξίας ϡξδ.

K

Κύπειρος δ.
καρδάμωμον. ι.

κασσία ιβ.
κιννάμωμον ιδ.
κόστος. ιζ.
κάλαμος ἀρωματικός ιθ.
κάγκαμον. κζ.
κῦφι κη.
κρόκος. κθ.
κροκόμαγμα λ
κυπάρισσος ϟθ
κέδρος. ργ.
κεδρία. ρδ
κεδρίδες. ρε.
κάλαμος. ρη.
κυνόσβατον. ρκδ.
κύπρος ρκε
κίσθος ρκζ
κάστανα ρμη
κηκίς. ρμθ
κυτίς. ρνε.
κεράσια. ρξ.
κεράτια ρξα
κρανία. ροε
κοκκυμηλέα. ροζ.
κόμαρος. ροη
κάρυα βασιλικά. ρπα
κάρυα ποντικά. ρπβ.
κήρυκες. ρϟδ
κοχλίας χερσαῖος. σ.
καρκῖνος χερσαῖος σα
κάστορος ὄρχις σιε.
κωβιός. σκα
κόρεις οἱ ἀπὸ κλίνης σκδ
κουβαείδες σκε
κυνῶν λυσσῶν. σλε
καττύματα. σλϛ.
κορυδαλλός. σμδ
κάμπαι σμθ
κανθαρίδες σν
κηρός. σπγ.
κεισὴ σπϛ.
κοῦρμι σπζ.
κείμανον σϟβ
κέγχρος σϟε
κύαμος ἑλληνικός. τγ
κύαμος αἰγύπτιος τδ
κράμβη ἥμερος. τκα.
κράμβη ἄγριος τκβ.
κράμβη θαλασσία. τκγ.
κρίθμον τλβ.
κορωνόπους. τλγ.
κονδρίλλη τλϛ.
κολόκυνθα τλζ.
κίκις τλη
καυκαλίς. τμδ
κρόμμυα τιϛ.
κάρδαμος τ.
κυκλάμινος τξθ
κυκλάμινος ἑτέρα το
κάππαρις τπ
κισσός. τπζ.
κενταύρειον τὸ μέγα υγ.
κενταύρειον τὸ μικρόν. υδ.
κροκοδείλιον υζ.
καλαμίνθη υλζ
κάρος υξ.
κύμινον υξβ
κύμινον ἄγριον υξγ
κέβλον υξε
κάγχρυ υπβ.
κόλλα υϟε.
κλινοπόδιον φγ.
κέλινον φι
κιρκαία φκθ.
κόνυζα μεγάλη φλα.
κόνυζα μικρά. φλβ.
κόνυζα τρίτη φλγ
κραταιόγονον φλϛ
κάνναβις φξβ
κάνναβις ἥμερος. φξγ
κηπαία φξε
κόρις φοα.
κίστρον φοδ.
κληματίς. φπα
κληματὶς ἑτέρα φπβ.
κλύμενον φπη.
καλαμάγρωστις χζ.
κόκκος βαφική. χκδ
κώνειον χιδ
κολχικόν. χνβ
κοτυληδών. χξε.
κοτυληδὼν ἑτέρα χξζ
καπνὸς χπε.
κύπασος χπη
κρίασον χϟδ
κακαλία χϟη
κυνόγλωσσον ψδ.
κατανάγκη. ψθ.
κίκυ ψμβ.
κολοκυνθίς. ψνγ.
κληματῖτις ψκζ
κνίκος. ψξε
κυνοκράμβη ψξζ.
καδμεία ωμγ
κυανός. ωξε
κιννάβαρι. ωξη
κίσσηρις ωπα.
κοράλλιον ωϟη
κανθαρίς. ϡμδ
κόριον ϡϟβ.

Λ

Λίβανος. π.
λιγνύς. πδ.
λιγνὺς ἀπὸ ὑγρᾶς πίσσης ϟγ.
λεύκη. ρι
λάδανος. ρκθ.
λύκιον ρλθ.
λωτός ροδ.
λαγωὸς θαλάττιος σθ.
λαγωὸς χερσαῖος σι.
λειχῆνες ἵππων. σλβ.

| | | | | | |
|---|---|---|---|---|---|
| ἔλαιον σχίνινον. | μη | ἐλξίνη. | χιε | θύμβρα | υλθ |
| ἔλαιον μαστίχινον. | μθ. | ἐλατίνη | χιϛ. | θάλικτρον | χογ |
| ἔλαιον ῥόδινον | να. | εὐπατόριον | χιζ. | θαψία. | ψλγ |
| ἔλαιον ἐλάτινον | νβ | ἑλίχρυσον, | χλγ | θυμελαία | ψμθ |
| ἔλαιον μήλινον. | νγ. | ἐφήμερον | χξ. | θηλυπτερίς. | ψξβ. |
| ἔλαιον οἰνάνθινον. | νδ. | ἐλξίνη | χξα. | θαλασσόμελι | ψπγ |
| ἔλαιον τήλινον. | νε. | ἐπιπακτίς. | χπδ | θυμοξάλμη | ψπζ. |
| ἔλαιον σαμψύχινον | νϛ. | ἐλλέβορος λευκός | ψιε | θεῖον | ωπγ |
| ἔλαιον ὠκίμινον. | νζ | ἐλλέβορος μέλας | ψιϛ. | | |
| | | | | I | |
| ἔλαιον ἀνήθινον. | μθ | ἐλατήριον. | ψλ. | Ἶρις. | α |
| ἔλαιον σούσινον. | ξ. | ἐπίθυμον | ψλδ. | ἰτέα. | ρλ. |
| ἔλαιον ναρκίσσινον | ξα. | ἔμπετρον | ψνϛ. | ἰβιείς. | ρπη. |
| ἔλαιον κρόκινον | ξβ. | ἐφήμερον | ϡμη. | ἱππόκαμπος. | ρϟβ |
| ἔλαιον κύπρινον | ξγ. | Z | | ἰόνια | ρϟε |
| ἔλαιον ἴρινον | ξδ. | Ζώπισσα | ϟε. | ἱπποποτάμου ὄρχις | σιδ. |
| ἔλαιον γλεύκινον. | ξε | ζωμὸς νεαρῶν ἰχθύων. | σκγ. | ἱππάκη | σοβ |
| ἐλαία κολυμβάδες | ρμ. | ζῦθος, | σπζ. | ἱππολάπαθος | τιϛ. |
| ἔβενος. | ρλ. | ζέα | σπη. | ἰσάτις ἥμερος | τϟγ. |
| ἐλέφας | σμϛ. | ζιγγίβερι | τξε | ἰσάτις ἀγρία. | τϟδ |
| ἐλάφου κέρας | σμη | H | | ἱεράκιον τὸ μέγα | υξϛ |
| ἔλαιον ἀμαράκινον | ξϛ. | Ἡδύχροον | ξη. | ἱεράκιον τὸ μικρόν. | υξζ. |
| ἔλαιον μεγάλινον. | ξζ | ἧπαρ ὄνου | σκθ. | ἱπποσέλινον | υοβ. |
| ἐρείκη. | ριη | ἧπαρ αἰγός. | σλγ. | ἱππομάραθρον | υοϛ |
| ἐχῖνος θαλάσσιος. | ρϟ. | ἧπαρ κάπρου | σλδ | ἰχθυοκόλλα | υϟϛ. |
| ἐχῖνος χερσαῖος | ρϟα. | ἧπαρ αἰθυίας. | σλζ | ἰξός. | υϟζ |
| ἔρια | σοδ. | ἠρύγγιον | υιθ. | ἰδαία ῥίζα | χκ |
| ἔρια κεκαυμένα | σοε | ἡδύοσμος ἥμερος | υλε | ἵππουρις | χκβ. |
| ἔλυμος | σϟϛ. | ἡδύοσμος ἄγριος. | υλϛ. | ἵππουρις ἑτέρα | χκγ |
| ἐρέβινθος | τβ | ἡμεροκαλλίς. | φλδ | ἰσόπυρον. | χϟϛ |
| εὔζωμον | τμε | ἡδύσαρον | φμγ. | ἴον | χϟζ |
| ἐρύσιμον | τξγ. | ἡμιονῖτις | φμθ. | ἱππόγλωσσον | ψζ. |
| ἐλελίσφακον | υλδ. | ἠρίγερων | χοβ | ἱππόφαες. | ψμ |
| ἕρπυλλον | υμ. | ἡλιοτρόπιον τὸ μέγα | ψξη | ἱππόφαιστον | ψμα. |
| ἐλειοσέλινον | υξθ | ἡλιοτρόπιον τὸ μικρόν. | ψξθ. | ἰὸς ξυστοῦ. | ων. |
| ἐλαφόβοσκον | υοδ. | Θ | | ἰὸς σκώληκος. | ωνα |
| εὐφόρβιον | υϟ. | Θέρμος ἥμερος ἢ ἄγριος | τη | ἰὸς σιδήρου | ωνβ |
| ἐρυθρόδανον | φϟη | θρίδαξ ἥμερος | τμ | ἰξίας | ϡξδ. |
| ἐπιμήδιον. | φϟε. | θρίδαξ ἄγριος | τμα | K | |
| ἔχιον | χγ | θλάσπι | τξα | Κύπειρος | δ. |
| ἑλένιον | χε. | θύμος | υλη | καρδάμωμον. | ε. |

| | | | | | |
|---|---|---|---|---|---|
| μηλόμελι | ϡϟβ'. | οἴσυπος | σοϛ'. | οἶνος σχινίτης | ωα'. |
| μόλιβδος πεπλυμένος | ωιδ'. | οὖρον | σπγ'. | οἶνος τερμίνθινος | ωβ'. |
| μόλιβδος κεκαυμένος | ωιε'. | ὄλυρα | σϟ'. | οἶνος φοινικίτης | ωγ'. |
| μολίβδαινα | ωιθ'. | ὄρυζα | σϟδ'. | οἶνος κατορχίτης | ωδ'. |
| μίλτος σινωπική | ωο'. | ὄροβος | τζ'. | οἶνος συκομορίτης | ωε'. |
| μίσυ | ωοϛ'. | ὀροβάγχη | τμζ'. | οἶνος ῥητινίτης | ωϛ'. |
| μελαντηρία | ωοζ'. | ὀρνιθόγαλον | τμθ'. | οἶνος στροβιλίτης | ωζ'. |
| μέλαν | ϡμβ'. | ὀθόννη | τζ. | οἶνος κέδρινος | ωη'. |
| μέλι τὸ ἐν ἡρακλείᾳ | ϡνα'. | ὀρίγανον | υκϛ'. | οἶνος ἀρκευθιδίτης | ωθ'. |
| μανδραγόρα | ϡνθ'. | ὀνῖτις | υκζ'. | οἶνος κεδρίτης | ωι. |
| μήκων | ϡξ'. | ὀρεοσέλινον | υθ. | οἶνος πιτυΐτης | ωια'. |
| μήκων κερατῖτις | ϡξα'. | οἰνάνθη | φλ'. | οἶνος ἀψινθίτης | ωιβ'. |
| μύκητες | ϡξϛ'. | ὄρχις | φλη'. | οἶνος ὑσσωπίτης | ωιγ'. |
| τὸ ν | | ὄρχις ἕτερος | φλθ'. | οἶνος χαμαιδρυΐτης | ωιδ'. |
| Νάρδος. | ϛ'. | ὅρμινον ἥμερον | φμβ'. | οἶνος στοιχαδίτης | ωιε'. |
| νάρδος κελτικὴ | ζ'. | ὄνοσμα | φμδ'. | ὄξος στοιχαδικὸν | ωιϛ'. |
| νάρδος ὀρεινὴ | η'. | ὀνοβρυχὶς | φξζ'. | οἶνος κεστρίτης | ωιζ'. |
| νάσκαφθον | κϛ'. | ὁλόστιον | φπϛ'. | οἶνος τραγοριγανίτης | ωιη. |
| νάφθα | ϟη'. | ὀξύγαρον | χκη'. | οἶνος βουνίτης | ωιθ. |
| νάρκη | σϛ'. | ὀνάγρα | χϟγ'. | οἶνος δικταμνίτης | ωκ'. |
| νάρθηξ | υπε'. | ὄσυρις | ψιη'. | οἶνος πρασίτης | ωκα'. |
| νυμφαία | φμε. | οἰνάνθη | ψοε'. | οἶνος θυμίτης | ωκβ'. |
| νυμφαία ἑτέρα | φμϛ'. | ὀμφάκιον | ψοϛ'. | οἶνος θυμβρίτης. | ωκγ'. |
| νήριον | χιζ'. | οἶνος | ψοζ'. | οἶνος ὀριγανίτης. | ωκδ'. |
| νάρκισσος | ψλθ'. | οἶνος μελιτίτης | ψοη'. | οἶνος καλαμινθίτης ἢ ἕτεροι | ωκε'. |
| νίτρον | ωπθ'. | οἰνόμελι | ψοθ'. | οἶνος κονυζίτης | ωκϛ'. |
| τὸ ξ | | ὄξος | ψπδ'. | οἶνος ἀρωματίτης | ωκζ'. |
| Ξυλοβάλσαμον | κβ'. | ὀξύμελι | ψπε'. | οἶνος ἐκ σμύρνης καὶ ἄλλων | ωκη'. |
| ξιφίον | φϟϛ'. | ὀξάλμη | ψπϛ'. | οἶνος νεκταρίτης | ωκθ'. |
| ξυρὶς | φϟη'. | ὄξος σκιλλητικὸν | ψπη'. | οἶνος ναρδίτης | ωλ'. |
| ξάνθιον | ψιγ'. | οἶνος σκιλλητικὸς | ψπθ'. | οἶνος ἀσαρίτης | ωλα'. |
| τὸ ο | | οἶνοι θαλάττιοι | ψϟ'. | οἶνος ὁ διὰ τῆς ἀγρίας νάρδου | ωλβ'. |
| Ὀποβάλσαμον | κα'. | οἶνος κυδωνίτης | ψϟα'. | οἶνος δαυκίτης | ωλγ'. |
| ὀξυάκανθα | ροϛ'. | ὀμφακόμελι | ψϟδ'. | οἶνος ἐλελισφακίτης | ωλδ'. |
| οὖα | ρπϛ'. | οἶνος ἀπίτης | ψϟε. | οἶνος πανακίτης καὶ οἶνος ἀκο- | |
| ὄλυνθοι | ρπθ'. | οἰνάνθινος | ψϟϛ'. | ρίτης | ωλε. |
| ὄνυχες | ρϟθ'. | οἶνος ῥοΐτης | ψϟζ'. | οἶνος σελινίτης | ωλϛ'. |
| ὄνυχες ὄνων | σλα'. | οἶνος ῥοδίτης | ψϟη. | οἶνος μαραθρίτης καὶ ἀνηθι- | |
| ὄνυχες αἰγῶν | σλβ'. | οἶνος μυρτίτης | ψϟθ. | νος | ωλζ'. |
| ὀρρὸς γάλακτος | σξη'. | οἶνος μυρσινίτης | ω. | οἶνος θυμελαίτης | ωλη'. |

| | | | | | |
|---|---|---|---|---|---|
| λευκὸν ὠοῦ | σμά. | λίθος γαγάτης | ϡέ. | μηλέα | ρξβ'. |
| λίνον | τά. | λίθος θρακίας | ϡϛ'. | μῆλα κυδώνια | ρξγ'. |
| λάπαθον. | τιδ'. | λίθος μαγνίτης | ϡζ'. | μελίμηλα. | ρξδ'. |
| λαμψάνη | τιέ. | λίθος ἀραβικός. | ϡή. | μῆλα ἠπειρωτικά. | ρξέ. |
| λεπίδιον | τπά. | λίθος γαλακτίτης | ϡθ'. | μῆλα περσικά. | ρξζ'. |
| λευκάκανθα | υιζ'. | λίθος μελιτίτης | ϡί. | μῆλα ἀρμενιακά | ρξή. |
| λιγυστικόν. | υιβ'. | λίθος μόροχθος | ϡιά. | μῆλα μηδικά | ρξθ'. |
| λιβανωτίς. | υπά. | λίθος ἀλαβαστρίτης | ϡιβ'. | μέσπιλα | ροβ'. |
| λιβανωτὶς οὐσμαρίνα | υπγ'. | λίθος θυΐτης | ϡιγ'. | μέσπιλα ἑτέρα | ρογ'. |
| λεοντοπέταλον | φδ'. | λίθος ἰουδαϊκὸς | ϡιδ'. | μορία | ρπγ'. |
| λευκὰς ὀρεινὴ | φζ'. | λίθος ἀμίαντος | ϡιέ. | μύακες. | ρϟγ'. |
| λυχνὶς στεφανωματικὴ | φή. | λίθος σάπφειρος | ϡιϛ'. | μαινίδες | σή. |
| λυχνὶς ἀγρία. | φθ'. | λίθος μεμφίτης | ϡιζ'. | μυγάλη | σξέ. |
| λευκόϊον | φλέ. | λίθος σεληνίτης | ϡιή. | μύες | σξϛ'. |
| λιθόσπερμον | φνϛ'. | λίθος ἴασπις | ϡιθ'. | μυελοί | σοθ'. |
| λογχῖτις | φιθ'. | λίθος ἀετίτης | ϡκ'. | μέλι | σπδ'. |
| λογχῖτις ἑτέρα | φξ'. | λίθος ὀφίτης | ϡκά. | μαλάχη. | τιθ'. |
| λυσιμάχιον. | φοζ'. | λίθοι οἱ ἐν τοῖς σπόγγοις | ϡκβ'. | μηδική | τιβ'. |
| λειμώνιον | φϟβ'. | λιθοκόλλα. | ϡκγ'. | μυὸς ὦτα. | τζά. |
| λαγώπους | φϟγ'. | λίθος ὀστρακίτης | ϡκδ'. | μυὸς ὦτα ἑτέρα | τζβ'. |
| λύκοψις | χβ'. | λίθος γεώδης | ϡκή. | μελίλωτον | υμβ'. |
| λειχὴν | χκθ'. | λίθος ὁ ἐν τῇ σαμίᾳ γῇ. | ϡλβ'. | μαῖρον | υμγ'. |
| λωτὸς ἥμερος | χπϛ'. | λιθάργυρος πόθεν | ϡο. | μῶλυ | υμή. |
| λωτὸς ἄγριος. | χπζ'. | λαγωὸς θαλάσσιος | ϡογ'. | μάραθρον | υοέ. |
| λωτὸς αἰγύπτιος | χπθ'. | τὸ μ | | μελάνθιον | υπζ'. |
| λεοντοπόδιον. | ψϛ'. | Μῆον | γ'. | μελισσόφυλλον | φιβ'. |
| λαθυρίς | ψμδ'. | μαλάβαθρον. | ιά. | μήδιον. | φϟδ'. |
| λινόζωστις | ψξϛ'. | μύρων σύνθεσις. | ί. | μήκων | χλθ'. |
| λεπίδος | ωμή. | μέτωπον | ξθ'. | μήκων ἥμερος | χμ'. |
| λεπίδος στόμωμα | ωμθ'. | μενδήσιον | ό. | μήκων κερατῖτις | χμά. |
| λίθος μελιωδοειδὴς | ωνζ'. | μύρον κινναμώμινον | οβ'. | μήκων ἀφρώδης | χμβ'. |
| λιθάργυρος | ωξά. | μύρον νάρδινον | ογ'. | μανδραγόρας | χιά. |
| λίθος ἀρμένιος | ωξδ'. | μύρον μαλαβάθρινον | οδ'. | μύκητες | χιή. |
| λίθος ἰνδικὸς | ωξϛ'. | μύρον ἰάσμινον | οέ. | μυριόφυλλον | χζ'. |
| λημνία γῆ | ωοβ'. | μάννα λιβάνου | πβ'. | μύρρις | χϟά. |
| λίθος φρύγιος | ϡ'. | μελία | ρθ'. | μύαγρος | χϟβ'. |
| λίθος ἄσσιος | ϡά. | μάκερ | ριά. | μυρσίνη ἀγρία | ψκά. |
| λίθος πυρίτης | ϡβ'. | μυρίκη | ριζ'. | μυροβαλάνου | ψλή. |
| λίθος αἱματίτης | ϡγ'. | μυρσίνη. | ριή. | μελίκρατον | ψπ'. |
| λίθος σχιστός | ϡδ'. | μυρτίδανος | ριθ'. | | |


*4

| | | | | | |
|---|---|---|---|---|---|
| μηλόμελι | ψϟβʹ. | οἴσυπος | σοϛʹ. | οἶνος σχινίτης | ωαʹ. |
| μόλιβδος πεπλυμένος | ωιδʹ. | οὖρον | σπγʹ. | οἶνος τερμινθίνος | ωβʹ. |
| μόλιβδος κεκαυμένος | ωνεʹ. | ὄλυρα | σϟʹ. | οἶνος φοινικίτης | ωγʹ. |
| μολύβδαινα | ωνθʹ. | ὄρυζα | σϟδʹ. | οἶνος κατορχίτης | ωδʹ. |
| μίλτος σινωπική | ωοʹ. | ὄροβος | τζʹ. | οἶνος συκομορίτης | ωεʹ. |
| μίσυ | ωοϛʹ. | ὀροβάγχη | τμζʹ. | οἶνος ῥητινίτης | ωϛʹ. |
| μελαντηρία | ωοζʹ. | ὀρνιθόγαλον | τμθʹ. | οἶνος στροβιλίτης | ωζʹ. |
| μέλαν | ϡμβʹ. | ὀθόννη | τϟʹ. | οἶνος κέδρινος | ωηʹ. |
| μέλι τὸ ἐν ἡρακλείᾳ | ϡναʹ. | ὀρίγανον | υκϛʹ. | οἶνος ἀρκευθιδίτης | ωθʹ. |
| μανδραγόρα | ϡνθʹ. | ὀνῖτις | υκζʹ. | οἶνος κεδρίτης | ωιʹ. |
| μήκων | ϡξʹ. | ὀρεοσέλινον | υϟʹ. | οἶνος πισσίτης | ωιαʹ. |
| μήκων κερατῖτις | ϡξαʹ. | οἰνάνθη | φλʹ. | οἶνος ἀψινθίτης | ωιβʹ. |
| μύκητες | ϡξϛʹ. | ὄρχις | φληʹ. | οἶνος ὑσσωπίτης | ωιγʹ. |
| τὸ ν | | ὄρχις ἕτερος | φλθʹ. | οἶνος χαμαιδρυΐτης | ωιδʹ. |
| Νάρδος. | ϛʹ. | ὅρμινον ἥμερον | φμβʹ. | οἶνος στοιχαδίτης | ωιεʹ. |
| νάρδος κελτική | ζʹ. | ὄνοσμα | φμδʹ. | ὄξος στοιχαδικὸν | ωιϛʹ. |
| νάρδος ὀρεινή | ηʹ. | ὀνοβρυχίς | φξζʹ. | οἶνος κεστρίτης | ωιζʹ. |
| νάσκαφθον | κϛʹ. | ὀλόστιον | φπϛʹ. | οἶνος τραγοριγανίτης | ωιηʹ. |
| νάφθα | ϟηʹ. | ὀξύσχοινον | χκηʹ. | οἶνος βουνίτης | ωιθʹ. |
| νάρκη | σϛʹ. | ὀνάγρα | χϟγʹ. | οἶνος δικταμνίτης | ωκʹ. |
| νάρθηξ | υπεʹ. | ὄσυρις | ψιηʹ. | οἶνος πρασίτης | ωκαʹ. |
| νυμφαία | φμεʹ. | οἰνάνθη | ψοεʹ. | οἶνος θυμίτης | ωκβʹ. |
| νυμφαία ἑτέρα | φμϛʹ. | ὀμφάκιον | ψοϛʹ. | οἶνος θυμβρίτης. | ωκγʹ. |
| νήριον | χνζʹ. | οἶνος | ψοζʹ. | οἶνος ὀριγανίτης. | ωκδʹ. |
| νάρκισσος | ψλθʹ. | οἶνος μελιτίτης | ψοηʹ. | οἶν. καλαμινθίτης ἢ ἕτεροι | ωκεʹ. |
| νίτρον | ωπθʹ. | οἰνόμελι | ψοθʹ. | οἶνος κονυζίτης | ωκϛʹ. |
| τὸ ξ | | ὄξος | ψπδʹ. | οἶνος ἀρωματίτης | ωκζʹ. |
| Ξυλοβάλσαμον | κβʹ. | ὀξύμελι | ψπεʹ. | οἶνος ἐκ σμύρνης καὶ ἄλλων | ωκηʹ. |
| ξιφίον | φϟϛʹ. | ὀξάλμη | ψπϛʹ. | οἶνος νεκταρίτης | ωκθʹ. |
| ξυρίς | φϟηʹ. | ὄξος σκιλλητικὸν | ψπηʹ. | οἶνος ναρδίτης | ωλʹ. |
| ξάνθιον | ψιγʹ. | οἶνος σκιλλητικὸς | ψπθʹ. | οἶνος ἀσαρίτης | ωλαʹ. |
| τὸ ο | | οἶνοι θαλάττιοι | ψϟʹ. | οἶνος ὁ διὰ τῆς ἀγρίας νάρδου | ωλβʹ. |
| Ὀποβάλσαμον | καʹ. | οἶνος κυδωνίτης | ψϟαʹ. | οἶνος δαυκίτης | ωλγʹ. |
| ὀξυάκανθα | ροϛʹ. | ὀμφακόμελι | ψϟδʹ. | οἶνος ἐλελισφακίτης | ωλδʹ. |
| οὖα | ρπϛʹ. | οἶνος ἀπίτης | ψϟεʹ. | οἶνος πανακίτης καὶ οἶνος ἀκο- | |
| ὄλυνθοι | ρπθʹ. | οἰνάνθινος | ψϟϛʹ. | ρίτης | ωλεʹ. |
| ὄνυχες | ρϟθʹ. | οἶνος ῥοΐτης | ψϟζʹ. | οἶνος σελινίτης | ωλϛʹ. |
| ὄνυχες ὄνων | σλαʹ. | οἶνος ῥοδίτης | ψϟηʹ. | οἶνος μαραθρίτης καὶ ἀνηθι- | |
| ὄνυχες αἰγῶν | σλβʹ. | οἶνος μυρτίτης | ψϟθʹ. | νος | ωλζʹ. |
| ὀρροὶ γάλακτος | σξηʹ. | οἶνος μυρσινίτης | ωʹ. | οἶνος θυμελαίτης | ωληʹ. |

X

| | |
|---|---|
| χαμοὶ | ρλη |
| χελιδόνες | σμε |
| χολὴ | σπ. |
| χόνδρος | σϟε. |
| χελιδόνιον τὸ μικρόν. | τπη. |
| χελιδόνιον τὸ μέγα. | τπθ. |
| χαμαιλέων λευκός. | υε. |
| χαμαιλέων ὁ μέλας | υϛ. |
| χαμαίδρυς | φϛ. |
| χαμαιπίτυς | φοβ. |
| χαμαιπίτυς ἑτέρα | φογ. |
| χρυσοκόμη | χλα. |
| χρυσόγονον | χλβ. |
| χρυσάνθεμον | χλγ. |
| χαμαικισσος | ψα. |
| χαμαιλεύκη | ψβ. |
| χαμαιδάφνη | ψκδ. |
| χαμαισύκη | ψμϛ. |
| χαμελαία. | ψμη. |

| | |
|---|---|
| χαμαιάκτη | ψια. |
| χαλκὸς κεκαυμένος. | ωμϛ. |
| χρυσοκόλλα | ωξϛ. |
| χάλκανθον | ωογ. |
| χαλκῖτις | ωοδ. |
| Ψ | |
| ψευδακακία | ιγ. |
| ψευδοκιννάμωμον | ιε. |
| ψευδοδίκταμνος. | υλβ. |
| ψύλλιον | χμε. |
| ψευδοβούνιον | ψ. |
| ψιμμύθιον. | ωξβ. |
| ψωρικόν. | ωοε. |
| ψύλλιον | ͵ϡργ. |
| ψιμμύθιον | ͵ϡξε. |
| Ω | |
| ὠμοτάριχος. | σκβ. |
| ᾠόν. | σμ. |
| ὤκιμον. | τμϛ |
| ὠκιμοειδές. | χδ |

| | |
|---|---|
| ὤχρα | ωξζ. |
| Κεφάλαια τοῦ περὶ ἰοβόλων λόγου | |
| περὶ λυσσῶντος κυνός. | ͵ϡοη. |
| περὶ σφηκῶν καὶ μελισσῶν | ͵ϡοθ |
| περὶ φαλαγγίων. | ͵ϡπ. |
| περὶ σκολοπένδρας | ͵ϡπα. |
| περὶ σκορπίου | ͵ϡπβ. |
| περὶ ξυγῶνος θαλασσίας | ͵ϡπγ |
| περὶ μυγαλῆς | ͵ϡπδ |
| περὶ ἐχίδνης | ͵ϡπε. |
| περὶ ἀμφισβαίνης | ͵ϡπϛ |
| περὶ σκυτάλης | ͵ϡπζ. |
| περὶ δρυΐνου | ͵ϡπη. |
| περὶ αἱμορρόου καὶ διψάδος | ͵ϡπθ. |
| περὶ ὕδρου. | ͵ϡϟ. |
| περὶ κέγχρου. | ͵ϡϟα |
| περὶ κεράστου | ͵ϡϟβ. |
| περὶ ἀσπίδος | ͵ϡϟγ. |
| περὶ βασιλίσκου. | ͵ϡϟδ. |


## Ἐκ τοῦ Σουίδα.

Διοσκορίδης. ἀναζαρβεύς, ἰατρὸς ὁ ἐπικληθεὶς Φακᾶς. διὰ τοὺς ἐπὶ τῆς ὄψεως φακούς. συνῆν δὲ Κλεοπάτρᾳ τῇ ἐπὶ Ἀντωνίου. Καὶ ἔγραψε ταῦτα βιβλία κδ΄ τὰ πάντα ἰατρικὰ περιβόητα.

hec i greco [illegible] libri [illegible] 186.

[illegible] contermaunding the releasse of the said money, howsoever I doe not thin[k]
the mony will bee demaunded, I will procure release it for Mr Browne, [illegible]
nor [illegible] beene with mee, nor have I heard or seene his bill of [illegible]
I thincke it will not bee long ere hee commeth.

Wee cannot proceede further in your businesse against Mr Lowe till wee have
your examination. Mr [illegible] the sollicitor returned but yesterday to towne
so that the writtings cannot bee made ready for to bee sent by this bearer, but the
next weeke it shall bee sent you over.

[illegible] wanted money to returne home, [illegible] desired mee to pay him twenty
[illegible] you allow him 12d a day, for which [illegible] [illegible] you [illegible]
[illegible] and will make you debtor of the money, [illegible]
[illegible] John Bingley sent mee [illegible] and desired mee to cause it to bee payd at Plymouth, but [illegible]
[illegible] desire Mr Barker to doe it, who has accordingly payd money and [illegible]
[illegible] with the said Henry [illegible] upon it Mr Barker [illegible]
[illegible] upon mee twentie shillings being for his provision [illegible]
[illegible] heere inclosed that you may see what hee writtes, for the [illegible]
provision I will make you debtor

This page of ms was found under the old paste down when removing modern endpapers from this book.
February 1983

[...] of with I will not wronge haveinge by my former [...]

[un]derstand that my intent is not to cavill with you about the william gulls fish,
[fo]r my part it is true I held that it concernd mee not, then that I maye not bee
[ju]dge in my owne cause in ~~[illegible]~~ this case, I am contented as I writte you to referre the
[bu]ssines to somme honest and indifferent men there, and I will stand to what
[the]y shall iudge of in the same forth, as you bee contented to doe the like on your part.
[i]f they finde the fish to belonge unto mee, a gods name I must bee contented and doe
[as] I can with the fish. if they finde it to belong unto you, you must doe the like.
~~if then I can doe you any pleasure~~ I thinke you will accept of this frendly
[...]erst and before this I thinke you have ~~[illegible]~~ for written order to somme body about
that it maye bee ended speedily; and in regard you doe doe not send mr Silvester
[hi]ther order into france, I thinke it were not amisse that you should comme
over with all speed for to see a speedy and frendly end of the bussines in
manner as above is said, for I vow unto you I desire as much an end as you
and rather frendly then otherwise. I desire not to wronge you, neither will I
suffer myselfe to bee wronged. you thinke hard of mee and I thinke as hard
of you, therefore let it bee decided frendly without threatning and high words.
if need you will go to law and spend mony so largely, ~~[illegible]~~ as you writte
I shall bee sorrow for it, ~~[illegible]~~ but for to defend my right assure yourselfe I will
~~[illegible]~~ spare as litle cost as you shall. I am as indifferent as you seeme, but
I would not willingly have us to comme to such extremities. ~~if it bee [illegible]~~
~~[illegible]~~. As I have found you ever noble so I shall you also finde mee always honest
I desire not to wronge you any wayes but desire wee should continew frends and dealing
together. this bussines being decided, I shall bee as willing to deale with you for fish
as heretofore I have beene, therefore I praye for honour goods let not this ~~[illegible]~~ tiffel bee a breach
off our ancient friendship and dealing together

I have spoken with mr dela barre about your bussines, hee tells mee that hee
has already given order to his man phillips to make a frendly agreement with you. hee
is contented to buye of you 600 hogsheads of pilchards, but hee will not writte ~~you~~
you by this bearer by reason hee expectts within theese few dayes letters from his man
phillips, by with hee shall understand how farre hee has proceeded with you and
then hee will writte you accordingly. I finde him willing to forbeare any rigor[ous]
courses against you and to make a frendly end of the bussines.







